Greek New Testament

Scrivener 1894
Textus Receptus

(With Morphological Data)

Bibles.org.uk, London.

New corrected text, notes and typesetting © 2002–2005 Bibles.org.uk.
Typeset with pdfLaTeX under Linux: Tue 16th Aug, 2005 at 03:59
Permission for *personal* use only is hereby given.

Tables of Morphological Symbols

Noun/Article	Case	Gender	Number
n/d	**n** nominative **g** genitive **d** dative **a** accusative **v** vocative	**m** masculine **f** feminine **n** neuter	**s** singular **p** plural

Pronoun	Type	Case	Gender	Numbe
r	**r** relative **e** reciprocal **d** demonstrative **c** correlative **q** interrogative **i** indefinite **o** correlative or interrogative **x** reflexive **s** possessive **p** personal	**n** nominative **g** genitive **d** dative **a** accusative **v** vocative	**m** masculine **f** feminine **n** neuter	**s** singu **p** plura

Participle	Tense	Voice	Case	Gender	Numbe
vp	**p** present **f** future **a** aorist **i** imperfect **x** perfect **y** pluperfect	**a** active **m** middle **p** passive **e** mid/passive **d** mid/deponent **o** passive deponent **n** mid. or pass. deponent **q** impersonal active **x** no voice stated	**n** nominative **g** genitive **d** dative **a** accusative **v** vocative	**m** masculine **f** feminine **n** neuter	**s** singu **p** plura

Infinitive	Tense	Voice
vn	**p** present **f** future **a** aorist **i** imperfect **x** perfect **y** pluperfect	**a** active **m** middle **p** passive **e** mid/passive **d** mid/deponent **o** passive deponent **n** mid. or pass. deponent **q** impersonal active **x** no voice stated

Verb	Mood	Tense	Voice	Person	Number
v	**i** indicative **d** imperative **s** subjunctive **o** optative	**p** present **f** future **a** aorist **i** imperfect **x** perfect **y** pluperfect **v** adverbial imperative	**a** active **m** middle **p** passive **e** mid/passive **d** mid/deponent **o** passive deponent **n** mid. or pass. deponent **q** impersonal active **x** no voice stated	**1** 1st **2** 2nd **3** 3rd	**s** singular **p** plural

Adjective	Case	Gender	Number	Degree
a	**n** nominative **g** genitive **d** dative **a** accusative **v** vocative	**m** masculine **f** feminine **n** neuter	**s** singular **p** plural	**c** comparative **s** superlative **n** none

Adverb	Type
b	**c** comparative **s** superlative **i** interrogative **n** normal

Conjunction **c**

Preposition **p**

Interjection **i**

Conjunction or Conjunctive Particle	Type
q	**c** contracted **o** not contracted

Particle or Disjunctive Particle	Type
x	**i** interrogative **n** negative **o** negative

Indeclinable	Type
t	**a** Aramaic word **h** Hebrew word **p** proper noun **n** numeral **l** letter **o** other noun

The Books of the New Testament

	Page
ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ	1
ΚΑΤΑ ΜΑΡΚΟΝ	100
ΚΑΤΑ ΛΟΥΚΑΝ	162
ΚΑΤΑ ΙΩΑΝΝΗΝ	267
ΠΡΑΞΕΙΣ	347
ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ	449
ΠΡΟΣ ΤΟΥΣ ΚΟΡΙΝΘΙΟΥΣ Α	487
ΠΡΟΣ ΤΟΥΣ ΚΟΡΙΝΘΙΟΥΣ Β	523
ΠΡΟΣ ΓΑΛΑΤΑΣ	547
ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ	559
ΠΡΟΣ ΤΟΥΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ	572
ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ	581
ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Α	590
ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Α	599
ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Α	604
ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Β	614
ΠΡΟΣ ΤΙΤΟΝ	622
ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ	627
ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ	629
ΙΑΚΩΒΟΥ	657
ΠΕΤΡΟΥ Α	667
ΠΕΤΡΟΥ Α	677
ΙΩΑΝΝΟΥ Α	684
ΙΩΑΝΝΟΥ Β	695
ΙΩΑΝΝΟΥ Γ	697
ΙΟΥΔΑ	699
ΑΠΟΚΑΛΥΨΙΣ	702

ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ. **1**
Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ, Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰακώβ, Ἰα- 2
κὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, Ἰούδας 3
δὲ ἐγέννησε τὸν Φάρες καὶ τὸν Ζαρὰ ἐκ τῆς Θάμαρ, Φάρες δὲ
ἐγέννησε τὸν Ἐσρώμ, Ἐσρὼμ δὲ ἐγέννησε τὸν Ἀράμ, Ἀρὰμ δὲ 4
ἐγέννησε τὸν Ἀμιναδάβ, Ἀμιναδὰβ δὲ ἐγέννησε τὸν Ναασσών,
Ναασσὼν δὲ ἐγέννησε τὸν Σαλμών, Σαλμὼν δὲ ἐγέννησε τὸν 5
Βοὸζ ἐκ τῆς Ῥαχάβ, Βοὸζ δὲ ἐγέννησε τὸν Ὼβὴδ ἐκ τῆς Ῥούθ,
Ὼβὴδ δὲ ἐγέννησε τὸν Ἰεσσαί, Ἰεσσαὶ δὲ ἐγέννησε τὸν Δαβὶδ 6
τὸν βασιλέα. Δαβὶδ δὲ ὁ βασιλεὺς ἐγέννησε τὸν Σολομῶντα ἐκ
τῆς τοῦ Οὐρίου, Σολομὼν δὲ ἐγέννησε τὸν Ῥοβοάμ, Ῥοβοὰμ 7
δὲ ἐγέννησε τὸν Ἀβιά, Ἀβιὰ δὲ ἐγέννησε τὸν Ἀσά, Ἀσὰ δὲ ἐγέν- 8
νησε τὸν Ἰωσαφάτ, Ἰωσαφὰτ δὲ ἐγέννησε τὸν Ἰωράμ, Ἰωρὰμ δὲ
ἐγέννησε τὸν Ὀζίαν, Ὀζίας δὲ ἐγέννησε τὸν Ἰωαθάμ, Ἰωάθαμ 9
δὲ ἐγέννησε τὸν Ἄχάζ, Ἄχὰζ δὲ ἐγέννησε τὸν Ἐζεκίαν, Ἐζεκίας 10
δὲ ἐγέννησε τὸν Μανασσῆ, Μανασσῆς δὲ ἐγέννησε τὸν Ἀμών,
Ἀμὼν δὲ ἐγέννησε τὸν Ἰωσίαν, Ἰωσίας δὲ ἐγέννησε τὸν Ἰεχο- 11
νίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος.

---

1. v.1 βίβλος^{nnfs} γένεσις^{ngfs} Ἰησοῦς^{ngms} Χριστός^{ngms} υἱός^{ngms} Δαυίδ^{tp} υἱός^{ngms} Ἀβραάμ^{tp}. **v.2** Ἀβραάμ^{tp} γεννάω^{viaa3s} ὁ^{dams} Ἰσαάκ^{tp} Ἰσαάκ^{tp} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ἰακώβ^{tp} Ἰακώβ^{tp} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ἰούδας^{nams} καί^{c} ὁ^{damp} ἀδελφός^{namp} αὐτός^{rpgms}. **v.3** Ἰούδας^{nnms} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Φάρες^{tp} καί^{c} ὁ^{dams} Ζάρα^{tp} ἐκ^{p} ὁ^{dgfs} Θαμάρ^{tp} Φάρες^{tp} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ἐσρώμ^{tp} Ἐσρώμ^{tp} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ἀράμ^{tp}. **v.4** Ἀράμ^{tp} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ἀμιναδάβ^{tp} Ἀμιναδάβ^{tp} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ναασσών^{tp} Ναασσών^{tp} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Σαλμών^{tp}. **v.5** Σαλμών^{tp} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Βόες^{tp} ἐκ^{p} ὁ^{dgfs} Ῥαχάβ^{tp} Βόες^{tp} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ἰωβήδ^{tp} ἐκ^{p} ὁ^{dgfs} Ῥούθ^{tp} Ἰωβήδ^{tp} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ἰεσσαί^{tp}. **v.6** Ἰεσσαί^{tp} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Δαυίδ^{tp} ὁ^{dams} βασιλεύς^{nams} Δαυίδ^{tp} δέ^{c} ὁ^{dnms} βασιλεύς^{nnms} γεννάω^{viaa3s} ὁ^{dams} Σολομών^{nams} ἐκ^{p} ὁ^{dgfs} ὁ^{dgms} Οὐρίας^{ngms}. **v.7** Σολομών^{nnms} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ῥοβοάμ^{tp} Ῥοβοάμ^{tp} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ἀβιά^{tp} Ἀβιά^{tp} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ἀσάφ^{tp}. **v.8** Ἀσάφ^{tp} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ἰωσαφάτ^{tp} Ἰωσαφάτ^{tp} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ἰωράμ^{tp} Ἰωράμ^{tp} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ὀζίας^{nams}. **v.9** Ὀζίας^{nnms} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ἰωαθάμ^{tp} Ἰωαθάμ^{tp} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ἄχάζ^{tp} Ἄχάζ^{tp} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ἐζεκίας^{nams}. **v.10** Ἐζεκίας^{nnms} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Μανασσῆ^{nams} Μανασσῆ^{nnms} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ἀμώς^{tp} Ἀμώς^{tp} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ἰωσίας^{nams}. **v.11** Ἰωσίας^{nnms} δέ^{c} γεννάω^{viaa3s} ὁ^{dams} Ἰεχονίας^{nams} καί^{c} ὁ^{damp} ἀδελφός^{namp} αὐτός^{rpgms} ἐπί^{p} ὁ^{dgfs} μετοικεσία^{ngfs} Βαβυλών^{ngfs}.

12 Μετὰ δὲ τὴν μετοικεσίαν Βαβυλῶνος Ἰεχονίας ἐγέννησε τὸν Σα-
13 λαθιήλ, Σαλαθιὴλ δὲ ἐγέννησε τὸν Ζοροβάβελ, Ζοροβάβελ δὲ
ἐγέννησε τὸν Ἀβιούδ, Ἀβιοὺδ δὲ ἐγέννησε τὸν Ἐλιακείμ, Ἐλι-
14 ακεὶμ δὲ ἐγέννησε τὸν Ἀζώρ, Ἀζὼρ δὲ ἐγέννησε τὸν Σαδώκ,
Σαδὼκ δὲ ἐγέννησε τὸν Ἀχείμ, Ἀχεὶμ δὲ ἐγέννησε τὸν Ἐλιούδ,
15 Ἐλιοὺδ δὲ ἐγέννησε τὸν Ἐλεάζαρ, Ἐλεάζαρ δὲ ἐγέννησε τὸν
16 Ματθάν, Ματθὰν δὲ ἐγέννησε τὸν Ἰακώβ, Ἰακὼβ δὲ ἐγέννησε
τὸν Ἰωσὴφ τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγό-
17 μενος Χριστός. Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαβὶδ
γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ Δαβὶδ, ἕως τῆς μετοικεσίας Βα-
βυλῶνος γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυ-
18 λῶνος ἕως τοῦ Χριστοῦ γενεαὶ δεκατέσσαρες. Τοῦ δὲ Ἰησοῦ
Χριστοῦ ἡ γέννησις οὕτως ἦν. μνηστευθείσης γὰρ τῆς μητρὸς
αὐτοῦ Μαρίας τῷ Ἰωσήφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν
19 γαστρὶ ἔχουσα ἐκ Πνεύματος Ἁγίου. Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς
δίκαιος ὢν, καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἐβουλήθη
20 λάθρᾳ ἀπολῦσαι αὐτήν. ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδού,
ἄγγελος Κυρίου κατ᾽ ὄναρ ἐφάνη αὐτῷ, λέγων, Ἰωσήφ, υἱὸς Δα-
βίδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου. τὸ γὰρ
21 ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν Ἁγίου, τέξεται δὲ υἱὸν
καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν, αὐτὸς γὰρ σώσει τὸν λαὸν

---

v.12 μετάᵖ δέᶜ ὁᵈᵃᶠˢ μετοικεσίαⁿᵃᶠˢ Βαβυλώνᵒᵍᶠˢ Ἰεχονίαςⁿᵒᵐˢ γεννάωᵛⁱᵃᵃ³ˢ ὁᵈᵃᵐˢ Σαλαθιήλᵗᵖ Σαλαθιὴλᵗᵖ δέᶜ γεννάωᵛⁱᵃᵃ³ˢ ὁᵈᵃᵐˢ Ζοροβαβέλᵗᵖ. **v.13** Ζοροβαβέλᵗᵖ δέᶜ γεννάωᵛⁱᵃᵃ³ˢ ὁᵈᵃᵐˢ Ἀβιούδᵗᵖ Ἀβιοὺδᵗᵖ δέᶜ γεννάωᵛⁱᵃᵃ³ˢ ὁᵈᵃᵐˢ Ἐλιακὶμᵗᵖ Ἐλιακεὶμᵗᵖ δέᶜ γεννάωᵛⁱᵃᵃ³ˢ ὁᵈᵃᵐˢ Ἀζώρᵗᵖ. **v.14** Ἀζὼρᵗᵖ δέᶜ γεννάωᵛⁱᵃᵃ³ˢ ὁᵈᵃᵐˢ Σαδώκᵗᵖ Σαδὼκᵗᵖ δέᶜ γεννάωᵛⁱᵃᵃ³ˢ ὁᵈᵃᵐˢ Ἀχὶμᵗᵖ Ἀχείμᵗᵖ δέᶜ γεννάωᵛⁱᵃᵃ³ˢ ὁᵈᵃᵐˢ Ἐλιούδᵗᵖ. **v.15** Ἐλιούδᵗᵖ δέᶜ γεννάωᵛⁱᵃᵃ³ˢ ὁᵈᵃᵐˢ Ἐλεάζαρᵗᵖ Ἐλεάζαρᵗᵖ δέᶜ γεννάωᵛⁱᵃᵃ³ˢ ὁᵈᵃᵐˢ Ματθάνᵗᵖ Ματθὰνᵗᵖ δέᶜ γεννάωᵛⁱᵃᵃ³ˢ ὁᵈᵃᵐˢ Ἰακὼβᵗᵖ. **v.16** Ἰακὼβᵗᵖ δέᶜ γεννάωᵛⁱᵃᵃ³ˢ ὁᵈᵃᵐˢ Ἰωσὴφᵗᵖ ὁᵈᵃᵐˢ ἀνὴρⁿᵃᵐˢ Μαρίαⁿᵍᶠˢ ἐκᵖ ὅςʳʳᵍᶠˢ γεννάωᵛⁱᵃᵖ³ˢ Ἰησοῦςⁿⁿᵐˢ ὁᵈⁿᵐˢ λέγωᵛᵖᵖⁿᵐˢ Χριστόςⁿⁿᵐˢ. **v.17** πᾶςᵃⁿᶠᵖⁿ οὖνᶜ ὁᵈⁿᶠᵖ γενεάⁿⁿᶠᵖ ἀπόᵖ Ἀβραὰμᵗᵖ ἕωςᶜ Δαυὶδᵗᵖ γενεάⁿⁿᶠᵖ δεκατέσσαρεςⁿⁿᶠᵖ καὶᶜ ἀπόᵖ Δαυὶδᵗᵖ ἕωςᶜ ὁᵈᵍᶠˢ μετοικεσίαⁿᵍᶠˢ Βαβυλώνᵒᵍᶠˢ γενεάⁿⁿᶠᵖ δεκατέσσαρεςⁿⁿᶠᵖ καίᶜ ἀπόᵖ ὁᵈᵍᶠˢ μετοικεσίαⁿᵍᶠˢ Βαβυλώνᵒᵍᶠˢ ἕωςᶜ ὁᵈᵍᵐˢ Χριστόςⁿᵍᵐˢ γενεάⁿⁿᶠᵖ δεκατέσσαρεςⁿⁿᶠᵖ. **v.18** ὁᵈᵍᵐˢ δέᶜ Ἰησοῦςⁿᵍᵐˢ Χριστόςⁿᵍᵐˢ ὁᵈⁿᶠˢ γέννησιςⁿⁿᶠˢ οὕτωᵇᵒ εἰμίᵛⁱⁱˣ³ˢ μνηστεύωᵛᵖᵃᵖᵍᶠˢ γάρᶜ ὁᵈᵍᶠˢ μήτηρⁿᵍᶠˢ αὐτόςʳᵖᵍᵐˢ Μαρίαⁿᵍᶠˢ ὁᵈᵈᵐˢ Ἰωσὴφᵗᵖ πρίνᵇᵒ ἦᵡᵒ συνέρχομαιᵛⁿᵃᵃ αὐτόςʳᵃᵐᵖ εὑρίσκωᵛⁱᵃᵖ³ˢ ἐνᵖ γαστήρⁿᵈᶠˢ ἔχωᵛᵖᵖᵃⁿᶠˢ ἐκᵖ πνεῦμαⁿᵍⁿˢ ἅγιοςᵃᵍⁿˢⁿ. **v.19** Ἰωσὴφᵗᵖ δέᶜ ὁᵈⁿᵐˢ ἀνὴρⁿⁿᵐˢ αὐτόςʳᵖᵍᶠˢ δίκαιοςᵃⁿᵐˢⁿ εἰμίᵛᵖᵖˣⁿᵐˢ καίᶜ μήᵡᵒ θέλωᵛᵖᵖᵃⁿᵐˢ αὐτόςʳᵖᵃᶠˢ παραδειγματίζωᵛⁿᵃᵃ βούλομαιᵛⁱᵃᵒ³ˢ λάθρᾳᵇᵒ ἀπολύωᵛⁿᵃᵃ αὐτόςʳᵖᵃᶠˢ. **v.20** οὗτοςʳᵈᵃⁿᵖ δέᶜ αὐτόςʳᵖᵍᵐˢ ἐνθυμέομαιᵛᵖᵃᵒᵍᵐˢ ἰδούᵛᵈᵃᵃ²ˢ ἄγγελοςⁿⁿᵐˢ κύριοςⁿᵍᵐˢ κατάᵖ ὄναρᵗᵒ φαίνωᵛⁱᵃᵖ³ˢ αὐτόςʳᵖᵈᵐˢ λέγωᵛᵖᵖᵃⁿᵐˢ Ἰωσὴφᵗᵖ υἱόςⁿⁿᵐˢ Δαυὶδᵗᵖ μήᵡᵒ φοβέομαιᵛˢᵃᵒ²ˢ παραλαμβάνωᵛⁿᵃᵃ Μαρίαᵗᵖ ὁᵈᵃᶠˢ γυνήⁿᵃᶠˢ σύʳᵖᵍ⁻ˢ ὁᵈⁿⁿˢ γάρᶜ ἐνᵖ αὐτόςʳᵖᵈᶠˢ γεννάωᵛᵖᵃᵖⁿⁿˢ ἐκᵖ πνεῦμαⁿᵍⁿˢ εἰμίᵛⁱᵖˣ³ˢ ἅγιοςᵃᵍⁿˢⁿ.

αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. τοῦτο δὲ ὅλον γέγονεν, ἵνα 22
πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου λέγοντος,
Ἰδού, ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν, καὶ καλέσουσι 23
τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον, Μεθ᾽
ἡμῶν ὁ Θεός. διεγερθεὶς δὲ ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου ἐποίησεν 24
ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος Κυρίου, καὶ παρέλαβε τὴν γυ-
ναῖκα αὐτοῦ, καὶ οὐκ ἐγίνωσκεν αὐτὴν ἕως οὗ ἔτεκε τὸν υἱόν 25
αὐτῆς τὸν πρωτότοκον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ ΙΗΣΟΥΝ.

Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέ- **2**
ραις Ἡρώδου τοῦ βασιλέως, ἰδού, μάγοι ἀπὸ ἀνατολῶν παρεγέ-
νοντο εἰς Ἱεροσόλυμα, λέγοντες, Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς 2
τῶν Ἰουδαίων· εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ, καὶ
ἤλθομεν προσκυνῆσαι αὐτῷ. ἀκούσας δὲ Ἡρώδης ὁ βασιλεὺς 3
ἐταράχθη, καὶ πᾶσα Ἱεροσόλυμα μετ᾽ αὐτοῦ. καὶ συναγαγὼν 4
πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ, ἐπυνθάνετο
παρ᾽ αὐτῶν ποῦ ὁ Χριστὸς γεννᾶται. οἱ δὲ εἶπον αὐτῷ, Ἐν 5
Βηθλεὲμ τῆς Ἰουδαίας, οὕτω γὰρ γέγραπται διὰ τοῦ προφή-
του, Καὶ σύ, Βηθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς 6
ἡγεμόσιν Ἰούδα, ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποι-
μανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. τότε Ἡρώδης, λάθρᾳ καλέσας 7

---

v.21 τίκτω^{vifd3s} δέ^{c} υἱός^{nams} καί^{c} καλέω^{vifa2s} ὁ^{dans} ὄνομα^{nans} αὐτός^{rpgms} Ἰησοῦς^{nams} αὐτός^{rpnms} γάρ^{c} σῴζω^{vifa3s} ὁ^{dams} λαός^{nams} αὐτός^{rpgms} ἀπό^{p} ὁ^{dgfp} ἁμαρτία^{ngfp} αὐτός^{rpgmp}. **v.22** οὗτος^{rdnns} δέ^{c} ὅλος^{annsn} γίνομαι^{vixa3s} ἵνα^{c} πληρόω^{vsap3s} ὁ^{dnns} λέγω^{vpapnns} ὑπό^{p} ὁ^{dgms} κύριος^{ngms} διά^{p} ὁ^{dgms} προφήτης^{ngms} λέγω^{vppagns}. **v.23** ἰδού^{vdaa2s} ὁ^{dnfs} παρθένος^{nnfs} ἐν^{p} γαστήρ^{ndfs} ἔχω^{vifa3s} καί^{c} τίκτω^{vifd3s} υἱός^{nams} καί^{c} καλέω^{vifa3p} ὁ^{dans} ὄνομα^{nans} αὐτός^{rpgms} Ἐμμανουήλ^{tp} ὅς^{rrnns} εἰμί^{vipx3s} μεθερμηνεύω^{vpppnns} μετά^{p} ἐγώ$^{rpg-p}$ ὁ^{dnms} θεός^{nnms}. **v.24** διεγείρω^{vpapnms} δέ^{c} ὁ^{dnms} Ἰωσήφ^{tp} ἀπό^{p} ὁ^{dgms} ὕπνος^{ngms} ποιέω^{viaa3s} ὡς^{bo} προστάσσω^{viaa3s} αὐτός^{rpdms} ὁ^{dnms} ἄγγελος^{nnms} κύριος^{ngms} καί^{c} παραλαμβάνω^{viaa3s} ὁ^{dafs} γυνή^{nafs} αὐτός^{rpgms}. **v.25** καί^{c} οὐ^{xo} γινώσκω^{viia3s} αὐτός^{rpafs} ἕως^{c} ὅς^{bo} τίκτω^{viaa3s} ὁ^{dams} υἱός^{nams} αὐτός^{rpgfs} ὁ^{dams} πρωτότοκος^{aamsn} καί^{c} καλέω^{viaa3s} ὁ^{dans} ὄνομα^{nans} αὐτός^{rpgms} Ἰησοῦς^{nams}. **2. v.1** ὁ^{dgms} δέ^{c} Ἰησοῦς^{ngms} γεννάω^{vpapgms} ἐν^{p} Βηθλέεμ^{tp} ὁ^{dgfs} Ἰουδαία^{ngfs} ἐν^{p} ἡμέρα^{ndfp} Ἡρῴδης^{ngms} ὁ^{dgms} βασιλεύς^{ngms} ἰδού^{vdaa2s} μάγος^{nnmp} ἀπό^{p} ἀνατολή^{ngfp} παραγίνομαι^{viad3p} εἰς^{p} Ἱεροσόλυμα^{nafs}. **v.2** λέγω^{vppanmp} ποῦ^{xo} εἰμί^{vipx3s} ὁ^{dnms} τίκτω^{vpapnms} βασιλεύς^{nnms} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} ὁράω^{viaa1p} γάρ^{c} αὐτός^{rpgms} ὁ^{dams} ἀστήρ^{nams} ἐν^{p} ὁ^{ddfs} ἀνατολή^{ndfs} καί^{c} ἔρχομαι^{viaa1p} προσκυνέω^{vnaa} αὐτός^{rpdms}. **v.3** ἀκούω^{vpaanms} δέ^{c} Ἡρῴδης^{nnms} ὁ^{dnms} βασιλεύς^{nnms} ταράσσω^{viap3s} καί^{c} πᾶς^{anfsn} Ἱεροσόλυμα^{nnfs} μετά^{p} αὐτός^{rpgms}. **v.4** καί^{c} συνάγω^{vpaanms} πᾶς^{aampn} ὁ^{damp} ἀρχιερεύς^{namp} καί^{c} γραμματεύς^{namp} ὁ^{dgms} λαός^{ngms} πυνθάνομαι^{viin3s} παρά^{p} αὐτός^{rpgmp} ποῦ^{xo} ὁ^{dnms} Χριστός^{nnms} γεννάω^{vipp3s}. **v.5** ὁ^{dnmp} δέ^{c} λέγω^{viaa3p} αὐτός^{rpdms} ἐν^{p} Βηθλέεμ^{tp} ὁ^{dgfs} Ἰουδαία^{ngfs} οὕτω^{bo} γάρ^{c} γράφω^{vixp3s} διά^{p} ὁ^{dgms} προφήτης^{ngms}. **v.6** καί^{c} σύ$^{rpn-s}$ Βηθλέεμ^{tp} γῆ^{nvfs} Ἰούδας^{ngms} οὐδαμῶς^{bo} ἐλάχιστος^{anfsn} εἰμί^{vipx2s} ἐν^{p} ὁ^{ddmp} ἡγεμών^{ndmp} Ἰούδας^{ngms} ἐκ^{p} σύ$^{rpg-s}$ γάρ^{c} ἐξέρχομαι^{vifd3s} ἡγέομαι^{vppnnms} ὅστις^{rrnms} ποιμαίνω^{vifa3s} ὁ^{dams} λαός^{nams} ἐγώ$^{rpg-s}$ ὁ^{dams} Ἰσραήλ^{tp}.

τοὺς μάγους, ἠκρίβωσε παρ᾽ αὐτῶν τὸν χρόνον τοῦ φαινομένου
8 ἀστέρος. καὶ πέμψας αὐτοὺς εἰς Βηθλεὲμ εἶπε, Πορευθέντες
ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παιδίου, ἐπὰν δὲ εὕρητε, ἀπαγγεί-
9 λατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. οἱ δὲ ἀκού-
σαντες τοῦ βασιλέως ἐπορεύθησαν, καὶ ἰδού, ὁ ἀστὴρ, ὃν εἶδον
ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτούς, ἕως ἐλθὼν ἔστη ἐπάνω οὗ ἦν
10 τὸ παιδίον. ἰδόντες δὲ τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην
11 σφόδρα. καὶ ἐλθόντες εἰς τὴν οἰκίαν, εἶδον τὸ παιδίον μετὰ
Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐ-
τῷ, καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν αὐτῷ
12 δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν. καὶ χρηματισθέντες
κατ᾽ ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι᾽ ἄλλης ὁδοῦ ἀνεχώ-
13 ρησαν εἰς τὴν χώραν αὐτῶν. Ἀναχωρησάντων δὲ αὐτῶν, ἰδοὺ,
ἄγγελος Κυρίου φαίνεται κατ᾽ ὄναρ τῷ Ἰωσήφ, λέγων, Ἐγερ-
θεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς
Αἴγυπτον, καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοι, μέλλει γὰρ Ἡρώδης
14 ζητεῖν τὸ παιδίον, τοῦ ἀπολέσαι αὐτό. ὁ δὲ ἐγερθεὶς παρέλαβε
τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ νυκτός καὶ ἀνεχώρησεν εἰς
15 Αἴγυπτον, καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς Ἡρώδου, ἵνα πλη-
ρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου, λέγοντος,

---

v.7 τότε^{bo} Ἡρῴδης^{nnms} λάθρᾳ^{bo} καλέω^{vpaanms} ὁ^{damp} μάγος^{namp} ἀκριβόω^{viaa3s} παρά^{p} αὐτός^{rpgmp} ὁ^{dams} χρόνος^{nams} ὁ^{dgms} φαίνω^{vppegms} ἀστήρ^{ngms}. **v.8** καί^{c} πέμπω^{vpaanms} αὐτός^{rpamp} εἰς^{p} Βηθλέεμ^{tp} λέγω^{viaa3s} πορεύομαι^{vpaonmp} ἀκριβῶς^{bo} ἐξετάζω^{vdaa2p} περί^{p} ὁ^{dgns} παιδίον^{ngns} ἐπάν^{c} δέ^{c} εὑρίσκω^{vsaa2p} ἀπαγγέλλω^{vdaa2p} ἐγώ$^{rpd-s}$ ὅπως^{bo} κἀγώ$^{rpn-s}$ ἔρχομαι^{vpaanms} προσκυνέω^{vsaa1s} αὐτός^{rpdms}. **v.9** ὁ^{dnmp} δέ^{c} ἀκούω^{vpaanmp} ὁ^{dgms} βασιλεύς^{ngms} πορεύομαι^{viao3p} καί^{c} ἰδού^{vdaa2s} ὁ^{dnms} ἀστήρ^{nnms} ὅς^{rrams} ὁράω^{viaa3p} ἐν^{p} ὁ^{ddfs} ἀνατολή^{ndfs} προάγω^{viia3s} αὐτός^{rpamp} ἕως^{c} ἔρχομαι^{vpaanms} ἵστημι^{viaa3s} ἐπάνω^{bo} ὅς^{bo} εἰμί^{viix3s} ὁ^{dnns} παιδίον^{nnns}. **v.10** ὁράω^{vpaanmp} δέ^{c} ὁ^{dams} ἀστήρ^{nams} χαίρω^{viao3p} χαρά^{nafs} μέγας^{aafsn} σφόδρα^{bo}. **v.11** καί^{c} ἔρχομαι^{vpaanmp} εἰς^{p} ὁ^{dafs} οἰκία^{nafs} ὁράω^{viaa3p} ὁ^{dans} παιδίον^{nans} μετά^{p} Μαρία^{ngfs} ὁ^{dgfs} μήτηρ^{ngfs} αὐτός^{rpgns} καί^{c} πίπτω^{vpaanmp} προσκυνέω^{viaa3p} αὐτός^{rpdms} καί^{c} ἀνοίγω^{vpaanmp} ὁ^{damp} θησαυρός^{namp} αὐτός^{rpgmp} προσφέρω^{viaa3p} αὐτός^{rpdms} δῶρον^{nanp} χρυσός^{nams} καί^{c} λίβανος^{nams} καί^{c} σμύρνα^{nafs}. **v.12** καί^{c} χρηματίζω^{vpapnmp} κατά^{p} ὄναρ^{to} μή^{xo} ἀνακάμπτω^{vnaa} πρός^{p} Ἡρῴδης^{nams} διά^{p} ἄλλος^{agfsn} ὁδός^{ngfs} ἀναχωρέω^{viaa3p} εἰς^{p} ὁ^{dafs} χώρα^{nafs} αὐτός^{rpgmp}. **v.13** ἀναχωρέω^{vpaagmp} δέ^{c} αὐτός^{rpgmp} ἰδού^{vdaa2s} ἄγγελος^{nnms} κύριος^{ngms} φαίνω^{vipe3s} κατά^{p} ὄναρ^{to} ὁ^{ddms} Ἰωσήφ^{tp} λέγω^{vppanms} ἐγείρω^{vpapnms} παραλαμβάνω^{vdaa2s} ὁ^{dans} παιδίον^{nans} καί^{c} ὁ^{dafs} μήτηρ^{nafs} αὐτός^{rpgms} καί^{c} φεύγω^{vdpa2s} εἰς^{p} Αἴγυπτος^{nafs} καί^{c} εἰμί^{vdpx2s} ἐκεῖ^{bo} ἕως^{c} ἄν^{xo} λέγω^{vsaa1s} σύ$^{rpd-s}$ μέλλω^{vipa3s} γάρ^{c} Ἡρῴδης^{nnms} ζητέω^{vnpa} ὁ^{dans} παιδίον^{nans} ὁ^{dgms} ἀπόλλυμι^{vnaa} αὐτός^{rpans}. **v.14** ὁ^{dnms} δέ^{c} ἐγείρω^{vpapnms} παραλαμβάνω^{viaa3s} ὁ^{dans} παιδίον^{nans} καί^{c} ὁ^{dafs} μήτηρ^{nafs} αὐτός^{rpgms} νύξ^{ngfs} καί^{c} ἀναχωρέω^{viaa3s} εἰς^{p} Αἴγυπτος^{nafs}.

Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου. τότε Ἡρῴδης, ἰδὼν ὅτι 16
ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν, καὶ ἀποστείλας ἀ-
νεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ καὶ ἐν πᾶσι τοῖς
ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν
ἠκρίβωσε παρὰ τῶν μάγων. τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ Ἰ- 17
ερεμίου τοῦ προφήτου, λέγοντος, Φωνὴ ἐν Ῥαμᾶ ἠκούσθη, 18
θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολύς, Ῥαχὴλ κλαίουσα τὰ
τέκνα αὐτῆς, καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσί. τε- 19
λευτήσαντος δὲ τοῦ Ἡρώδου, ἰδοὺ ἄγγελος Κυρίου κατ᾽ ὄναρ
φαίνεται τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ, λέγων, Ἐγερθεὶς παράλαβε τὸ 20
παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ,
τεθνήκασι γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου. ὁ δὲ ἐ- 21
γερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ ἦλθεν
εἰς γῆν Ἰσραήλ. ἀκούσας δὲ ὅτι Ἀρχέλαος βασιλεύει ἐπὶ τῆς 22
Ἰουδαίας ἀντὶ Ἡρώδου τοῦ πατρὸς αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἀπελ-
θεῖν, χρηματισθεὶς δὲ κατ᾽ ὄναρ, ἀνεχώρησεν εἰς τὰ μέρη τῆς
Γαλιλαίας, καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομένην Ναζα- 23
ρέθ, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν προφητῶν ὅτι Ναζωραῖος
κληθήσεται.

Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ βαπτι- **3**

---

v.15 καί^{c} εἰμί^{viix3s} ἐκεῖ^{bo} ἕως^{c} ὁ^{dgfs} τελευτή^{ngfs} Ἡρῴδης^{ngms} ἵνα^{c} πληρόω^{vsap3s} ὁ^{dnns} λέγω^{vpapnns} ὑπό^{p} ὁ^{dgms} κύριος^{ngms} διά^{p} ὁ^{dgms} προφήτης^{ngms} λέγω^{vppagns} ἐκ^{p} Αἴγυπτος^{ngfs} καλέω^{viaa1s} ὁ^{dams} υἱός^{nams} ἐγώ$^{rpg-s}$. **v.16** τότε^{bo} Ἡρῴδης^{nnms} ὁράω^{vpaanms} ὅτι^{c} ἐμπαίζω^{viap3s} ὑπό^{p} ὁ^{dgmp} μάγος^{ngmp} θυμόω^{viap3s} λίαν^{bo} καί^{c} ἀποστέλλω^{vpaanms} ἀναιρέω^{viaa3s} πᾶς^{aampn} ὁ^{damp} παῖς^{namp} ὁ^{damp} ἐν^{p} Βηθλέεμ^{tp} καί^{c} ἐν^{p} πᾶς^{adnpn} ὁ^{ddnp} ὅριον^{ndnp} αὐτός^{rpgfs} ἀπό^{p} διετής^{agmsn} καί^{c} κατωτέρω^{bo} κατά^{p} ὁ^{dams} χρόνος^{nams} ὅς^{rrams} ἀκριβόω^{viaa3s} παρά^{p} ὁ^{dgmp} μάγος^{ngmp}. **v.17** τότε^{bo} πληρόω^{viap3s} ὁ^{dnns} λέγω^{vpapnns} ὑπό^{p} Ἰερεμίας^{ngms} ὁ^{dgms} προφήτης^{ngms} λέγω^{vppagns}. **v.18** φωνή^{nnfs} ἐν^{p} Ῥαμά^{tp} ἀκούω^{viap3s} θρῆνος^{nnms} καί^{c} κλαυθμός^{nnms} καί^{c} ὀδυρμός^{nnms} πολύς^{anmsn} Ῥαχήλ^{tp} κλαίω^{vppanfs} ὁ^{danp} τέκνον^{nanp} αὐτός^{rpgfs} καί^{c} οὐ^{xo} θέλω^{viia3s} παρακαλέω^{vnap} ὅτι^{c} οὐ^{xo} εἰμί^{vipx3p}. **v.19** τελευτάω^{vpaagms} δέ^{c} ὁ^{dgms} Ἡρῴδης^{ngms} ἰδού^{vdaa2s} ἄγγελος^{nnms} κύριος^{ngms} κατά^{p} ὄναρ^{to} φαίνω^{vipe3s} ὁ^{ddms} Ἰωσήφ^{tp} ἐν^{p} Αἴγυπτος^{ndfs}. **v.20** λέγω^{vppanms} ἐγείρω^{vpapnms} παραλαμβάνω^{vdaa2s} ὁ^{dans} παιδίον^{nans} καί^{c} ὁ^{dafs} μήτηρ^{nafs} αὐτός^{rpgms} καί^{c} πορεύομαι^{vdpn2s} εἰς^{p} γῆ^{nafs} Ἰσραήλ^{tp} θνῄσκω^{vixa3p} γάρ^{c} ὁ^{dnmp} ζητέω^{vppanmp} ὁ^{dafs} ψυχή^{nafs} ὁ^{dgns} παιδίον^{ngns}. **v.21** ὁ^{dnms} δέ^{c} ἐγείρω^{vpapnms} παραλαμβάνω^{viaa3s} ὁ^{dans} παιδίον^{nans} καί^{c} ὁ^{dafs} μήτηρ^{nafs} αὐτός^{rpgms} καί^{c} ἔρχομαι^{viaa3s} εἰς^{p} γῆ^{nafs} Ἰσραήλ^{tp}. **v.22** ἀκούω^{vpaanms} δέ^{c} ὅτι^{c} Ἀρχέλαος^{nnms} βασιλεύω^{vipa3s} ἐπί^{p} ὁ^{dgfs} Ἰουδαία^{ngfs} ἀντί^{p} Ἡρῴδης^{ngms} ὁ^{dgms} πατήρ^{ngms} αὐτός^{rpgms} φοβέομαι^{viao3s} ἐκεῖ^{bo} ἀπέρχομαι^{vnaa} χρηματίζω^{vpapnms} δέ^{c} κατά^{p} ὄναρ^{to} ἀναχωρέω^{viaa3s} εἰς^{p} ὁ^{danp} μέρος^{nanp} ὁ^{dgfs} Γαλιλαία^{ngfs}. **v.23** καί^{c} ἔρχομαι^{vpaanms} κατοικέω^{viaa3s} εἰς^{p} πόλις^{nafs} λέγω^{vpppafs} Ναζαρά^{tp} ὅπως^{bo} πληρόω^{vsap3s} ὁ^{dnns} λέγω^{vpapnns} διά^{p} ὁ^{dgmp} προφήτης^{ngmp} ὅτι^{c} Ναζωραῖος^{nnms} καλέω^{vifp3s}.

στὴς, κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας. καὶ λέγων, Μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς ὑπὸ Ἡσαΐου τοῦ προφήτου, λέγοντος, Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. αὐτὸς δὲ ὁ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ, ἡ δὲ τροφὴ αὐτοῦ ἦν ἀκρίδες καὶ μέλι ἄγριον. τότε ἐξεπορεύετο πρὸς αὐτὸν Ἱεροσόλυμα καὶ πᾶσα ἡ Ἰουδαία καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου, καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ᾽ αὐτοῦ ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. ἰδὼν δὲ πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ, εἶπεν αὐτοῖς, Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς· ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, Πατέρα ἔχομεν τὸν Ἀβραάμ, λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται, πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι εἰς μετάνοιαν, ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μού ἐστιν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βα-

---

3. **v.1** ἐν^{p} δέ^{c} ὁ^{ddfp} ἡμέρα^{ndfp} ἐκεῖνος^{rddfp} παραγίνομαι^{vipn3s} Ἰωάννης^{nnms} ὁ^{dnms} βαπτιστής^{nnms} κηρύσσω^{vppanms} ἐν^{p} ὁ^{ddfs} ἔρημος^{adfsn} ὁ^{dgfs} Ἰουδαία^{ngfs}. **v.2** καί^{c} λέγω^{vppanms} μετανοέω^{vdpa2p} ἐγγίζω^{vixa3s} γάρ^{c} ὁ^{dnfs} βασιλεία^{nnfs} ὁ^{dgmp} οὐρανός^{ngmp}. **v.3** οὗτος^{rdnms} γάρ^{c} εἰμί^{vipx3s} ὁ^{dnms} λέγω^{vpapnms} ὑπό^{p} Ἡσαΐας^{ngms} ὁ^{dgms} προφήτης^{ngms} λέγω^{vppagms} φωνή^{nnfs} βοάω^{vppagms} ἐν^{p} ὁ^{ddfs} ἔρημος^{adfsn} ἑτοιμάζω^{vdaa2p} ὁ^{dafs} ὁδός^{nafs} κύριος^{ngms} εὐθύς^{aafpn} ποιέω^{vdpa2p} ὁ^{dafp} τρίβος^{nafp} αὐτός^{rpgms}. **v.4** αὐτός^{rpnms} δέ^{c} ὁ^{dnms} Ἰωάννης^{nnms} ἔχω^{viia3s} ὁ^{dans} ἔνδυμα^{nans} αὐτός^{rpgms} ἀπό^{p} θρίξ^{ngfp} κάμηλος^{ngms} καί^{c} ζώνη^{nafs} δερμάτινος^{aafsn} περί^{p} ὁ^{dafs} ὀσφύς^{nafs} αὐτός^{rpgms} ὁ^{dnfs} δέ^{c} τροφή^{nnfs} αὐτός^{rpgms} εἰμί^{viix3s} ἀκρίς^{nnfp} καί^{c} μέλι^{nnns} ἄγριος^{annsn}. **v.5** τότε^{bo} ἐκπορεύομαι^{viin3s} πρός^{p} αὐτός^{rpams} Ἱεροσόλυμα^{nnfs} καί^{c} πᾶς^{anfsn} ὁ^{dnfs} Ἰουδαία^{nnfs} καί^{c} πᾶς^{anfsn} ὁ^{dnfs} περίχωρος^{anmsn} ὁ^{dgms} Ἰορδάνης^{ngms}. **v.6** καί^{c} βαπτίζω^{viip3p} ἐν^{p} ὁ^{ddms} Ἰορδάνης^{ndms} ὑπό^{p} αὐτός^{rpgms} ἐξομολογέω^{vppmnmp} ὁ^{dafp} ἁμαρτία^{nafp} αὐτός^{rpgmp}. **v.7** ὁράω^{vpaanms} δέ^{c} πολύς^{aampn} ὁ^{dgmp} Φαρισαῖος^{ngmp} καί^{c} Σαδδουκαῖος^{ngmp} ἔρχομαι^{vppnamp} ἐπί^{p} ὁ^{dans} βάπτισμα^{nans} αὐτός^{rpgms} λέγω^{viaa3s} αὐτός^{rpdmp} γέννημα^{nvnp} ἔχιδνα^{ngfp} τίς^{rqnms} ὑποδείκνυμι^{viaa3s} σύ$^{rpd-p}$ φεύγω^{vnaa} ἀπό^{p} ὁ^{dgfs} μέλλω^{vppagfs} ὀργή^{ngfs}. **v.8** ποιέω^{vdaa2p} οὖν^{c} καρπός^{namp} ἄξιος^{aampn} ὁ^{dgfs} μετάνοια^{ngfs}. **v.9** καί^{c} μή^{xo} δοκέω^{vsaa2p} λέγω^{vnpa} ἐν^{p} ἑαυτοῦ^{rxdmp} πατήρ^{nams} ἔχω^{vipa1p} ὁ^{dams} Ἀβραάμ^{tp} λέγω^{vipa1s} γάρ^{c} σύ$^{rpd-p}$ ὅτι^{c} δύναμαι^{vipn3s} ὁ^{dnms} θεός^{nnms} ἐκ^{p} ὁ^{dgmp} λίθος^{ngmp} οὗτος^{rdgmp} ἐγείρω^{vnaa} τέκνον^{nanp} ὁ^{ddms} Ἀβραάμ^{tp}. **v.10** ἤδη^{bo} δέ^{c} καί^{c} ὁ^{dnfs} ἀξίνη^{nnfs} πρός^{p} ὁ^{dafs} ῥίζα^{nafs} ὁ^{dgnp} δένδρον^{ngnp} κεῖμαι^{vipn3s} πᾶς^{annsn} οὖν^{c} δένδρον^{nnns} μή^{xo} ποιέω^{vppanns} καρπός^{nams} καλός^{aamsn} ἐκκόπτω^{vipp3s} καί^{c} εἰς^{p} πῦρ^{nans} βάλλω^{vipp3s}.

στάσαι, αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι Ἁγίῳ καὶ πυρί, οὗ 12
τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ,
καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον
κατακαύσει πυρὶ ἀσβέστῳ. Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ 13
τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην, τοῦ βαπτι-
σθῆναι ὑπ᾽ αὐτοῦ. ὁ δὲ Ἰωάννης διεκώλυεν αὐτὸν λέγων, Ἐγὼ 14
χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με· ἀ- 15
ποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν, Ἄφες ἄρτι, οὕτω γὰρ
πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. τότε ἀφίησιν
αὐτόν. καὶ βαπτισθεὶς ὁ Ἰησοῦς ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος, 16
καὶ ἰδοὺ, ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί, καὶ εἶδε τὸ Πνεῦμα
τοῦ θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν καὶ ἐρχόμενον ἐπ᾽ αὐτόν.
καὶ ἰδοὺ, φωνὴ ἐκ τῶν οὐρανῶν, λέγουσα, Οὗτός ἐστιν ὁ υἱός 17
μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα.

Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ Πνεύματος, **4**
πειρασθῆναι ὑπὸ τοῦ διαβόλου. καὶ νηστεύσας ἡμέρας τεσ- 2
σαράκοντα καὶ νύκτας τεσσαράκοντα, ὕστερον ἐπείνασε. καὶ 3
προσελθὼν αὐτῷ ὁ πειράζων εἶπεν, Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ
ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. ὁ δὲ ἀποκριθεὶς εἶπε, Γέ- 4
γραπται, Οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ

---

v.11 ἐγώ$^{rpn\text{-}s}$ μέν^{xo} βαπτίζω^{vipa1s} σύ$^{rpa\text{-}p}$ ἐν^{p} ὕδωρ^{ndns} εἰς^{p} μετάνοια^{nafs} ὁ^{dnms} δέ^{c} ὀπίσω^{bo} ἐγώ$^{rpg\text{-}s}$ ἔρχομαι^{vppnnms} ἰσχυρός^{anmsc} ἐγώ$^{rpg\text{-}s}$ εἰμί^{vipx3s} ὅς^{rrgms} οὐ^{xo} εἰμί^{vipx1s} ἱκανός^{anmsn} ὁ^{danp} ὑπόδημα^{nanp} βαστάζω^{vnaa} αὐτός^{rpnms} σύ$^{rpa\text{-}p}$ βαπτίζω^{vifa3s} ἐν^{p} πνεῦμα^{ndns} ἅγιος^{adnsn} καί^{c} πῦρ^{ndns}. **v.12** ὅς^{rrgms} ὁ^{dnns} πτύον^{nnns} ἐν^{p} ὁ^{ddfs} χείρ^{ndfs} αὐτός^{rpgms} καί^{c} διακαθαρίζω^{vifa3s} ὁ^{dafs} ἅλων^{nafs} αὐτός^{rpgms} καί^{c} συνάγω^{vifa3s} ὁ^{dams} σῖτος^{nams} αὐτός^{rpgms} εἰς^{p} ὁ^{dafs} ἀποθήκη^{nafs} ὁ^{dans} δέ^{c} ἄχυρον^{nans} κατακαίω^{vifa3s} πῦρ^{ndns} ἄσβεστος^{adnsn}. **v.13** τότε^{bo} παραγίνομαι^{vipn3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἀπό^{p} ὁ^{dgfs} Γαλιλαία^{ngfs} ἐπί^{p} ὁ^{dams} Ἰορδάνης^{nams} πρός^{p} ὁ^{dams} Ἰωάννης^{nams} ὁ^{dgms} βαπτίζω^{vnap} ὑπό^{p} αὐτός^{rpgms}. **v.14** ὁ^{dnms} δέ^{c} Ἰωάννης^{nnms} διακωλύω^{viia3s} αὐτός^{rpams} λέγω^{vppanms} ἐγώ$^{rpn\text{-}s}$ χρεία^{nafs} ἔχω^{vipa1s} ὑπό^{p} σύ$^{rpg\text{-}s}$ βαπτίζω^{vnap} καί^{c} σύ$^{rpn\text{-}s}$ ἔρχομαι^{vipn2s} πρός^{p} ἐγώ$^{rpa\text{-}s}$. **v.15** ἀποκρίνομαι^{vpaonms} δέ^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} πρός^{p} αὐτός^{rpams} ἀφίημι^{vdaa2s} ἄρτι^{bo} οὕτω^{bo} γάρ^{c} πρέπω^{vppqnns} εἰμί^{vipx3s} ἐγώ$^{rpd\text{-}p}$ πληρόω^{vnaa} πᾶς^{aafsn} δικαιοσύνη^{nafs} τότε^{bo} ἀφίημι^{vipa3s} αὐτός^{rpams}. **v.16** καί^{c} βαπτίζω^{vpapnms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἀναβαίνω^{viaa3s} εὐθύς^{bo} ἀπό^{p} ὁ^{dgns} ὕδωρ^{ngns} καί^{c} ἰδού^{vdaa2s} ἀνοίγω^{viap3p} αὐτός^{rpdms} ὁ^{dnmp} οὐρανός^{nnmp} καί^{c} ὁράω^{viaa3s} ὁ^{dans} πνεῦμα^{nans} ὁ^{dgms} θεός^{ngms} καταβαίνω^{vppaans} ὡσεί^{bo} περιστερά^{nafs} καί^{c} ἔρχομαι^{vppnans} ἐπί^{p} αὐτός^{rpams}. **v.17** καί^{c} ἰδού^{vdaa2s} φωνή^{nnfs} ἐκ^{p} ὁ^{dgmp} οὐρανός^{ngmp} λέγω^{vppanfs} οὗτος^{rdnms} εἰμί^{vipx3s} ὁ^{dnms} υἱός^{nnms} ἐγώ$^{rpg\text{-}s}$ ὁ^{dnms} ἀγαπητός^{anmsn} ἐν^{p} ὅς^{rrdms} εὐδοκέω^{viaa1s}. **4. v.1** τότε^{bo} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἀνάγω^{viap3s} εἰς^{p} ὁ^{dafs} ἔρημος^{aafsn} ὑπό^{p} ὁ^{dgns} πνεῦμα^{ngns} πειράζω^{vnap} ὑπό^{p} ὁ^{dgms} διάβολος^{agmsn}. **v.2** καί^{c} νηστεύω^{vpaanms} ἡμέρα^{nafp} τεσσεράκοντα^{tn} καί^{c} νύξ^{nafp} τεσσεράκοντα^{tn} ὕστερος^{bo} πεινάω^{viaa3s}. **v.3** καί^{c} προσέρχομαι^{vpaanms} αὐτός^{rpdms} ὁ^{dnms} πειράζω^{vppanms} λέγω^{viaa3s} εἰ^{qo} υἱός^{nnms} εἰμί^{vipx2s} ὁ^{dgms} θεός^{ngms} λέγω^{vdaa2s} ἵνα^{c} ὁ^{dnmp} λίθος^{nnmp} οὗτος^{rdnmp} ἄρτος^{nnmp} γίνομαι^{vsad3p}.

5 ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. Τότε παραλαμβά-
νει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν, καὶ ἵστησιν αὐτὸν
6 ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ λέγει αὐτῷ, Εἰ υἱὸς εἶ τοῦ
Θεοῦ, βάλε σεαυτὸν κάτω, γέγραπται γὰρ ὅτι Τοῖς ἀγγέλοις
αὐτοῦ ἐντελεῖται περὶ σοῦ καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε
7 προσκόψῃς πρὸς λίθον τὸν πόδα σοῦ. ἔφη αὐτῷ ὁ Ἰησοῦς,
8 Πάλιν γέγραπται, Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου. πά-
λιν παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν, καὶ
δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κόσμου καὶ τὴν δό-
9 ξαν αὐτῶν, καὶ λέγει αὐτῷ, Ταῦτά πάντα σοι δώσω, ἐὰν πεσὼν
10 προσκυνήσῃς μοι. τότε λέγει αὐτῷ ὁ Ἰησοῦς, Ὕπαγε, Σατα-
νᾶ. γέγραπται γάρ, Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ
11 αὐτῷ μόνῳ λατρεύσεις. τότε ἀφίησιν αὐτὸν ὁ διάβολος, καὶ
12 ἰδού, ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ. Ἀκούσας δὲ ὁ
Ἰησοῦς ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν,
13 καὶ καταλιπὼν τὴν Ναζαρέθ, ἐλθὼν κατῴκησεν εἰς Καπερνα-
οὺμ τὴν παραθαλασσίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ,
14 ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος,
15 Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης, πέραν τοῦ
16 Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει

---

v.4 ὁdnms δέc ἀποκρίνομαιvpaonms λέγωviaa3s γράφωvixp3s οὐxo ἐπίp ἄρτοςndms μόνοςadmsn ζάωvifd3s ἄνθρωποςnnms ἀλλάc ἐπίp πᾶςadnsn ῥῆμαndns ἐκπορεύομαιvppndns διάp στόμαngns θεόςngms. **v.5** τότεbo παραλαμβάνωvipa3s αὐτόςrpams ὁdnms διάβολοςanmsn εἰςp ὁdafs ἅγιοςaafsn πόλιςnafs καιc ἵστημιvipa3s αὐτόςrpams ἐπίp ὁdans πτερύγιονnans ὁdgns ἱερόνngns. **v.6** καίc λέγωvipa3s αὐτόςrpdms εἰqo υἱόςnnms εἰμίvipx2s ὁdgms θεόςngms βάλλωvdaa2s σεαυτοῦrxams κάτωp γράφωvixp3s γάρc ὅτιc ὁddmp ἄγγελοςndmp αὐτόςrpgms ἐντέλλομαιvifn3s περίp σύrpg-s καιc ἐπίp χείρngfp αἴρωvifa3p σύrpa-s μήποτεbo προσκόπτωvsaa2s πρόςp λίθοςnams ὁdams πούςnams σύrpg-s. **v.7** φημίviix3s αὐτόςrpdms ὁdnms Ἰησοῦςnnms πάλινbo γράφωvixp3s οὐxo ἐκπειράζωvifa2s κύριοςnams ὁdams θεόςnams σύrpg-s. **v.8** πάλινbo παραλαμβάνωvipa3s αὐτόςrpams ὁdnms διάβολοςanmsn εἰςp ὄροςnans ὑψηλόςaansn λίανbo καιc δείκνυμιvipa3s αὐτόςrpdms πᾶςaafpn ὁdafp βασιλείαnafp ὁdgms κόσμοςngms καιc ὁdafs δόξαnafs αὐτόςrpgfp. **v.9** καίc λέγωvipa3s αὐτόςrpdms οὗτοςrdanp πᾶςaanpn σύrpd-s δίδωμιvifa1s ἐάνqo πίπτωvpaanms προσκυνέωvsaa2s ἐγώrpd-s. **v.10** τότεbo λέγωvipa3s αὐτόςrpdms ὁdnms Ἰησοῦςnnms ὑπάγωvdpa2s Σατανᾶςnvms γράφωvixp3s γάρc κύριοςnams ὁdams θεόςnams σύrpg-s προσκυνέωvifa2s καιc αὐτόςrpdms μόνοςadmsn λατρεύωvifa2s. **v.11** τότεbo ἀφίημιvipa3s αὐτόςrpams ὁdnms διάβολοςanmsn καιc ἰδούvdaa2s ἄγγελοςnnmp προσέρχομαιviaa3p καιc διακονέωviia3p αὐτόςrpdms. **v.12** ἀκούωvpaanms δέc ὁdnms Ἰησοῦςnnms ὅτιc Ἰωάννηςnnms παραδίδωμιviap3s ἀναχωρέωviaa3s εἰςp ὁdafs Γαλιλαίαnafs. **v.13** καίc καταλείπωvpaanms ὁdafs Ναζαράtp ἔρχομαιvpaanms κατοικέωviaa3s εἰςp Καπερναούμtp ὁdafs παραθαλάσσιοςaafsn ἐνp ὄριονndnp Ζαβουλὼνtp καιc Νεφθαλίμtp. **v.14** ἵναc πληρόωvsap3s ὁdnns λέγωvpapnns διάp Ἡσαΐαςngms ὁdgms προφήτηςngms λέγωvppagns. **v.15** γῆnnfs Ζαβουλὼνtp καιc γῆnnfs Νεφθαλίμtp ὁδόςnafs θάλασσαngfs πέρανbo ὁdgms Ἰορδάνηςngms Γαλιλαίαnnfs ὁdgnp ἔθνοςngnp.

εἶδε φῶς μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν αὐτοῖς. Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν 17
καὶ λέγειν, Μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.
Περιπατῶν δὲ ὁ Ἰησοῦς παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας εἶδε 18
δύο ἀδελφούς, Σίμωνα τὸν λεγόμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν
ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν,
ἦσαν γὰρ ἁλιεῖς. καὶ λέγει αὐτοῖς, Δεῦτε ὀπίσω μου, καὶ ποι- 19
ήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα 20
ἠκολούθησαν αὐτῷ. καὶ προβὰς ἐκεῖθεν, εἶδεν ἄλλους δύο 21
ἀδελφούς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελ-
φὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν,
καταρτίζοντας τὰ δίκτυα αὐτῶν, καὶ ἐκάλεσεν αὐτούς. οἱ δὲ 22
εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν ἠκολούθησαν
αὐτῷ. Καὶ περιῆγεν ὅλην τὴν Γαλιλαίᾳ ὁ Ἰησοῦς, διδάσκων 23
ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς
βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν
ἐν τῷ λαῷ. καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν, 24
καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας, ποικίλαις
νόσοις καὶ βασάνοις συνεχομένους, καὶ δαιμονιζομένους, καὶ
σεληνιαζομένους, καὶ παραλυτικούς, καὶ ἐθεράπευσεν αὐτούς.
καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας καὶ 25

---

v.16 ὁ^{dnms} λαὸς^{nnms} ὁ^{dnms} κάθημαι^{vppnnms} ἐν^{p} σκότος^{ndns} οἶδα^{viaa3s} φῶς^{nans} μέγας^{aansn} καί^{c} ὁ^{ddmp} κάθημαι^{vppndmp} ἐν^{p} χώρα^{ndfs} καί^{c} σκιά^{ndfs} θάνατος^{ngms} φῶς^{nnns} ἀνατέλλω^{viaa3s} αὐτός^{rpdmp}. **v.17** ἀπό^{p} τότε^{bo} ἄρχω^{viad3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} κηρύσσω^{vnpa} καί^{c} λέγω^{vnpa} μετανοέω^{vdpa2p} ἐγγίζω^{vixa3s} γάρ^{c} ὁ^{dnfs} βασιλεία^{nnfs} ὁ^{dgmp} οὐρανός^{ngmp}. **v.18** περιπατέω^{vppanms} δέ^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} παρά^{p} ὁ^{dafs} θάλασσα^{nafs} ὁ^{dgfs} Γαλιλαία^{ngfs} ὁράω^{viaa3s} δύο^{tn} ἀδελφός^{namp} Σίμων^{nams} ὁ^{dams} λέγω^{vpppams} Πέτρος^{nams} καί^{c} Ἀνδρέας^{nams} ὁ^{dams} ἀδελφός^{nams} αὐτός^{rpgms} βάλλω^{vppaamp} ἀμφίβληστρον^{nans} εἰς^{p} ὁ^{dafs} θάλασσα^{nafs} εἰμί^{viix3p} γάρ^{c} ἁλιεύς^{nnmp}. **v.19** καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdmp} δεῦτε^{vdvx2p} ὀπίσω^{bo} ἐγώ$^{rpg-s}$ καί^{c} ποιέω^{vifa1s} σύ$^{rpa-p}$ ἁλιεύς^{namp} ἄνθρωπος^{ngmp}. **v.20** ὁ^{dnmp} δέ^{c} εὐθέως^{bo} ἀφίημι^{vpaanmp} ὁ^{danp} δίκτυον^{nanp} ἀκολουθέω^{viaa3p} αὐτός^{rpdms}. **v.21** καί^{c} προβαίνω^{vpaanms} ἐκεῖθεν^{bo} ὁράω^{viaa3s} ἄλλος^{aampn} δύο^{tn} ἀδελφός^{namp} Ἰάκωβος^{nams} ὁ^{dams} ὁ^{dgms} Ζεβεδαῖος^{ngms} καί^{c} Ἰωάννης^{nams} ὁ^{dams} ἀδελφός^{nams} αὐτός^{rpgms} ἐν^{p} ὁ^{ddns} πλοῖον^{ndns} μετά^{p} Ζεβεδαῖος^{ngms} ὁ^{dgms} πατήρ^{ngms} αὐτός^{rpgmp} καταρτίζω^{vppaamp} ὁ^{danp} δίκτυον^{nanp} αὐτός^{rpgmp} καί^{c} καλέω^{viaa3s} αὐτός^{rpamp}. **v.22** ὁ^{dnmp} δέ^{c} εὐθέως^{bo} ἀφίημι^{vpaanmp} ὁ^{dans} πλοῖον^{nans} καί^{c} ὁ^{dams} πατήρ^{nams} αὐτός^{rpgmp} ἀκολουθέω^{viaa3p} αὐτός^{rpdms}. **v.23** καί^{c} περιάγω^{viia3s} ὅλος^{aafsn} ὁ^{dafs} Γαλιλαία^{nafs} ὁ^{dnms} Ἰησοῦς^{nnms} διδάσκω^{vppanms} ἐν^{p} ὁ^{ddfp} συναγωγή^{ndfp} αὐτός^{rpgmp} καί^{c} κηρύσσω^{vppanms} ὁ^{dans} εὐαγγέλιον^{nans} ὁ^{dgfs} βασιλεία^{ngfs} καί^{c} θεραπεύω^{vppanms} πᾶς^{aafsn} νόσος^{nafs} καί^{c} πᾶς^{aafsn} μαλακία^{nafs} ἐν^{p} ὁ^{ddms} λαός^{ndms}. **v.24** καί^{c} ἀπέρχομαι^{viaa3s} ὁ^{dnfs} ἀκοή^{nnfs} αὐτός^{rpgms} εἰς^{p} ὅλος^{aafsn} ὁ^{dafs} Συρία^{nafs} καί^{c} προσφέρω^{viaa3p} αὐτός^{rpdms} πᾶς^{aampn} ὁ^{damp} κακῶς^{bo} ἔχω^{vppaamp} ποικίλος^{adfpn} νόσος^{ndfp} καί^{c} βάσανος^{ndfp} συνέχω^{vpppamp} καί^{c} δαιμονίζομαι^{vppnamp} καί^{c} σεληνιάζομαι^{vppnamp} καί^{c} παραλυτικός^{aampn} καί^{c} θεραπεύω^{viaa3s} αὐτός^{rpamp}.

Δεκαπόλεως καὶ Ἱεροσολύμων καὶ Ἰουδαίας καὶ πέραν τοῦ Ἰορδάνου.

5 Ἰδὼν δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος. καὶ καθίσαντος αὐτοῦ, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς, λέγων, Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, ἕνεκεν ἐμοῦ, χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς, οὕτω γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν. Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς, ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται· εἰς οὐδὲν ἰσχύει ἔτι, εἰ μὴ βληθῆναι ἔξω καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων. ὑμεῖς ἐστε τὸ φῶς τοῦ κό-

---

v.25 καί[c] ἀκολουθέω[viaa3p] αὐτός[rpdms] ὄχλος[nnmp] πολύς[anmpn] ἀπό[p] ὁ[dgfs] Γαλιλαία[ngfs] καί[c] Δεκάπολις[ngfs] καί[c] Ἱεροσόλυμα[ngnp] καί[c] Ἰουδαία[ngfs] καί[c] πέραν[bo] ὁ[dgms] Ἰορδάνης[ngms].
5. v.1 ὁράω[vpaanms] δέ[c] ὁ[damp] ὄχλος[namp] ἀναβαίνω[viaa3s] εἰς[p] ὁ[dans] ὄρος[nans] καί[c] καθίζω[vpaagms] αὐτός[rpgms] προσέρχομαι[viaa3p] αὐτός[rpdms] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms].
v.2 καί[c] ἀνοίγω[vpaanms] ὁ[dans] στόμα[nans] αὐτός[rpgms] διδάσκω[viia3s] αὐτός[rpamp] λέγω[vppanms].
v.3 μακάριος[anmpn] ὁ[dnmp] πτωχός[anmpn] ὁ[ddns] πνεῦμα[ndns] ὅτι[c] αὐτός[rpgmp] εἰμί[vipx3s] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgmp] οὐρανός[ngmp].
v.4 μακάριος[anmpn] ὁ[dnmp] πενθέω[vppanmp] ὅτι[c] αὐτός[rpnmp] παρακαλέω[vifp3p].
v.5 μακάριος[anmpn] ὁ[dnmp] πραΰς[anmpn] ὅτι[c] αὐτός[rpnmp] κληρονομέω[vifa3p] ὁ[dafs] γῆ[nafs].
v.6 μακάριος[anmpn] ὁ[dnmp] πεινάω[vppanmp] καί[c] διψάω[vppanmp] ὁ[dafs] δικαιοσύνη[nafs] ὅτι[c] αὐτός[rpnmp] χορτάζω[vifp3p].
v.7 μακάριος[anmpn] ὁ[dnmp] ἐλεήμων[anmpn] ὅτι[c] αὐτός[rpnmp] ἐλεέω[vifp3p].
v.8 μακάριος[anmpn] ὁ[dnmp] καθαρός[anmpn] ὁ[ddfs] καρδία[ndfs] ὅτι[c] αὐτός[rpnmp] ὁ[dams] θεός[nams] ὁράω[vifd3p].
v.9 μακάριος[anmpn] ὁ[dnmp] εἰρηνοποιός[anmpn] ὅτι[c] αὐτός[rpnmp] υἱός[nnmp] θεός[ngms] καλέω[vifp3p].
v.10 μακάριος[anmpn] ὁ[dnmp] διώκω[vpxpnmp] ἕνεκα[bo] δικαιοσύνη[ngfs] ὅτι[c] αὐτός[rpgmp] εἰμί[vipx3s] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgmp] οὐρανός[ngmp].
v.11 μακάριος[anmpn] εἰμί[vipx2p] ὅταν[c] ὀνειδίζω[vsaa3p] σύ[rpa-p] καί[c] διώκω[vsaa3p] καί[c] λέγω[vsaa3p] πᾶς[aansn] πονηρός[aansn] ῥῆμα[nans] κατά[p] σύ[rpg-p] ψεύδομαι[vppenmp] ἕνεκα[bo] ἐγώ[rpg-s].
v.12 χαίρω[vdpa2p] καί[c] ἀγαλλιάω[vdpn2p] ὅτι[c] ὁ[dnms] μισθός[nnms] σύ[rpg-p] πολύς[anmsn] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp] οὕτω[bo] γάρ[c] διώκω[viaa3p] ὁ[damp] προφήτης[namp] ὁ[damp] πρό[p] σύ[rpg-p].
v.13 σύ[rpn-p] εἰμί[vipx2p] ὁ[dnns] ἅλας[nnns] ὁ[dgfs] γῆ[ngfs] ἐάν[qo] δέ[c] ὁ[dnns] ἅλας[nnns] μωραίνω[vsap3s] ἐν[p] τίς[rqdns] ἁλίζω[vifp3s] εἰς[p] οὐδείς[aansn] ἰσχύω[vipa3s] ἔτι[bo] εἰ[qo] μή[xo] βάλλω[vnap] ἔξω[bo] καί[c] καταπατέω[vnpp] ὑπό[p] ὁ[dgmp] ἄνθρωπος[ngmp].

σμου, οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη, οὐδὲ 15
καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν
λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. οὕτω λαμψάτω τὸ 16
φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.
Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας, 17
οὐκ ἦλθον καταλῦσαι ἀλλὰ πληρῶσαι. ἀμὴν γὰρ λέγω ὑμῖν, 18
ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ
μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου ἕως ἂν πάντα γένηται. ὃς ἐὰν οὖν 19
λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω
τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν
τῇ βασιλείᾳ τῶν οὐρανῶν. λέγω γὰρ ὑμῖν ὅτι ἐὰν μὴ περισσεύ- 20
σῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων,
οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ἠκούσατε 21
ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, Οὐ φονεύσεις, ὃς δ' ἂν φονεύσῃ, ἔν-
οχος ἔσται τῇ κρίσει, ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ ὀργιζόμενος 22
τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ ἔνοχος ἔσται τῇ κρίσει, ὃς δ' ἂν εἴπῃ
τῷ ἀδελφῷ αὐτοῦ, ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ, ὃς δ' ἂν
εἴπῃ, Μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. ἐὰν οὖν 23

---

v.14 σύ[rpn-p] εἰμί[vipx2p] ὁ[dnns] φῶς[nnns] ὁ[dgms] κόσμος[ngms] οὐ[xo] δύναμαι[vipn3s] πόλις[nnfs] κρύπτω[vnap] ἐπάνω[bo] ὄρος[ngns] κεῖμαι[vppnnfs]. **v.15** οὐδέ[bo] καίω[vipa3p] λύχνος[nafs] καί[c] τίθημι[vipa3p] αὐτός[rpams] ὑπό[p] ὁ[dams] μόδιος[nams] ἀλλά[c] ἐπί[p] ὁ[dafs] λυχνία[nafs] καί[c] λάμπω[vipa3s] πᾶς[admpn] ὁ[ddmp] ἐν[p] ὁ[ddfs] οἰκία[ndfs]. **v.16** οὕτω[bo] λάμπω[vdaa3s] ὁ[dnns] φῶς[nnns] σύ[rpg-p] ἔμπροσθεν[p] ὁ[dgmp] ἄνθρωπος[ngmp] ὅπως[bo] ὁράω[vsaa3p] σύ[rpg-p] ὁ[danp] καλός[aanpn] ἔργον[nanp] καί[c] δοξάζω[vsaa3p] ὁ[dams] πατήρ[nams] σύ[rpg-p] ὁ[dams] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp]. **v.17** μή[xo] νομίζω[vsaa2p] ὅτι[c] ἔρχομαι[viaa1s] καταλύω[vnaa] ὁ[dams] νόμος[nams] ἤ[xo] ὁ[damp] προφήτης[namp] οὐ[xo] ἔρχομαι[viaa1s] καταλύω[vnaa] ἀλλά[c] πληρόω[vnaa]. **v.18** ἀμήν[th] γάρ[c] λέγω[vipa1s] σύ[rpd-p] ἕως[c] ἄν[xo] παρέρχομαι[vsaa3s] ὁ[dnms] οὐρανός[nnms] καί[c] ὁ[dnfs] γῆ[nnfs] ἰῶτα[tl] εἷς[nnns] ἤ[xo] εἷς[nnfs] κεραία[nnfs] οὐ[xo] μή[xo] παρέρχομαι[vsaa3s] ἀπό[p] ὁ[dgms] νόμος[ngms] ἕως[c] ἄν[xo] πᾶς[annpn] γίνομαι[vsad3s]. **v.19** ὅς[rrnms] ἐάν[qo] οὖν[c] λύω[vsaa3s] εἷς[nafs] ὁ[dgfp] ἐντολή[ngfp] οὗτος[rdgfp] ὁ[dgfp] ἐλάχιστος[agfpn] καί[c] διδάσκω[vsaa3s] οὕτω[bo] ὁ[damp] ἄνθρωπος[namp] ἐλάχιστος[anmsn] καλέω[vifp3s] ἐν[p] ὁ[ddfs] βασιλεία[ndfs] ὁ[dgmp] οὐρανός[ngmp] ὅς[rrnms] δέ[c] ἄν[xo] ποιέω[vsaa3s] καί[c] διδάσκω[vsaa3s] οὗτος[rdnms] μέγας[anmsn] καλέω[vifp3s] ἐν[p] ὁ[ddfs] βασιλεία[ndfs] ὁ[dgmp] οὐρανός[ngmp]. **v.20** λέγω[vipa1s] γάρ[c] σύ[rpd-p] ὅτι[c] ἐάν[qo] μή[xo] περισσεύω[vsaa3s] ὁ[dnfs] δικαιοσύνη[nnfs] σύ[rpg-p] πολύς[aansc] ὁ[dgmp] γραμματεύς[ngmp] καί[c] Φαρισαῖος[ngmp] οὐ[xo] μή[xo] εἰσέρχομαι[vsaa2p] εἰς[p] ὁ[dafs] βασιλεία[nafs] ὁ[dgmp] οὐρανός[ngmp]. **v.21** ἀκούω[viaa2p] ὅτι[c] λέγω[viap3s] ὁ[ddmp] ἀρχαῖος[admpn] οὐ[xo] φονεύω[vifa2s] ὅς[rrnms] δέ[c] ἄν[xo] φονεύω[vsaa3s] ἔνοχος[anmsn] εἰμί[vifx3s] ὁ[ddfs] κρίσις[ndfs]. **v.22** ἐγώ[rpn-s] δέ[c] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] πᾶς[anmsn] ὁ[dnms] ὀργίζω[vpppnms] ὁ[ddms] ἀδελφός[ndms] αὐτός[rpgms] εἰκῇ[bo] ἔνοχος[anmsn] εἰμί[vifx3s] ὁ[ddfs] κρίσις[ndfs] ὅς[rrnms] δέ[c] ἄν[xo] λέγω[vsaa3s] ὁ[ddms] ἀδελφός[ndms] αὐτός[rpgms] ῥακά[ta] ἔνοχος[anmsn] εἰμί[vifx3s] ὁ[ddns] συνέδριον[ndns] ὅς[rrnms] δέ[c] ἄν[xo] λέγω[vsaa3s] μωρός[avmsn] ἔνοχος[anmsn] εἰμί[vifx3s] εἰς[p] ὁ[dafs] γέεννα[nafs] ὁ[dgns] πῦρ[ngns].

προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς
24 ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου
ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε, πρῶτον διαλλάγηθι
25 τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. ἴσθι
εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχύ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ᾽ αὐ-
τοῦ, μήποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ, καὶ ὁ κριτὴς σε
26 παραδῷ τῷ ὑπηρέτῃ, καὶ εἰς φυλακὴν βληθήσῃ. ἀμὴν λέγω
σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως ἂν ἀποδῷς τὸν ἔσχατον κο-
27 δράντην. Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, Οὐ μοιχεύσεις.
28 ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆ-
29 σαι αὐτῆς ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. εἰ δὲ
ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε
ἀπὸ σοῦ, συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν σου,
30 καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν. καὶ εἰ ἡ δεξιά
σου χεὶρ σκανδαλίζει σε, ἔκκοψον αὐτὴν καὶ βάλε ἀπὸ σοῦ,
συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον
31 τὸ σῶμά σου βληθῇ εἰς γέενναν. ἐρρέθη δὲ ὅτι Ὃς ἂν ἀπο-
32 λύσῃ τὴν γυναῖκα αὐτοῦ, δότω αὐτῇ ἀποστάσιον, ἐγὼ δὲ λέγω
ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου
πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι, καὶ ὃς ἐὰν ἀπολελυμένην

---

v.23 ἐάνqo οὖνc προσφέρωvspa2s ὁdans δῶρονnans σύrpg-s ἐπίp ὁdans θυσιαστήριονnans κἀκεῖbo μιμνήσκομαιvsap2s ὅτιc ὁdnms ἀδελφόςnnms σύrpg-s ἔχωvipa3s τι-σριανσ κατάp σύrpg-s. **v.24** ἀφίημιvdaa2s ἐκεῖbo ὁdans δῶρονnans σύrpg-s ἔμπροσθενp ὁdgns θυσιαστήριονngns καίc ὑπάγωvdpa2s πρῶτοςbo διαλλάσσωvdap2s ὁddms ἀδελφόςndms σύrpg-s καίc τότεbo ἔρχομαιvpaanms προσφέρωvdpa2s ὁdans δῶρονnans σύrpg-s. **v.25** εἰμίvdpx2s εὐνοέωvppanms ὁddms ἀντίδικοςndms σύrpg-s ταχύsbo ἕωςc ὅστιςrrgns εἰμίvipx2s ἐνp ὁddfs ὁδόςndfs μετάp αὐτόςrpgms μήποτεbo σύrpa-s παραδίδωμιvsaa3s ὁdnms ἀντίδικοςnnms ὁddms κριτήςndms καίc ὁdnms κριτὴςnnms σύrpa-s παραδίδωμιvsaa3s ὁddms ὑπηρέτηςndms καίc εἰςp φυλακήnafs βάλλωvifp2s. **v.26** ἀμήνth λέγωvipa1s σύrpd-s οὐxo μήxo ἐξέρχομαιvsaa2s ἐκεῖθενbo ἕωςc ἄνxo ἀποδίδωμιvsaa2s ὁdams ἔσχατοςaamsn κοδράντηςnams. **v.27** ἀκούωviaa2p ὅτιc λέγωviap3s ὁddmp ἀρχαῖοςadmpn οὐxo μοιχεύωvifa2s. **v.28** ἐγώrpn-s δέc λέγωvipa1s σύrpd-p ὅτιc πᾶςanmsn ὁdnms βλέπωvppanms γυνήnafs πρόςp ὁdans ἐπιθυμέωvnaa αὐτόςrpgfs ἤδηbo μοιχεύωviaa3s αὐτόςrpafs ἐνp ὁddfs καρδίαndfs αὐτόςrpgms. **v.29** εἰqo δέc ὁdnms ὀφθαλμόςnnms σύrpg-s ὁdnms δεξιόςanmsn σκανδαλίζωvipa3s σύrpa-s ἐξαιρέωvdaa2s αὐτόςrpams καίc βάλλωvdaa2s ἀπόp σύrpg-s συμφέρωvipa3s γάρc σύrpd-s ἵναc ἀπόλλυμιvsam3s εἷςnans ὁdgnp μέλοςngnp σύrpg-s καίc μήxo ὅλοςannsn ὁdnns σῶμαnnns σύrpg-s βάλλωvsap3s εἰςp γέεννανafs. **v.30** καίc εἰqo ὁdnfs δεξιόςanfsn σύrpg-s χεὶρnnfs σκανδαλίζωvipa3s σύrpa-s ἐκκόπτωvdaa2s αὐτόςrpafs καίc βάλλωvdaa2s ἀπόp σύrpg-s συμφέρωvipa3s γάρc σύrpd-s ἵναc ἀπόλλυμιvsam3s εἷςnans ὁdgnp μέλοςngnp σύrpg-s καίc μήxo ὅλοςannsn ὁdnns σῶμαnnns σύrpg-s βάλλωvsap3s εἰςp γέεννανafs. **v.31** λέγωviap3s δέc ὅτιc ὅςrrnms ἄνxo ἀπολύωvsaa3s ὁdafs γυνήnafs αὐτόςrpgms δίδωμιvdaa3s αὐτόςrpdfs ἀποστάσιονnans.

γαμήσῃ μοιχᾶται, Πάλιν ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, 33
Οὐκ ἐπιορκήσεις, ἀποδώσεις δὲ τῷ κυρίῳ τοὺς ὅρκους σου.
ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως, μήτε ἐν τῷ οὐρανῷ, ὅτι 34
θρόνος ἐστὶ τοῦ Θεοῦ, μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν 35
ποδῶν αὐτοῦ, μήτε εἰς Ἰεροσόλυμα, ὅτι πόλις ἐστὶ τοῦ μεγά-
λου βασιλέως, μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς, ὅτι οὐ δύνασαι 36
μίαν τρίχα λευκὴν ἢ μέλαιναν ποιῆσαι. ἔστω δὲ ὁ λόγος ὑμῶν, 37
ναὶ ναί, οὒ οὔ, τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν.
Ἠκούσατε ὅτι ἐρρέθη, Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα 38
ἀντὶ ὀδόντος, ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἀλλ΄ 39
ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιάν σου σιαγόνα, στρέψον αὐτῷ καὶ
τὴν ἄλλην, καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου 40
λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον, καὶ ὅστις σε ἀγγαρεύσει μί- 41
λιον ἕν, ὕπαγε μετ΄ αὐτοῦ δύο. τῷ αἰτοῦντί σε δίδου, καὶ τὸν 42
θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς. Ἠκούσατε ὅτι 43
ἐρρέθη, Ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν
σου, ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογειτε 44
τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς,
καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, καὶ διωκόντων
ὑμᾶς, ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, 45

---

v.32 ἐγώ[rpn-s] δέ[c] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] ὃς[rrnms] ἄν[xo] ἀπολύω[vsaa3s] ὁ[dafs] γυνή[nafs] αὐτός[rpgms] παρεκτός[bo] λόγος[ngms] πορνεία[ngfs] ποιέω[vipa3s] αὐτός[rpafs] μοιχάομαι[vnpn] καί[c] ὃς[rrnms] ἐάν[qo] ἀπολύω[vpxpafs] γαμέω[vsaa3s] μοιχάομαι[vipn3s]. **v.33** πάλιν[bo] ἀκούω[viaa2p] ὅτι[c] λέγω[viap3s] ὁ[ddmp] ἀρχαῖος[admpn] οὐ[xo] ἐπιορκέω[vifa2s] ἀποδίδωμι[vifa2s] δέ[c] ὁ[ddms] κύριος[ndms] ὁ[damp] ὅρκος[namp] σύ[rpg-s]. **v.34** ἐγώ[rpn-s] δέ[c] λέγω[vipa1s] σύ[rpd-p] μή[xo] ὀμνύω[vnaa] ὅλως[bo] μήτε[c] ἐν[p] ὁ[ddms] οὐρανός[ndms] ὅτι[c] θρόνος[nnms] εἰμί[vipx3s] ὁ[dgms] θεός[ngms]. **v.35** μήτε[c] ἐν[p] ὁ[ddfs] γῆ[ndfs] ὅτι[c] ὑποπόδιον[nnns] εἰμί[vipx3s] ὁ[dgmp] πούς[ngmp] αὐτός[rpgms] μήτε[c] εἰς[p] Ἰεροσόλυμα[nafs] ὅτι[c] πόλις[nnfs] εἰμί[vipx3s] ὁ[dgms] μέγας[agmsn] βασιλεύς[ngms]. **v.36** μήτε[c] ἐν[p] ὁ[ddfs] κεφαλή[ndfs] σύ[rpg-s] ὀμνύω[vsaa2s] ὅτι[c] οὐ[xo] δύναμαι[vipn2s] εἷς[nafs] θρίξ[nafs] λευκός[aafsn] ἤ[xo] μέλας[aafsn] ποιέω[vnaa]. **v.37** εἰμί[vdpx3s] δέ[c] ὁ[dnms] λόγος[nnms] σύ[rpg-p] ναί[xo] ναί[xo] οὐ[xo] οὐ[xo] ὁ[dnns] δέ[c] περισσός[annsn] οὗτος[rdgmp] ἐκ[p] ὁ[dgms] πονηρός[agmsn] εἰμί[vipx3s]. **v.38** ἀκούω[viaa2p] ὅτι[c] λέγω[viap3s] ὀφθαλμός[nams] ἀντί[p] ὀφθαλμός[ngms] καί[c] ὀδούς[nams] ἀντί[p] ὀδούς[ngms]. **v.39** ἐγώ[rpn-s] δέ[c] λέγω[vipa1s] σύ[rpd-p] μή[xo] ἀνθίστημι[vnaa] ὁ[ddms] πονηρός[admsn] ἀλλά[c] ὅστις[rrnms] σύ[rpa-s] ῥαπίζω[vifa3s] ἐπί[p] ὁ[dafs] δεξιός[aafsn] σύ[rpg-s] σιαγών[nafs] στρέφω[vdaa2s] αὐτός[rpdms] καί[c] ὁ[dafs] ἄλλος[aafsn]. **v.40** καί[c] ὁ[ddms] θέλω[vppadms] σύ[rpd-s] κρίνω[vnap] καί[c] ὁ[dams] χιτών[nams] σύ[rpg-s] λαμβάνω[vnaa] ἀφίημι[vdaa2s] αὐτός[rpdms] καί[c] ὁ[dans] ἱμάτιον[nans]. **v.41** καί[c] ὅστις[rrnms] σύ[rpa-s] ἀγγαρεύω[vifa3s] μίλιον[nans] εἷς[nans] ὑπάγω[vdpa2s] μετά[p] αὐτός[rpgms] δύο[tn]. **v.42** ὁ[ddms] αἰτέω[vppadms] σύ[rpa-s] δίδωμι[vdpa2s] καί[c] ὁ[dams] θέλω[vppaams] ἀπό[p] σύ[rpg-s] δανίζω[vnam] μή[xo] ἀποστρέφω[vsap2s]. **v.43** ἀκούω[viaa2p] ὅτι[c] λέγω[viap3s] ἀγαπάω[vifa2s] ὁ[dams] πλησίον[bo] σύ[rpg-s] καί[c] μισέω[vifa2s] ὁ[dams] ἐχθρός[aamsn] σύ[rpg-s]. **v.44** ἐγώ[rpn-s] δέ[c] λέγω[vipa1s] σύ[rpd-p] ἀγαπάω[vdpa2p] ὁ[damp] ἐχθρός[aampn] σύ[rpg-p] εὐλογέω[vdpa2p] ὁ[damp] καταράομαι[vppnamp] σύ[rpa-p] καλῶς[bo] ποιέω[vdpa2p] ὁ[damp] μισέω[vppaamp] σύ[rpa-p] καί[c] προσεύχομαι[vdpn2p] ὑπέρ[p] ὁ[dgmp] ἐπηρεάζω[vppagmp] σύ[rpa-p] καί[c] διώκω[vppagmp] σύ[rpa-p].

ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ
46 βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. ἐὰν γὰρ ἀγαπήσητε τοὺς
ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε· οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐ-
47 τὸ ποιοῦσι· καὶ ἐὰν ἀσπάσησθε τοὺς ἀδελφοὺς ὑμῶν μόνον,
48 τί περισσὸν ποιεῖτε· οὐχὶ καὶ οἱ τελῶναι οὕτω ποιοῦσιν· ἔσε-
σθε οὖν ὑμεῖς τέλειοι, ὡσπερ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς
τέλειός ἐστι.

6 Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν
ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς, εἰ δὲ μήγε, μισθὸν οὐκ
2 ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς. Ὅταν οὖν
ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑ-
ποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅπως
δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων, ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν
3 μισθὸν αὐτῶν. σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην μὴ γνώτω ἡ
4 ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου, ὅπως ᾖ σου ἡ ἐλεημοσύνη
ἐν τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ αὐτὸς,
5 ἀποδώσει σοι ἐν τῷ φανερῷ. Καὶ ὅταν προσεύχῃ, οὐκ ἔσῃ ὥσ-
περ οἱ ὑποκριταί, ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς
γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως ἂν φανῶσι
τοῖς ἀνθρώποις, ἀμὴν λέγω ὑμῖν ὅτι ἀπέχουσι τὸν μισθὸν αὐ-
6 τῶν. σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ

---

καὶ ἐκάθητο ἐπάνω αὐτοῦ. ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπὴ, 3
καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών. ἀπὸ δὲ τοῦ φόβου 4

---

v.59 καί^{c} λαμβάνω^{vpaanms} ὁ^{dans} σῶμα^{nans} ὁ^{dnms} Ἰωσήφ^{tp} ἐντυλίσσω^{viaa3s} αὐτός^{rpans} σινδών^{ndfs} καθαρός^{adfsn}. **v.60** καί^{c} τίθημι^{viaa3s} αὐτός^{rpans} ἐν^{p} ὁ^{ddns} καινός^{adnsn} αὐτός^{rpgms} μνημεῖον^{ndns} ὅς^{rrans} λατομέω^{viaa3s} ἐν^{p} ὁ^{ddfs} πέτρα^{ndfs} καί^{c} προσκυλίω^{vpaanms} λίθος^{nams} μέγας^{aamsn} ὁ^{ddfs} θύρα^{ndfs} ὁ^{dgns} μνημεῖον^{ngns} ἀπέρχομαι^{viaa3s}. **v.61** εἰμί^{viix3s} δέ^{c} ἐκεῖ^{bo} Μαρία^{nnfs} ὁ^{dnfs} Μαγδαληνή^{nnfs} καί^{c} ὁ^{dnfs} ἄλλος^{anfsn} Μαρία^{nnfs} κάθημαι^{vppnnfp} ἀπέναντι^{bo} ὁ^{dgms} τάφος^{ngms}. **v.62** ὁ^{ddfs} δέ^{c} ἐπαύριον^{bo} ὅστις^{rrnfs} εἰμί^{vipx3s} μετά^{p} ὁ^{dafs} παρασκευή^{nafs} συνάγω^{viap3p} ὁ^{dnmp} ἀρχιερεύς^{nnmp} καί^{c} ὁ^{dnmp} Φαρισαῖος^{nnmp} πρός^{p} Πιλᾶτος^{nams}. **v.63** λέγω^{vppanmp} κύριος^{nvms} μιμνήσκομαι^{viap1p} ὅτι^{c} ἐκεῖνος^{rdnms} ὁ^{dnms} πλάνος^{anmsn} λέγω^{viaa3s} ἔτι^{bo} ζάω^{vppanms} μετά^{p} τρεῖς^{nafp} ἡμέρα^{nafp} ἐγείρω^{vipp1s}. **v.64** κελεύω^{vdaa2s} οὖν^{c} ἀσφαλίζω^{vnap} ὁ^{dams} τάφος^{nams} ἕως^{c} ὁ^{dgfs} τρίτος^{agfsn} ἡμέρα^{ngfs} μήποτε^{bo} ἔρχομαι^{vpaanmp} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} νύξ^{ngfs} κλέπτω^{vsaa3p} αὐτός^{rpams} καί^{c} λέγω^{vsaa3p} ὁ^{ddms} λαός^{ndms} ἐγείρω^{viap3s} ἀπό^{p} ὁ^{dgmp} νεκρός^{agmpn} καί^{c} εἰμί^{vifx3s} ὁ^{dnfs} ἔσχατος^{anfsn} πλάνη^{nnfs} χείρων^{anfsc} ὁ^{dgfs} πρῶτος^{agfsn}. **v.65** φημί^{viix3s} δέ^{c} αὐτός^{rpdmp} ὁ^{dnms} Πιλᾶτος^{nnms} ἔχω^{vipa2p} κουστωδία^{nafs} ὑπάγω^{vdpa2p} ἀσφαλίζω^{vdad2p} ὡς^{bo} οἶδα^{vixa2p}. **v.66** ὁ^{dnmp} δέ^{c} πορεύομαι^{vpaonmp} ἀσφαλίζω^{viad3p} ὁ^{dams} τάφος^{nams} σφραγίζω^{vpaanmp} ὁ^{dams} λίθος^{nams} μετά^{p} ὁ^{dgfs} κουστωδία^{ngfs}. **28. v.1** ὀψέ^{bo} δέ^{c} σάββατον^{ngnp} ὁ^{ddfs} ἐπιφώσκω^{vppadfs} εἰς^{p} εἷς^{nafs} σάββατον^{ngnp} ἔρχομαι^{viaa3s} Μαρία^{nnfs} ὁ^{dnfs} Μαγδαληνή^{nnfs} καί^{c} ὁ^{dnfs} ἄλλος^{anfsn} Μαρία^{nnfs} θεωρέω^{vnaa} ὁ^{dams} τάφος^{nams}. **v.2** καί^{c} ἰδού^{vdaa2s} σεισμός^{nnms} γίνομαι^{viad3s} μέγας^{anmsn} ἄγγελος^{nnms} γάρ^{c} κύριος^{ngms} καταβαίνω^{vpaanms} ἐκ^{p} οὐρανός^{ngms} προσέρχομαι^{vpaanms} ἀποκυλίω^{viaa3s} ὁ^{dams} λίθος^{nams} ἀπό^{p} ὁ^{dgfs} θύρα^{ngfs} καί^{c} κάθημαι^{viin3s} ἐπάνω^{bo} αὐτός^{rpgms}. **v.3** εἰμί^{viix3s} δέ^{c} ὁ^{dnfs} εἰδέα^{nnfs} αὐτός^{rpgms} ὡς^{bo} ἀστραπή^{nnfs} καί^{c} ὁ^{dnns} ἔνδυμα^{nnns} αὐτός^{rpgms} λευκός^{annsn} ὡσεί^{bo} χιών^{nnfs}.

5 αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες καὶ ἐγένοντο ὡσεὶ νεκροί. ἀ-
ποκριθεὶς δὲ ὁ ἄγγελος εἶπε ταῖς γυναιξί, Μὴ φοβεῖσθε ὑμεῖς,
6 οἶδα γὰρ ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε, οὐκ ἔστιν ὧδε,
ἠγέρθη γὰρ, καθὼς εἶπε δεῦτε, ἴδετε τὸν τόπον ὅπου ἔκειτο
7 ὁ Κύριος. καὶ ταχὺ πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ
ὅτι Ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ ἰδού, προάγει ὑμᾶς εἰς τὴν
8 Γαλιλαίαν, ἐκεῖ αὐτὸν ὄψεσθε, ἰδού, εἶπον ὑμῖν. καὶ ἐξελθοῦ-
σαι ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης,
9 ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ. ὡς δὲ ἐπορεύοντο
ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἰδού, ὁ Ἰησοῦς ἀπήντη-
σεν αὐταῖς, λέγων, Χαίρετε. αἱ δὲ προσελθοῦσαι ἐκράτησαν
10 αὐτοῦ τοὺς πόδας, καὶ προσεκύνησαν αὐτῷ. τότε λέγει αὐταῖς
ὁ Ἰησοῦς, Μὴ φοβεῖσθε, ὑπάγετε, ἀπαγγείλατε τοῖς ἀδελφοῖς
11 μου ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται. Πο-
ρευομένων δὲ αὐτῶν, ἰδού, τινὲς τῆς κουστωδίας ἐλθόντες εἰς
τὴν πόλιν ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα.
12 καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων, συμβούλιόν τε λαβόν-
13 τες, ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις, λέγοντες, Εἴπατε
ὅτι Οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτὸν ἡμῶν
14 κοιμωμένων. καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς

---

v.4 ἀπόᵖ δέᶜ ὁᵈᵍᵐˢ φόβοςⁿᵍᵐˢ αὐτόςʳᵖᵍᵐˢ σείωᵛⁱᵃᵖ³ᵖ ὁᵈⁿᵐᵖ τηρέωᵛᵖᵖᵃⁿᵐᵖ καίᶜ γίνομαιᵛⁱᵃᵈ³ᵖ ὡσεί͜ᵇᵒ νεκρόςᵃⁿᵐᵖⁿ. **v.5** ἀποκρίνομαιᵛᵖᵃᵒⁿᵐˢ δέᶜ ὁᵈⁿᵐˢ ἄγγελοςⁿⁿᵐˢ λέγωᵛⁱᵃᵃ³ˢ ὁᵈᵈᶠᵖ γυνήⁿᵈᶠᵖ μήˣᵒ φοβέομαιᵛᵈᵖⁿ²ᵖ σύʳᵖⁿ⁻ᵖ οἶδαᵛⁱˣᵃ¹ˢ γάρᶜ ὅτιᶜ Ἰησοῦςⁿᵃᵐˢ ὁᵈᵃᵐˢ σταυρόωᵛᵖˣᵖᵃᵐˢ ζητέωᵛⁱᵖᵃ²ᵖ. **v.6** οὐˣᵒ εἰμίᵛⁱᵖˣ³ˢ ὧδεᵇᵒ ἐγείρωᵛⁱᵃᵖ³ˢ γάρᶜ καθὼςᵇᵒ λέγωᵛⁱᵃᵃ³ˢ δεῦτεᵛᵈᵛˣ²ᵖ ὁράωᵛᵈᵃᵃ²ᵖ ὁᵈᵃᵐˢ τόποςⁿᵃᵐˢ ὅπουᵇᵒ κεῖμαιᵛⁱⁱⁿ³ˢ ὁᵈⁿᵐˢ κύριοςⁿⁿᵐˢ. **v.7** καίᶜ ταχύςᵇᵒ πορεύομαιᵛᵖᵃᵒⁿᶠᵖ λέγωᵛᵈᵃᵃ²ᵖ ὁᵈᵈᵐᵖ μαθητήςⁿᵈᵐᵖ αὐτόςʳᵖᵍᵐˢ ὅτιᶜ ἐγείρωᵛⁱᵃᵖ³ˢ ἀπόᵖ ὁᵈᵍᵐᵖ νεκρόςᵃᵍᵐᵖⁿ καίᶜ ἰδούᵛᵈᵃᵃ²ˢ προάγωᵛⁱᵖᵃ³ˢ σύʳᵖᵃ⁻ᵖ εἰςᵖ ὁᵈᵃᶠˢ Γαλιλαίαⁿᵃᶠˢ ἐκεῖᵇᵒ αὐτόςʳᵖᵃᵐˢ ὁράωᵛⁱᶠᵈ²ᵖ ἰδούᵛᵈᵃᵃ²ˢ λέγωᵛⁱᵃᵃ¹ˢ σύʳᵖᵈ⁻ᵖ. **v.8** καίᶜ ἐξέρχομαιᵛᵖᵃᵃⁿᶠᵖ ταχύςᵇᵒ ἀπόᵖ ὁᵈᵍⁿˢ μνημεῖονⁿᵍⁿˢ μετάᵖ φόβοςⁿᵍᵐˢ καίᶜ χαράⁿᵍᶠˢ μέγαςᵃᵍᶠˢⁿ τρέχωᵛⁱᵃᵃ³ᵖ ἀπαγγέλλωᵛⁿᵃᵃ ὁᵈᵈᵐᵖ μαθητήςⁿᵈᵐᵖ αὐτόςʳᵖᵍᵐˢ. **v.9** ὡςᵇᵒ δέᶜ πορεύομαιᵛⁱⁱⁿ³ᵖ ἀπαγγέλλωᵛⁿᵃᵃ ὁᵈᵈᵐᵖ μαθητήςⁿᵈᵐᵖ αὐτόςʳᵖᵍᵐˢ καίᶜ ἰδούᵛᵈᵃᵃ²ˢ ὁᵈⁿᵐˢ Ἰησοῦςⁿⁿᵐˢ ἀπαντάωᵛⁱᵃᵃ³ˢ αὐτόςʳᵖᵈᶠᵖ λέγωᵛᵖᵖᵃⁿᵐˢ χαίρωᵛᵈᵖᵃ²ᵖ ὁᵈⁿᶠᵖ δέᶜ προσέρχομαιᵛᵖᵃᵃⁿᶠᵖ κρατέωᵛⁱᵃᵃ³ᵖ αὐτόςʳᵖᵍᵐˢ ὁᵈᵃᵐᵖ πούςⁿᵃᵐᵖ καίᶜ προσκυνέωᵛⁱᵃᵃ³ᵖ αὐτόςʳᵖᵈᵐˢ. **v.10** τότεᵇᵒ λέγωᵛⁱᵖᵃ³ˢ αὐτόςʳᵖᵈᶠᵖ ὁᵈⁿᵐˢ Ἰησοῦςⁿⁿᵐˢ μήˣᵒ φοβέομαιᵛᵈᵖⁿ²ᵖ ὑπάγωᵛᵈᵖᵃ²ᵖ ἀπαγγέλλωᵛᵈᵃᵃ²ᵖ ὁᵈᵈᵐᵖ ἀδελφόςⁿᵈᵐᵖ ἐγώʳᵖᵍ⁻ˢ ἵναᶜ ἀπέρχομαιᵛˢᵃᵃ³ᵖ εἰςᵖ ὁᵈᵃᶠˢ Γαλιλαίαⁿᵃᶠˢ κἀκεῖᵇᵒ ἐγώʳᵖᵃ⁻ˢ ὁράωᵛⁱᶠᵈ³ᵖ. **v.11** πορεύομαιᵛᵖᵖⁿᵍᶠᵖ δέᶜ αὐτόςʳᵖᵍᶠᵖ ἰδούᵛᵈᵃᵃ²ˢ τι-σρινμπ ὁᵈᵍᶠˢ κουστωδίαⁿᵍᶠˢ ἔρχομαιᵛᵖᵃᵃⁿᵐᵖ εἰςᵖ ὁᵈᵃᶠˢ πόλιςⁿᵃᶠˢ ἀπαγγέλλωᵛⁱᵃᵃ³ᵖ ὁᵈᵈᵐᵖ ἀρχιερεύςⁿᵈᵐᵖ ἅπαςᵃᵃⁿᵖⁿ ὁᵈᵃⁿᵖ γίνομαιᵛᵖᵃᵈᵃⁿᵖ. **v.12** καίᶜ συνάγωᵛᵖᵃᵖⁿᵐᵖ μετάᵖ ὁᵈᵍᵐᵖ πρεσβύτεροςᵃᵍᵐᵖⁿ συμβούλιονⁿᵃⁿˢ τέˣᵒ λαμβάνωᵛᵖᵃᵃⁿᵐᵖ ἀργύριονⁿᵃⁿᵖ ἱκανόςᵃᵃⁿᵖⁿ δίδωμιᵛⁱᵃᵃ³ᵖ ὁᵈᵈᵐᵖ στρατιώτηςⁿᵈᵐᵖ. **v.13** λέγωᵛᵖᵖᵃⁿᵐᵖ λέγωᵛᵈᵃᵃ²ᵖ ὅτιᶜ ὁᵈⁿᵐᵖ μαθητήςⁿⁿᵐᵖ αὐτόςʳᵖᵍᵐˢ νύξⁿᵍᶠˢ ἔρχομαιᵛᵖᵃᵃⁿᵐᵖ κλέπτωᵛⁱᵃᵃ³ᵖ αὐτόςʳᵖᵃᵐˢ ἐγώʳᵖᵍ⁻ᵖ κοιμάομαιᵛᵖᵖᵖᵍᵐᵖ.

πείσομεν αὐτὸν, καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν. οἱ δὲ λα- 15
βόντες τὰ ἀργύρια ἐποίησαν ὡς ἐδιδάχθησαν. καὶ διεφημίσθη
ὁ λόγος οὗτος παρὰ Ἰουδαίοις μέχρι τῆς σήμερον. Οἱ δὲ ἕν- 16
δεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ
ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. καὶ ἰδόντες αὐτὸν προσεκύνησαν 17
αὐτῷ, οἱ δὲ ἐδίστασαν. καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν 18
αὐτοῖς, λέγων, Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ
γῆς. πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζον- 19
τες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου
Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλά- 20
μην ὑμῖν, καὶ ἰδού, ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως
τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

---

v.14 καί^{c} ἐάν^{qo} ἀκούω^{vsap3s} οὗτος^{rdnns} ἐπί^{p} ὁ^{dgms} ἡγεμών^{ngms} ἐγώ$^{rpn-p}$ πείθω^{vifa1p} αὐτός^{rpams} καί^{c} σύ$^{rpa-p}$ ἀμέριμνος^{aampn} ποιέω^{vifa1p}. **v.15** ὁ^{dnmp} δέ^{c} λαμβάνω^{vpaanmp} ὁ^{danp} ἀργύριον^{nanp} ποιέω^{viaa3p} ὡς^{bo} διδάσκω^{viap3p} καί^{c} διαφημίζω^{viap3s} ὁ^{dnms} λόγος^{nnms} οὗτος^{rdnms} παρά^{p} Ἰουδαῖος^{admpn} μέχρι^{bo} ὁ^{dgfs} σήμερον^{bo}. **v.16** ὁ^{dnmp} δέ^{c} ἕνδεκα^{tn} μαθητής^{nnmp} πορεύομαι^{viao3p} εἰς^{p} ὁ^{dafs} Γαλιλαία^{nafs} εἰς^{p} ὁ^{dans} ὄρος^{nans} ὅς^{bo} τάσσω^{viam3s} αὐτός^{rpdmp} ὁ^{dnms} Ἰησοῦς^{nnms}. **v.17** καί^{c} ὁράω^{vpaanmp} αὐτός^{rpams} προσκυνέω^{viaa3p} αὐτός^{rpdms} ὁ^{dnmp} δέ^{c} διστάζω^{viaa3p}. **v.18** καί^{c} προσέρχομαι^{vpaanms} ὁ^{dnms} Ἰησοῦς^{nnms} λαλέω^{viaa3s} αὐτός^{rpdmp} λέγω^{vppanms} δίδωμι^{viap3s} ἐγώ$^{rpd-s}$ πᾶς^{anfsn} ἐξουσία^{nnfs} ἐν^{p} οὐρανός^{ndms} καί^{c} ἐπί^{p} γῆ^{ngfs}. **v.19** πορεύομαι^{vpaonmp} οὖν^{c} μαθητεύω^{vdaa2p} πᾶς^{aanpn} ὁ^{danp} ἔθνος^{nanp} βαπτίζω^{vppanmp} αὐτός^{rpamp} εἰς^{p} ὁ^{dans} ὄνομα^{nans} ὁ^{dgms} πατήρ^{ngms} καί^{c} ὁ^{dgms} υἱός^{ngms} καί^{c} ὁ^{dgns} ἅγιος^{agnsn} πνεῦμα^{ngns}. **v.20** διδάσκω^{vppanmp} αὐτός^{rpamp} τηρέω^{vnpa} πᾶς^{aanpn} ὅσος^{rcanp} ἐντέλλομαι^{viad1s} σύ$^{rpd-p}$ καί^{c} ἰδού^{vdaa2s} ἐγώ$^{rpn-s}$ μετά^{p} σύ$^{rpg-p}$ εἰμί^{vipx1s} πᾶς^{aafpn} ὁ^{dafp} ἡμέρα^{nafp} ἕως^{c} ὁ^{dgfs} συντέλεια^{ngfs} ὁ^{dgms} αἰών^{ngms} ἀμήνth.

ΤΟ ΚΑΤΑ ΜΑΡΚΟΝ
ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

1, 2 Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ, υἱοῦ τοῦ Θεοῦ, Ὡς
γέγραπται ἐν τοῖς προφήταις, Ἰδού, ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν
μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπρο-
3 σθέν σου. φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε τὴν ὁδὸν
4 Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. ἐγένετο Ἰωάννης
βαπτίζων ἐν τῇ ἐρήμῳ, καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς
5 ἄφεσιν ἁμαρτιῶν. καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰου-
δαία χώρα, καὶ οἱ Ἱεροσολυμῖται, καὶ ἐβαπτίζοντο πάντες ἐν
τῷ Ἰορδάνῃ ποταμῷ ὑπ᾽ αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας
6 αὐτῶν. ἦν δὲ Ἰωάννης ἐνδεδυμένος τρίχας καμήλου, καὶ ζώ-
νην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ, καὶ ἐσθίων ἀκρίδας καὶ
7 μέλι ἄγριον. καὶ ἐκήρυσσε, λέγων, Ἔρχεται ὁ ἰσχυρότερός
μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν
8 ὑποδημάτων αὐτοῦ. ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι, αὐτὸς
9 δὲ βαπτίσει ὑμᾶς ἐν Πνεύματι Ἁγίῳ. Καὶ ἐγένετο ἐν ἐκείναις
ταῖς ἡμέραις, ἦλθεν Ἰησοῦς ἀπὸ Ναζαρὲθ τῆς Γαλιλαίας, καὶ
10 ἐβαπτίσθη ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην. καὶ εὐθὲως ἀνα-
βαίνων ἀπὸ τοῦ ὕδατος, εἶδε σχιζομένους τοὺς οὐρανούς, καὶ

---

1. v.1 ἀρχή[nnfs] ὁ[dgns] εὐαγγέλιον[ngns] Ἰησοῦς[ngms] Χριστός[ngms] υἱός[ngms] ὁ[dgms] θεός[ngms]. **v.2** ὡς[bo] γράφω[vixp3s] ἐν[p] ὁ[ddmp] προφήτης[ndmp] ἰδού[vdaa2s] ἐγώ[rpn-s] ἀποστέλλω[vipa1s] ὁ[dams] ἄγγελος[nams] ἐγώ[rpg-s] πρό[p] πρόσωπον[ngns] σύ[rpg-s] ὅς[rrnms] κατασκευάζω[vifa3s] ὁ[dafs] ὁδός[nafs] σύ[rpg-s] ἔμπροσθεν[p] σύ[rpg-s]. **v.3** φωνή[nnfs] βοάω[vppagms] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn] ἑτοιμάζω[vdaa2p] ὁ[dafs] ὁδός[nafs] κύριος[ngms] εὐθύς[aafpn] ποιέω[vdpa2p] ὁ[dafp] τρίβος[nafp] αὐτός[rpgms]. **v.4** γίνομαι[viad3s] Ἰωάννης[nnms] βαπτίζω[vppanms] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn] καί[c] κηρύσσω[vppanms] βάπτισμα[nans] μετάνοια[ngfs] εἰς[p] ἄφεσις[nafs] ἁμαρτία[ngfp]. **v.5** καί[c] ἐκπορεύομαι[viin3s] πρός[p] αὐτός[rpams] πᾶς[anfsn] ὁ[dnfs] Ἰουδαῖος[nnfs] χώρα[nnfs] καί[c] ὁ[dnmp] Ἱεροσολυμίτης[nnmp] καί[c] βαπτίζω[viip3p] πᾶς[anmpn] ἐν[p] ὁ[ddms] Ἰορδάνης[ndms] ποταμός[ndms] ὑπό[p] αὐτός[rpgms] ἐξομολογέω[vppmnmp] ὁ[dafp] ἁμαρτία[nafp] αὐτός[rpgmp]. **v.6** εἰμί[viix3s] δέ[c] Ἰωάννης[nnms] ἐνδύω[vpxmnms] θρίξ[nafp] κάμηλος[ngms] καί[c] ζώνη[nafs] δερμάτινος[aafsn] περί[p] ὁ[dafs] ὀσφύς[nafs] αὐτός[rpgms] καί[c] ἐσθίω[vppanms] ἀκρίς[nafp] καί[c] μέλι[nans] ἄγριος[aansn]. **v.7** καί[c] κηρύσσω[viia3s] λέγω[vppanms] ἔρχομαι[vipn3s] ὁ[dnms] ἰσχυρός[anmsc] ἐγώ[rpg-s] ὀπίσω[bo] ἐγώ[rpg-s] ὅς[rrgms] οὐ[xo] εἰμί[vipx1s] ἱκανός[anmsn] κύπτω[vpaanms] λύω[vnaa] ὁ[dams] ἱμάς[nams] ὁ[dgnp] ὑπόδημα[ngnp] αὐτός[rpgms]. **v.8** ἐγώ[rpn-s] μέν[xo] βαπτίζω[viaa1s] σύ[rpa-p] ἐν[p] ὕδωρ[ndns] αὐτός[rpnms] δέ[c] βαπτίζω[vifa3s] σύ[rpa-p] ἐν[p] πνεῦμα[ndns] ἅγιος[adnsn]. **v.9** καί[c] γίνομαι[viad3s] ἐν[p] ἐκεῖνος[rddfp] ὁ[ddfp] ἡμέρα[ndfp] ἔρχομαι[viaa3s] Ἰησοῦς[nnms] ἀπό[p] Ναζαρά[tp] ὁ[dgfs] Γαλιλαία[ngfs] καί[c] βαπτίζω[viap3s] ὑπό[p] Ἰωάννης[ngms] εἰς[p] ὁ[dams] Ἰορδάνης[nams].

τὸ Πνεῦμα ὡσεὶ περιστερὰν καταβαῖνον ἐπ᾽ αὐτόν, καὶ φωνὴ 11
ἐγένετο ἐκ τῶν οὐρανῶν, Σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐ-
δόκησα. Καὶ εὐθὺς τὸ Πνεῦμα αὐτὸν ἐκβάλλει εἰς τὴν ἔρημον. 12
καὶ ἦν ἐκεῖ ἐν τῇ ἐρήμῳ ἡμέρας τεσσαράκοντα πειραζόμενος 13
ὑπὸ τοῦ Σατανᾶ, καὶ ἦν μετὰ τῶν θηρίων, καὶ οἱ ἄγγελοι διηκό-
νουν αὐτῷ. Μετὰ δὲ τὸ παραδοθῆναι τὸν Ἰωάννην, ἦλθεν ὁ Ἰη- 14
σοῦς εἰς τὴν Γαλιλαίαν, κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας
τοῦ Θεοῦ, καὶ λέγων ὅτι Πεπλήρωται ὁ καιρός, καὶ ἤγγικεν ἡ 15
βασιλεία τοῦ Θεοῦ, μετανοεῖτε, καὶ πιστεύετε ἐν τῷ εὐαγγελίῳ.
Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας εἶδε Σίμωνα 16
καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον ἐν
τῇ θαλάσσῃ, ἦσαν γὰρ ἁλιεῖς. καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, 17
Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων.
καὶ εὐθέως ἀφέντες τὰ δίκτυα αὐτῶν, ἠκολούθησαν αὐτῷ. καὶ 18, 19
προβὰς ἐκεῖθεν ὀλίγον, εἶδεν Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ
Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, καὶ αὐτοὺς ἐν τῷ πλοίῳ καταρτί-
ζοντας τὰ δίκτυα. καὶ εὐθέως ἐκάλεσεν αὐτούς, καὶ ἀφέντες 20
τὸν πατέρα αὐτῶν Ζεβεδαῖον ἐν τῷ πλοίῳ μετὰ τῶν μισθωτῶν
ἀπῆλθον ὀπίσω αὐτοῦ. Καὶ εἰσπορεύονται εἰς Καπερναούμ, 21
καὶ εὐθεὼς τοῖς σάββασιν εἰσελθὼν εἰς τὴν συναγωγήν, ἐδίδα-

---

v.10 καί[c] εὐθέως[bo] ἀναβαίνω[vppanms] ἀπό[p] ὁ[dgns] ὕδωρ[ngns] ὁράω[viaa3s] σχίζω[vpppamp] ὁ[damp] οὐρανός[namp] καί[c] ὁ[dans] πνεῦμα[nans] ὡσεί[bo] περιστερά[nafs] καταβαίνω[vppaans] ἐπί[p] αὐτός[rpams].
v.11 καί[c] φωνή[nnfs] γίνομαι[viad3s] ἐκ[p] ὁ[dgmp] οὐρανός[ngmp] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] υἱός[nnms] ἐγώ[rpg-s] ὁ[dnms] ἀγαπητός[anmsn] ἐν[p] ὅς[rrdms] εὐδοκέω[viaa1s].
v.12 καί[c] εὐθύς[bo] ὁ[dnns] πνεῦμα[nnns] αὐτός[rpams] ἐκβάλλω[vipa3s] εἰς[p] ὁ[dafs] ἔρημος[aafsn].
v.13 καί[c] εἰμί[viix3s] ἐκεῖ[bo] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn] ἡμέρα[nafp] τεσσεράκοντα[tn] πειράζω[vpppnms] ὑπό[p] ὁ[dgms] Σατανᾶς[ngms] καί[c] εἰμί[viix3s] μετά[p] ὁ[dgnp] θηρίον[ngnp] καί[c] ὁ[dnmp] ἄγγελος[nnmp] διακονέω[viia3p] αὐτός[rpdms].
v.14 μετά[p] δέ[c] ὁ[dans] παραδίδωμι[vnap] ὁ[dams] Ἰωάννης[nams] ἔρχομαι[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] εἰς[p] ὁ[dafs] Γαλιλαία[nafs] κηρύσσω[vppanms] ὁ[dans] εὐαγγέλιον[nans] ὁ[dgfs] βασιλεία[ngfs] ὁ[dgms] θεός[ngms].
v.15 καί[c] λέγω[vppanms] ὅτι[c] πληρόω[vixp3s] ὁ[dnms] καιρός[nnms] καί[c] ἐγγίζω[vixa3s] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgms] θεός[ngms] μετανοέω[vdpa2p] καί[c] πιστεύω[vdpa2p] ἐν[p] ὁ[ddns] εὐαγγέλιον[ndns].
v.16 περιπατέω[vppanms] δέ[c] παρά[p] ὁ[dafs] θάλασσα[nafs] ὁ[dgfs] Γαλιλαία[ngfs] ὁράω[viaa3s] Σίμων[nams] καί[c] Ἀνδρέας[nams] ὁ[dams] ἀδελφός[nams] αὐτός[rpgms] βάλλω[vppaamp] ἀμφίβληστρον[nans] ἐν[p] ὁ[ddfs] θάλασσα[ndfs] εἰμί[viix3p] γάρ[c] ἁλιεύς[nnmp].
v.17 καί[c] λέγω[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] δεῦτε[vdvx2p] ὀπίσω[bo] ἐγώ[rpg-s] καί[c] ποιέω[vifa1s] σύ[rpa-p] γίνομαι[vnad] ἁλιεύς[namp] ἄνθρωπος[ngmp].
v.18 καί[c] εὐθέως[bo] ἀφίημι[vpaanmp] ὁ[danp] δίκτυον[nanp] αὐτός[rpgmp] ἀκολουθέω[viaa3p] αὐτός[rpdms].
v.19 καί[c] προβαίνω[vpaanms] ἐκεῖθεν[bo] ὀλίγος[bo] ὁράω[viaa3s] Ἰάκωβος[nams] ὁ[dams] ὁ[dgms] Ζεβεδαῖος[ngms] καί[c] Ἰωάννης[nams] ὁ[dams] ἀδελφός[nams] αὐτός[rpgms] καί[c] αὐτός[rpamp] ἐν[p] ὁ[ddns] πλοῖον[ndns] καταρτίζω[vppaamp] ὁ[danp] δίκτυον[nanp].
v.20 καί[c] εὐθέως[bo] καλέω[viaa3s] αὐτός[rpamp] καί[c] ἀφίημι[vpaanmp] ὁ[dams] πατήρ[nams] αὐτός[rpgmp] Ζεβεδαῖος[nams] ἐν[p] ὁ[ddns] πλοῖον[ndns] μετά[p] ὁ[dgmp] μισθωτός[ngmp] ἀπέρχομαι[viaa3p] ὀπίσω[bo] αὐτός[rpgms].

22 σκε. καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ἦν γὰρ διδάσκων
23 αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς. καὶ ἦν
ἐν τῇ συναγωγῇ αὐτῶν ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ, καὶ
24 ἀνέκραξε, λέγων, Ἔα, τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ· ἦλθες
25 ἀπολέσαι ἡμᾶς· οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ. καὶ ἐπετί-
μησεν αὐτῷ ὁ Ἰησοῦς, λέγων, Φιμώθητι, καὶ ἔξελθε ἐξ αὐτοῦ.
26 καὶ σπαράξαν αὐτὸν τὸ πνεῦμα τὸ ἀκάθαρτον καὶ κράξαν φωνῇ
27 μεγάλῃ, ἐξῆλθεν ἐξ αὐτοῦ. καὶ ἐθαμβήθησαν πάντες, ὥστε συ-
ζητεῖν πρὸς αὐτούς, λέγοντας, Τί ἐστι τοῦτο· τίς ἡ διδαχὴ ἡ καιν-
ὴ αὕτη, ὅτι κατ᾽ ἐξουσίαν καὶ τοῖς πνεύμασι τοῖς ἀκαθάρτοις
28 ἐπιτάσσει, καὶ ὑπακούουσιν αὐτῷ. ἐξῆλθεν δὲ ἡ ἀκοὴ αὐτοῦ
29 εὐθὺς εἰς ὅλην τὴν περίχωρον τῆς Γαλιλαίας. Καὶ εὐθέως ἐκ
τῆς συναγωγῆς ἐξελθόντες, ἦλθον εἰς τὴν οἰκίαν Σίμωνος καὶ
30 Ἀνδρέου, μετὰ Ἰακώβου καὶ Ἰωάννου. ἡ δὲ πενθερὰ Σίμωνος
κατέκειτο πυρέσσουσα, καὶ εὐθὲως λέγουσιν αὐτῷ περὶ αὐτῆς,
31 καὶ προσελθὼν ἤγειρεν αὐτήν, κρατήσας τῆς χειρὸς αὐτῆς, καὶ
32 ἀφῆκεν αὐτὴν ὁ πυρετὸς εὐθέως, καὶ διηκόνει αὐτοῖς. Ὀψίας
δὲ γενομένης, ὅτε ἔδυ ὁ ἥλιος, ἔφερον πρὸς αὐτὸν πάντας τοὺς
33 κακῶς ἔχοντας καὶ τοὺς δαιμονιζομένους, καὶ ἡ πόλις ὅλη ἐ-
34 πισυνηγμένη ἦν πρὸς τὴν θύραν. καὶ ἐθεράπευσε πολλοὺς

---

v.21 καί^{c} εἰσπορεύομαι^{vipn3p} εἰς^{p} Καπερναούμ^{tp} καί^{c} εὐθέως^{bo} ὁ^{ddnp} σάββατον^{ndnp} εἰσέρχομαι^{vpaanms} εἰς^{p} ὁ^{dafs} συναγωγή^{nafs} διδάσκω^{viia3s}. **v.22** καί^{c} ἐκπλήσσω^{viip3p} ἐπί^{p} ὁ^{ddfs} διδαχή^{ndfs} αὐτός^{rpgms} εἰμί^{viix3s} γάρ^{c} διδάσκω^{vppanms} αὐτός^{rpamp} ὡς^{bo} ἐξουσία^{nafs} ἔχω^{vppanms} καί^{c} οὐ^{xo} ὡς^{bo} ὁ^{dnmp} γραμματεύς^{nnmp}. **v.23** καί^{c} εἰμί^{viix3s} ἐν^{p} ὁ^{ddfs} συναγωγή^{ndfs} αὐτός^{rpgmp} ἄνθρωπος^{nnms} ἐν^{p} πνεῦμα^{ndns} ἀκάθαρτος^{adnsn} καί^{c} ἀνακράζω^{viaa3s}. **v.24** λέγω^{vppanms} ἔα^{i} τίς^{rqnns} ἐγώ$^{rpd-p}$ καί^{c} σύ$^{rpd-s}$ Ἰησοῦς^{nvms} Ναζαρηνός^{nvms} ἔρχομαι^{viaa2s} ἀπόλλυμι^{vnaa} ἐγώ$^{rpa-p}$ οἶδα^{vixa1s} σύ$^{rpa-s}$ τίς^{rqnms} εἰμί^{vipx2s} ὁ^{dnms} ἅγιος^{anmsn} ὁ^{dgms} θεός^{ngms}. **v.25** καί^{c} ἐπιτιμάω^{viaa3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{vppanms} φιμόω^{vdap2s} καί^{c} ἐξέρχομαι^{vdaa2s} ἐκ^{p} αὐτός^{rpgms}. **v.26** καί^{c} σπαράσσω^{vpaanns} αὐτός^{rpams} ὁ^{dnns} πνεῦμα^{nnns} ὁ^{dnns} ἀκάθαρτος^{annsn} καί^{c} κράζω^{vpaanns} φωνή^{ndfs} μέγας^{adfsn} ἐξέρχομαι^{viaa3s} ἐκ^{p} αὐτός^{rpgms}. **v.27** καί^{c} θαμβέω^{viap3p} πᾶς^{anmpn} ὥστε^{c} συζητέω^{vnpa} πρός^{p} αὐτός^{rpamp} λέγω^{vppaamp} τίς^{rqnns} εἰμί^{vipx3s} οὗτος^{rdnns} τίς^{rqnms} ὁ^{dnfs} διδαχή^{nnfs} ὁ^{dnfs} καινός^{anfsn} οὗτος^{rdnfs} ὅτι^{c} κατά^{p} ἐξουσία^{nafs} καί^{c} ὁ^{ddnp} πνεῦμα^{ndnp} ὁ^{ddnp} ἀκάθαρτος^{adnpn} ἐπιτάσσω^{vipa3s} καί^{c} ὑπακούω^{vipa3p} αὐτός^{rpdms}. **v.28** ἐξέρχομαι^{viaa3s} δέ^{c} ὁ^{dnfs} ἀκοή^{nnfs} αὐτός^{rpgms} εὐθύς^{bo} εἰς^{p} ὅλος^{aafsn} ὁ^{dafs} περίχωρος^{aafsn} ὁ^{dgfs} Γαλιλαία^{ngfs}. **v.29** καί^{c} εὐθέως^{bo} ἐκ^{p} ὁ^{dgfs} συναγωγή^{ngfs} ἐξέρχομαι^{vpaanmp} ἔρχομαι^{viaa3p} εἰς^{p} ὁ^{dafs} οἰκία^{nafs} Σίμων^{ngms} καί^{c} Ἀνδρέας^{ngms} μετά^{p} Ἰάκωβος^{ngms} καί^{c} Ἰωάννης^{ngms}. **v.30** ὁ^{dnfs} δέ^{c} πενθερά^{nnfs} Σίμων^{ngms} κατάκειμαι^{viin3s} πυρέσσω^{vppanfs} καί^{c} εὐθέως^{bo} λέγω^{vipa3p} αὐτός^{rpdms} περί^{p} αὐτός^{rpgfs}. **v.31** καί^{c} προσέρχομαι^{vpaanms} ἐγείρω^{viaa3s} αὐτός^{rpafs} κρατέω^{vpaanms} ὁ^{dgfs} χείρ^{ngfs} αὐτός^{rpgfs} καί^{c} ἀφίημι^{viaa3s} αὐτός^{rpafs} ὁ^{dnms} πυρετός^{nnms} εὐθέως^{bo} καί^{c} διακονέω^{viia3s} αὐτός^{rpdmp}. **v.32** ὄψιος^{agfsn} δέ^{c} γίνομαι^{vpadgfs} ὅτε^{bo} δύνω^{viaa3s} ὁ^{dnms} ἥλιος^{nnms} φέρω^{viia3p} πρός^{p} αὐτός^{rpams} πᾶς^{aampn} ὁ^{damp} κακῶς^{bo} ἔχω^{vppaamp} καί^{c} ὁ^{damp} δαιμονίζομαι^{vppnamp}. **v.33** καί^{c} ὁ^{dnfs} πόλις^{nnfs} ὅλος^{anfsn} ἐπισυνάγω^{vpxpnfs} εἰμί^{viix3s} πρός^{p} ὁ^{dafs} θύρα^{nafs}.

κακῶς ἔχοντας ποικίλαις νόσοις, καὶ δαιμόνια πολλὰ ἐξέβαλε, καὶ οὐκ ἤφιε λαλεῖν τὰ δαιμόνια, ὅτι ᾔδεισαν αὐτόν. Καὶ πρωῒ 35
ἔννυχον λίαν ἀναστὰς ἐξῆλθε, καὶ ἀπῆλθεν εἰς ἔρημον τόπον, κἀκεῖ προσηύχετο. καὶ κατεδίωξαν αὐτὸν ὁ Σίμων καὶ οἱ μετ' 36
αὐτοῦ, καὶ εὗροντες αὐτὸν λέγουσιν αὐτῷ ὅτι Πάντες ζητοῦσί 37
σε. καὶ λέγει αὐτοῖς, Ἄγωμεν εἰς τὰς ἐχομένας κωμοπόλεις, 38
ἵνα κἀκεῖ κηρύξω, εἰς τοῦτο γὰρ ἐξελήλυθα. καὶ ἦν κηρύσσων 39
ἐν ταῖς συναγωγαῖς αὐτῶν εἰς ὅλην τὴν Γαλιλαίαν, καὶ τὰ δαι-
μόνια ἐκβάλλων. Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρός, παρακαλῶν 40
αὐτὸν καὶ γονυπετῶν αὐτόν, καὶ λέγων αὐτῷ ὅτι Ἐὰν θέλῃς,
δύνασαί με καθαρίσαι. ὁ δὲ Ἰησοῦς σπλαγχνισθείς, ἐκτείνας 41
τὴν χεῖρα, ἥψατο αὐτοῦ, καὶ λέγει αὐτῷ, Θέλω, καθαρίσθητι,
καὶ εἰπόντος αὐτοῦ εὐθέως ἀπῆλθεν ἀπ' αὐτοῦ ἡ λέπρα, καὶ 42
ἐκαθαρίσθη. καὶ ἐμβριμησάμενος αὐτῷ, εὐθέως ἐξέβαλεν αὐ- 43
τόν, καὶ λέγει αὐτῷ, Ὅρα, μηδενὶ μηδὲν εἴπῃς, ἀλλ' ὕπαγε, 44
σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ
σου ἃ προσέταξε Μωσῆς, εἰς μαρτύριον αὐτοῖς. ὁ δὲ ἐξελθὼν 45
ἤρξατο κηρύσσειν πολλὰ καὶ διαφημίζειν τὸν λόγον, ὥστε μη-
κέτι αὐτὸν δύνασθαι φανερῶς εἰς πόλιν εἰσελθεῖν, ἀλλ' ἔξω ἐν
ἐρήμοις τόποις ἦν, καὶ ἤρχοντο πρὸς αὐτὸν πανταχόθεν.

---

v.34 καί^{c} θεραπεύω^{viaa3s} πολύς^{aampn} κακῶς^{bo} ἔχω^{vppaamp} ποικίλος^{adfpn} νόσος^{ndfp} καί^{c} δαιμόνιον^{nanp} πολύς^{aanpn} ἐκβάλλω^{viaa3s} καί^{c} οὐ^{xo} ἀφίημι^{viia3s} λαλέω^{vnpa} ὁ^{danp} δαιμόνιον^{nanp} ὅτι^{c} οἶδα^{viya3p} αὐτός^{rpams}. **v.35** καί^{c} πρωΐ^{bo} ἔννυχος^{bo} λίαν^{bo} ἀνίστημι^{vpaanms} ἐξέρχομαι^{viaa3s} καί^{c} ἀπέρχομαι^{viaa3s} εἰς^{p} ἔρημος^{aamsn} τόπος^{nams} κἀκεῖ^{bo} προσεύχομαι^{viin3s}. **v.36** καί^{c} καταδιώκω^{viaa3p} αὐτός^{rpams} ὁ^{dnms} Σίμων^{nnms} καί^{c} ὁ^{dnmp} μετά^{p} αὐτός^{rpgms}. **v.37** καί^{c} εὑρίσκω^{vpaanmp} αὐτός^{rpams} λέγω^{vipa3p} αὐτός^{rpdms} ὅτι^{c} πᾶς^{aanmpn} ζητέω^{vipa3p} σύ$^{rpa-s}$. **v.38** καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdmp} ἄγω^{vspa1p} εἰς^{p} ὁ^{dafp} ἔχω^{vpppafp} κωμόπολις^{nafp} ἵνα^{c} κἀκεῖ^{bo} κηρύσσω^{vsaa1s} εἰς^{p} οὗτος^{rdans} γάρ^{c} ἐξέρχομαι^{vixa1s}. **v.39** καί^{c} εἰμί^{viix3s} κηρύσσω^{vppanms} ἐν^{p} ὁ^{ddfp} συναγωγή^{ndfp} αὐτός^{rpgmp} εἰς^{p} ὅλος^{aafsn} ὁ^{dafs} Γαλιλαία^{nafs} καί^{c} ὁ^{danp} δαιμόνιον^{nanp} ἐκβάλλω^{vppanms}. **v.40** καί^{c} ἔρχομαι^{vipn3s} πρός^{p} αὐτός^{rpams} λεπρός^{anmsn} παρακαλέω^{vppanms} αὐτός^{rpams} καί^{c} γονυπετέω^{vppanms} αὐτός^{rpams} καί^{c} λέγω^{vppanms} αὐτός^{rpdms} ὅτι^{c} ἐάν^{qo} θέλω^{vspa2s} δύναμαι^{vipn2s} ἐγώ$^{rpa-s}$ καθαρίζω^{vnaa}. **v.41** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} σπλαγχνίζομαι^{vpaonms} ἐκτείνω^{vpaanfs} ὁ^{dafs} χείρ^{nafs} ἅπτω^{viad3s} αὐτός^{rpgms} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdms} θέλω^{vipa1s} καθαρίζω^{vdap2s}. **v.42** καί^{c} λέγω^{vpaagms} αὐτός^{rpgms} εὐθέως^{bo} ἀπέρχομαι^{viaa3s} ἀπό^{p} αὐτός^{rpgms} ὁ^{dnfs} λέπρα^{nnfs} καί^{c} καθαρίζω^{viap3s}. **v.43** καί^{c} ἐμβριμάομαι^{vpadnms} αὐτός^{rpdms} εὐθέως^{bo} ἐκβάλλω^{viaa3s} αὐτός^{rpams}. **v.44** καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdms} ὁράω^{vdpa2s} μηδείς^{admsn} μηδείς^{aansn} λέγω^{vsaa2s} ἀλλά^{c} ὑπάγω^{vdpa2s} σεαυτοῦ^{rxams} δείκνυμι^{vdaa2s} ὁ^{ddms} ἱερεύς^{ndms} καί^{c} προσφέρω^{vdaa2s} περί^{p} ὁ^{dgms} καθαρισμός^{ngms} σύ$^{rpg-s}$ ὅς^{rranp} προστάσσω^{viaa3s} Μωϋσῆς^{nnms} εἰς^{p} μαρτύριον^{nans} αὐτός^{rpdmp}. **v.45** ὁ^{dnms} δέ^{c} ἐξέρχομαι^{vpaanms} ἄρχω^{viad3s} κηρύσσω^{vnpa} πολύς^{aanpn} καί^{c} διαφημίζω^{vnpa} ὁ^{dams} λόγος^{nams} ὥστε^{c} μηκέτι^{bo} αὐτός^{rpams} δύναμαι^{vnpn} φανερῶς^{bo} εἰς^{p} πόλις^{nafs} εἰσέρχομαι^{vnaa} ἀλλά^{c} ἔξω^{bo} ἐν^{p} ἔρημος^{admpn} τόπος^{ndmp} εἰμί^{viix3s} καί^{c} ἔρχομαι^{viin3p} πρός^{p} αὐτός^{rpams} πάντοθεν^{bo}.

2 Καὶ πάλιν εἰσῆλθεν εἰς Καπερναοὺμ δι᾽ ἡμερῶν, καὶ ἠκού-
2 σθη ὅτι εἰς οἶκόν ἐστι. καὶ εὐθέως συνήχθησαν πολλοί, ὥστε
μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν, καὶ ἐλάλει αὐτοῖς τὸν
3 λόγον. καὶ ἔρχονται πρὸς αὐτὸν, παραλυτικὸν φέροντες, αἰρό-
4 μενον ὑπὸ τεσσάρων. καὶ μὴ δυνάμενοι προσεγγίσαι αὐτῷ διὰ
τὸν ὄχλον, ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν, καὶ ἐξορύξαντες
5 χαλῶσι τὸν κράββατον ἐφ᾽ ᾧ ὁ παραλυτικὸς κατέκειτο. ἰδὼν
δὲ ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν λέγει τῷ παραλυτικῷ, Τέκνον,
6 ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. ἦσαν δέ τινες τῶν γραμματέων
ἐκεῖ καθήμενοι, καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν,
7 Τί οὗτος οὕτω λαλεῖ βλασφημίας· τίς δύναται ἀφιέναι ἁμαρτίας
8 εἰ μὴ εἷς, ὁ Θεός· καὶ εὐθέως ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύ-
ματι αὐτοῦ ὅτι οὕτως διαλογίζονται ἐν ἑαυτοῖς, εἶπεν αὐτοῖς,
9 Τί ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν· τί ἐστιν εὐκο-
πώτερον, εἰπεῖν τῷ παραλυτικῷ, Ἀφέωνταί σοι αἱ ἁμαρτίαι, ἢ
εἰπεῖν, Ἔγειραι, καὶ ἆρόν σου τὸν κράββατον, καὶ περιπάτει·
10 ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι
11 ἐπὶ τῆς γῆς ἁμαρτίας λέγει τῷ παραλυτικῷ, Σοὶ λέγω, ἔγει-
ραι καὶ ἆρον τὸν κράββατον σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου.
12 καὶ ἠγέρθη εὐθέως, καὶ ἄρας τὸν κράββατον, ἐξῆλθεν ἐναντίον
πάντων, ὥστε ἐξίστασθαι πάντας, καὶ δοξάζειν τὸν Θεόν, λέγον-

---

2. v.1 καί^{c} πάλιν^{bo} εἰσέρχομαι^{viaa3s} εἰς^{p} Καπερναούμ^{tp} διά^{p} ἡμέρα^{ngfp} καί^{c} ἀκούω^{viap3s} ὅτι^{c} εἰς^{p} οἶκος^{nams} εἰμί^{vipx3s}. **v.2** καί^{c} εὐθέως^{bo} συνάγω^{viap3p} πολύς^{anmpn} ὥστε^{c} μηκέτι^{bo} χωρέω^{vnpa} μηδέ^{c} ὁ^{danp} πρός^{p} ὁ^{dafs} θύρα^{nafs} καί^{c} λαλέω^{viia3s} αὐτός^{rpdmp} ὁ^{dams} λόγος^{nams}. **v.3** καί^{c} ἔρχομαι^{vipn3p} πρός^{p} αὐτός^{rpams} παραλυτικός^{aamsn} φέρω^{vppanmp} αἴρω^{vpppams} ὑπό^{p} τέσσαρες^{ngmp}. **v.4** καί^{c} μή^{xo} δύναμαι^{vppnnmp} προσεγγίζω^{vnaa} αὐτός^{rpdms} διά^{p} ὁ^{dams} ὄχλος^{nams} ἀποστεγάζω^{viaa3p} ὁ^{dafs} στέγη^{nafs} ὅπου^{bo} εἰμί^{viix3s} καί^{c} ἐξορύσσω^{vpaanmp} χαλάω^{vipa3p} ὁ^{dams} κράβαττος^{nams} ἐπί^{p} ὅς^{rrdms} ὁ^{dnms} παραλυτικός^{anmsn} κατάκειμαι^{viin3s}. **v.5** ὁράω^{vpaanms} δέ^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{dafs} πίστις^{nafs} αὐτός^{rpgmp} λέγω^{vipa3s} ὁ^{ddms} παραλυτικός^{admsn} τέκνον^{nvns} ἀφίημι^{vixp3p} σύ$^{rpd-s}$ ὁ^{dnfp} ἁμαρτία^{nnfp} σύ$^{rpg-s}$. **v.6** εἰμί^{viix3p} δέ^{c} τι-ορινμπ ὁ^{dgmp} γραμματεύς^{ngmp} ἐκεῖ^{bo} κάθημαι^{vppnnmp} καί^{c} διαλογίζομαι^{vppnnmp} ἐν^{p} ὁ^{ddfp} καρδία^{ndfp} αὐτός^{rpgmp}. **v.7** τίς^{rqans} οὗτος^{rdnms} οὕτω^{bo} λαλέω^{vipa3s} βλασφημία^{nafp} τίς^{rqnms} δύναμαι^{vipn3s} ἀφίημι^{vnpa} ἁμαρτία^{nafp} εἰ^{qo} μή^{xo} εἷς^{nnms} ὁ^{dnms} θεός^{nnms}. **v.8** καί^{c} εὐθέως^{bo} ἐπιγινώσκω^{vpaanms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{ddns} πνεῦμα^{ndns} αὐτός^{rpgms} ὅτι^{c} οὕτω^{bo} διαλογίζομαι^{vipn3p} ἐν^{p} ἑαυτοῦ^{rxdmp} λέγω^{viaa3s} αὐτός^{rpdmp} τίς^{rqans} οὗτος^{rdanp} διαλογίζομαι^{vipn2p} ἐν^{p} ὁ^{ddfp} καρδία^{ndfp} σύ$^{rpg-p}$. **v.9** τίς^{rqnns} εἰμί^{vipx3s} εὔκοπος^{annsc} λέγω^{vnaa} ὁ^{ddms} παραλυτικός^{admsn} ἀφίημι^{vixp3p} σύ$^{rpd-s}$ ὁ^{dnfp} ἁμαρτία^{nnfp} ἤ^{xo} λέγω^{vnaa} ἐγείρω^{vdam2s} καί^{c} αἴρω^{vdaa2s} σύ$^{rpg-s}$ ὁ^{dams} κράβαττος^{nams} καί^{c} περιπατέω^{vdpa2s}. **v.10** ἵνα^{c} δέ^{c} οἶδα^{vsxa2p} ὅτι^{c} ἐξουσία^{nafs} ἔχω^{vipa3s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} ἀφίημι^{vnpa} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs} ἁμαρτία^{nafp} λέγω^{vipa3s} ὁ^{ddms} παραλυτικός^{admsn}. **v.11** σύ$^{rpd-s}$ λέγω^{vipa1s} ἐγείρω^{vdam2s} καί^{c} αἴρω^{vdaa2s} ὁ^{dams} κράβαττος^{nams} σύ$^{rpg-s}$ καί^{c} ὑπάγω^{vdpa2s} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} σύ$^{rpg-s}$.

τας ὅτι Οὐδέποτε οὕτως εἴδομεν. Καὶ ἐξῆλθε πάλιν παρὰ τὴν 13
θάλασσαν, καὶ πᾶς ὁ ὄχλος ἤρχετο πρὸς αὐτόν, καὶ ἐδίδασκεν
αὐτούς. καὶ παράγων εἶδε Λευῒν τὸν τοῦ Ἀλφαίου καθήμενον 14
ἐπὶ τὸ τελώνιον, καὶ λέγει αὐτῷ, Ἀκολούθει μοι. καὶ ἀναστὰς ἠ-
κολούθησεν αὐτῷ. καὶ ἐγένετο ἐν τω῀ κατακεῖσθαι αὐτὸν ἐν τῇ 15
οἰκίᾳ αὐτοῦ, καὶ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ συνανέκειντο
τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ, ἦσαν γὰρ πολλοί, καὶ ἠκο-
λούθησαν αὐτῷ. καὶ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι, ἰδόντες 16
αὐτὸν ἐσθίοντα μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν, ἔλεγον τοῖς
μαθηταῖς αὐτοῦ, Τί ὅτι μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει
καὶ πίνει· καὶ ἀκούσας ὁ Ἰησοῦς λέγει αὐτοῖς, Οὐ χρείαν ἔ- 17
χουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες. οὐκ ἦλθον
καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. Καὶ ἦσαν 18
οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ τῶν Φαρισαίων νηστεύοντες, καὶ
ἔρχονται καὶ λέγουσιν αὐτῷ, Διατί οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ
τῶν Φαρισαίων νηστεύουσιν, οἱ δὲ σοὶ μαθηταὶ οὐ νηστεύουσι·
καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶ- 19
νος, ἐν ᾧ ὁ νυμφίος μετ᾽ αὐτῶν ἐστι, νηστεύειν· ὅσον χρόνον
μεθ᾽ ἑαυτῶν ἔχουσι τὸν νυμφίον, οὐ δύνανται νηστεύειν, ἐλεύ- 20
σονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ ἀπ᾽ αὐτῶν ὁ νυμφίος, καὶ τότε

---

v.12 καί^c ἐγείρω^viap3s εὐθέως^bo καί^c αἴρω^vpaanms ὁ^dams κράβαττος^nams ἐξέρχομαι^viaa3s
ἐναντίον^bo πᾶς^agmpn ὥστε^c ἐξίστημι^vnpm πᾶς^aampn καί^c δοξάζω^vnpa ὁ^dams θεός^nams λέγω^vppaamp
ὅτι^c οὐδέποτε^bo οὕτω^bo ὁράω^viaa1p. **v.13** καί^c ἐξέρχομαι^viaa3s πάλιν^bo παρά^p ὁ^dafs
θάλασσα^nafs καί^c πᾶς^anmsn ὁ^dnms ὄχλος^nnms ἔρχομαι^viin3s πρός^p αὐτός^rpams καί^c διδάσκω^viia3s
αὐτός^rpamp. **v.14** καί^c παράγω^vppanms ὁράω^viaa3s Λευί^nams ὁ^dams ὁ^dgms Ἁλφαῖος^ngms
κάθημαι^vppnams ἐπί^p ὁ^dans τελώνιον^nans καί^c λέγω^vipa3s αὐτός^rpdms ἀκολουθέω^vdpa2s ἐγώ^rpd-s
καί^c ἀνίστημι^vpaanms ἀκολουθέω^viaa3s αὐτός^rpdms. **v.15** καί^c γίνομαι^viad3s ἐν^p ὁ^ddms
κατάκειμαι^vnpn αὐτός^rpams ἐν^p ὁ^ddfs οἰκία^ndfs αὐτός^rpgms καί^c πολύς^anmpn τελώνης^nnmp
καί^c ἁμαρτωλός^anmpn συνανάκειμαι^viin3p ὁ^ddms Ἰησοῦς^ndms καί^c ὁ^ddmp μαθητής^ndmp
αὐτός^rpgms εἰμί^viix3p γάρ^c πολύς^anmpn καί^c ἀκολουθέω^viaa3p αὐτός^rpdms. **v.16** καί^c
ὁ^dnmp γραμματεύς^nnmp καί^c ὁ^dnmp Φαρισαῖος^nnmp ὁράω^vpaanmp αὐτός^rpams ἐσθίω^vppaams
μετά^p ὁ^dgmp τελώνης^ngmp καί^c ἁμαρτωλός^agmpn λέγω^viia3p ὁ^ddmp μαθητής^ndmp αὐτός^rpgms
τίς^rqnns ὅτι^c μετά^p ὁ^dgmp τελώνης^ngmp καί^c ἁμαρτωλός^agmpn ἐσθίω^vipa3s καί^c πίνω^vipa3s.
v.17 καί^c ἀκούω^vpaanms ὁ^dnms Ἰησοῦς^nnms λέγω^vipa3s αὐτός^rpdmp οὐ^xo χρεία^nafs ἔχω^vipa3p
ὁ^dnmp ἰσχύω^vppanmp ἰατρός^ngms ἀλλά^c ὁ^dnmp κακῶς^bo ἔχω^vppanmp οὐ^xo ἔρχομαι^viaa1s
καλέω^vnaa δίκαιος^aampn ἀλλά^c ἁμαρτωλός^aampn εἰς^p μετάνοια^nafs. **v.18** καί^c εἰμί^viix3p
ὁ^dnmp μαθητής^nnmp Ἰωάννης^ngms καί^c ὁ^dnmp ὁ^dgmp Φαρισαῖος^ngmp νηστεύω^vppanmp καί^c
ἔρχομαι^vipn3p καί^c λέγω^vipa3p αὐτός^rpdms διά&τίς^xo ὁ^dnmp μαθητής^nnmp Ἰωάννης^ngms καί^c
ὁ^dnmp ὁ^dgmp Φαρισαῖος^ngmp νηστεύω^vipa3p ὁ^dnmp δέ^c σύ^rsnmp μαθητής^nnmp οὐ^xo νηστεύω^vipa3p.
v.19 καί^c λέγω^viaa3s αὐτός^rpdmp ὁ^dnms Ἰησοῦς^nnms μή^xo δύναμαι^vipn3p ὁ^dnmp υἱός^nnmp ὁ^dgms
νυμφών^ngms ἐν^p ὅς^rrdms ὁ^dnms νυμφίος^nnms μετά^p αὐτός^rpgmp εἰμί^vipx3s νηστεύω^vnpa ὅσος^rcams
χρόνος^nams μετά^p ἑαυτοῦ^rxgmp ἔχω^vipa3p ὁ^dams νυμφίος^nams οὐ^xo δύναμαι^vipn3p νηστεύω^vnpa.

21 νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραῖς. καὶ οὐδεὶς ἐπίβλημα
ῥάκους ἀγνάφου ἐπιρράπτει ἐπὶ ἱματίῳ παλαιῷ, εἰ δὲ μή, αἴρει
τὸ πλήρωμα αὐτοῦ τὸ καινὸν τοῦ παλαιοῦ, καὶ χεῖρον σχίσμα
22 γίνεται. καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς, εἰ
δὲ μή, ῥήσσει ὁ οἶνος ὁ νέος τοὺς ἀσκούς, καὶ ὁ οἶνος ἐκχεῖται
καὶ οἱ ἀσκοὶ ἀπολοῦνται, ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς
23 βλητέον. Καὶ ἐγένετο παραπορεύεσθαι αὐτὸν ἐν τοῖς σάββασιν
διὰ τῶν σπορίμων, καὶ ἤρξαντο οἱ μαθηταὶ αὐτοῦ ὁδὸν ποιεῖν
24 τίλλοντες τοὺς στάχυας. καὶ οἱ Φαρισαῖοι ἔλεγον αὐτῷ, Ἴδε, τί
25 ποιοῦσιν ἐν τοῖς σάββασιν ὃ οὐκ ἔξεστι· καὶ αὐτὸς ἔλεγεν αὐ-
τοῖς, Οὐδέποτε ἀνέγνωτε τί ἐποίησε Δαβίδ, ὅτε χρείαν ἔσχε καὶ
26 ἐπείνασεν αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ· πῶς εἰσῆλθεν εἰς τὸν οἶκον
τοῦ Θεοῦ ἐπὶ Ἀβιάθαρ τοῦ ἀρχιερέως, καὶ τοὺς ἄρτους τῆς προ-
θέσεως ἔφαγεν, οὓς οὐκ ἔξεστι φαγεῖν εἰ μὴ τοῖς ἱερεῦσι, καὶ
27 ἔδωκε καὶ τοῖς σὺν αὐτῷ οὖσι· καὶ ἔλεγεν αὐτοῖς, Τὸ σάββατον
διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον,
28 ὥστε Κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου.

3 Καὶ εἰσῆλθε πάλιν εἰς τὴν συναγωγήν, καὶ ἦν ἐκεῖ ἄνθρωπος
2 ἐξηραμμένην ἔχων τὴν χεῖρα. καὶ παρετήρουν αὐτὸν εἰ τοῖς
3 σάββασι θεραπεύσει αὐτόν, ἵνα κατηγορήσωσιν αὐτοῦ. καὶ

---

v.20 ἔρχομαι^{vifd3p} δέ^{c} ἡμέρα^{nnfp} ὅταν^{c} ἀπαίρω^{vsap3s} ἀπό^{p} αὐτός^{rpgmp} ὁ^{dnms} νυμφίος^{nnms} καί^{c} τότε^{bo} νηστεύω^{vifa3p} ἐν^{p} ἐκεῖνος^{rddfp} ὁ^{ddfp} ἡμέρα^{ndfp}. **v.21** καί^{c} οὐδείς^{anfsn} ἐπίβλημα^{nans} ῥάκος^{ngns} ἄγναφος^{agnsn} ἐπιράπτω^{vipa3s} ἐπί^{p} ἱμάτιον^{ndns} παλαιός^{adnsn} εἰ^{qo} δέ^{c} μή^{xo} αἴρω^{vipa3s} ὁ^{dnns} πλήρωμα^{nnns} αὐτός^{rpgns} ὁ^{dans} καινός^{aansn} ὁ^{dgns} παλαιός^{agnsn} καί^{c} χείρων^{annsn} σχίσμα^{nnns} γίνομαι^{vipn3s}. **v.22** καί^{c} οὐδείς^{anfsn} βάλλω^{vipa3s} οἶνος^{nams} νέος^{aamsn} εἰς^{p} ἀσκός^{namp} παλαιός^{aampn} εἰ^{qo} δέ^{c} μή^{xo} ῥήγνυμι^{vipa3s} ὁ^{dnms} οἶνος^{nnms} ὁ^{dnms} νέος^{anmsn} ὁ^{damp} ἀσκός^{namp} καί^{c} ὁ^{dnms} οἶνος^{nnms} ἐκχέω^{vipp3s} καί^{c} ὁ^{dnmp} ἀσκός^{nnmp} ἀπόλλυμι^{vifm3p} ἀλλά^{c} οἶνος^{nams} νέος^{aamsn} εἰς^{p} ἀσκός^{namp} καινός^{aampn} βλητέος^{annsn}. **v.23** καί^{c} γίνομαι^{viad3s} παραπορεύομαι^{vnpn} αὐτός^{rpams} ἐν^{p} ὁ^{ddnp} σάββατον^{ndnp} διά^{p} ὁ^{dgmp} σπόριμος^{agmpn} καί^{c} ἄρχω^{viad3p} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} ὁδός^{nafs} ποιέω^{vnpa} τίλλω^{vppanmp} ὁ^{damp} στάχυς^{namp}. **v.24** καί^{c} ὁ^{dnmp} Φαρισαῖος^{nnmp} λέγω^{viia3p} αὐτός^{rpdms} ἴδε^{i} τίς^{rqans} ποιέω^{vipa3p} ἐν^{p} ὁ^{ddnp} σάββατον^{ndnp} ὅς^{rrans} οὐ^{xo} ἔξεστι^{vipq3s}. **v.25** καί^{c} αὐτός^{rpnms} λέγω^{viia3s} αὐτός^{rpdmp} οὐδέποτε^{bo} ἀναγινώσκω^{viaa2p} τίς^{rqans} ποιέω^{viaa3s} Δαυίδ^{tp} ὅτε^{bo} χρεία^{nafs} ἔχω^{viaa3s} καί^{c} πεινάω^{viaa3s} αὐτός^{rpnms} καί^{c} ὁ^{dnmp} μετά^{p} αὐτός^{rpgms}. **v.26** πῶς^{bo} εἰσέρχομαι^{viaa3s} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} ὁ^{dgms} θεός^{ngms} ἐπί^{p} Ἀβιαθάρ^{tp} ὁ^{dgms} ἀρχιερεύς^{ngms} καί^{c} ὁ^{damp} ἄρτος^{namp} ὁ^{dgfs} πρόθεσις^{ngfs} ἐσθίω^{viaa3s} ὅς^{rramp} οὐ^{xo} ἔξεστι^{vipq3s} ἐσθίω^{vnaa} εἰ^{qo} μή^{xo} ὁ^{ddmp} ἱερεύς^{ndmp} καί^{c} δίδωμι^{viaa3s} καί^{c} ὁ^{ddmp} σύν^{p} αὐτός^{rpdms} εἰμί^{vppxdmp}. **v.27** καί^{c} λέγω^{viia3s} αὐτός^{rpdmp} ὁ^{dnns} σάββατον^{nnns} διά^{p} ὁ^{dams} ἄνθρωπος^{nams} γίνομαι^{viad3s} οὐ^{xo} ὁ^{dnms} ἄνθρωπος^{nnms} διά^{p} ὁ^{dans} σάββατον^{nans}. **v.28** ὥστε^{c} κύριος^{nnms} εἰμί^{vipx3s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} καί^{c} ὁ^{dgns} σάββατον^{ngns}. **3. v.1** καί^{c} εἰσέρχομαι^{viaa3s} πάλιν^{bo} εἰς^{p} ὁ^{dafs} συναγωγή^{nafs} καί^{c} εἰμί^{viix3s} ἐκεῖ^{bo} ἄνθρωπος^{nnms} ξηραίνω^{vpxpafs} ἔχω^{vppanms} ὁ^{dafs} χείρ^{nafs}. **v.2** καί^{c} παρατηρέω^{viia3p} αὐτός^{rpams} εἰ^{qo} ὁ^{ddnp} σάββατον^{ndnp} θεραπεύω^{vifa3s} αὐτός^{rpams} ἵνα^{c} κατηγορέω^{vsaa3p} αὐτός^{rpgms}.

λέγει τῷ ἀνθρώπῳ τῷ ἐξηραμμένην ἔχοντι τὴν χεῖρα, Ἔγειραι
εἰς τὸ μέσον. καὶ λέγει αὐτοῖς, Ἔξεστι τοῖς σάββασιν ἀγαθο- 4
ποιῆσαι, ἢ κακοποιῆσαι· ψυχὴν σῶσαι, ἢ ἀποκτεῖναι· Οἱ δὲ
ἐσιώπων. καὶ περιβλεψάμενος αὐτοὺς μετ᾽ ὀργῆς, συλλυπού- 5
μενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας αὐτῶν, λέγει τῷ ἀνθρώπῳ,
Ἔκτεινον τὴν χεῖρα σου. καὶ ἐξέτεινε, καὶ ἀποκατεστάθη ἡ
χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη. καὶ ἐξελθόντες οἱ Φαρισαῖοι 6
εὐθὲως μετὰ τῶν Ἡρῳδιανῶν συμβούλιον ἐποίουν κατ᾽ αὐτοῦ,
ὅπως αὐτὸν ἀπολέσωσι. Καὶ ὁ Ἰησοῦς ἀνεχώρησεν μετὰ τῶν 7
μαθητῶν αὐτοῦ πρὸς τὴν θάλασσαν, καὶ πολὺ πλῆθος ἀπὸ τῆς
Γαλιλαίας ἠκολούθησαν αὐτῷ, καὶ ἀπὸ τῆς Ἰουδαίας, καὶ ἀπὸ 8
Ἱεροσολύμων, καὶ ἀπὸ τῆς Ἰδουμαίας, καὶ πέραν τοῦ Ἰορδά-
νου, καὶ οἱ περὶ Τύρον καὶ Σιδῶνα, πλῆθος πολύ, ἀκούσαντες
ὅσα ἐποίει, ἦλθον πρὸς αὐτόν. καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ 9
ἵνα πλοιάριον προσκαρτερῇ αὐτῷ διὰ τὸν ὄχλον, ἵνα μὴ θλίβω-
σιν αὐτόν. πολλοὺς γὰρ ἐθεράπευσεν, ὥστε ἐπιπίπτειν αὐτῷ, 10
ἵνα αὐτοῦ ἅψωνται, ὅσοι εἶχον μάστιγας. καὶ τὰ πνεύματα 11
τὰ ἀκάθαρτα, ὅταν αὐτὸν ἐθεώρει, προσέπιπτεν αὐτῷ, καὶ ἔ-
κραζε, λέγοντα ὅτι Σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ. καὶ πολλὰ ἐπετίμα 12
αὐτοῖς ἵνα μὴ αὐτὸν φανερὸν ποιήσωσι. Καὶ ἀναβαίνει εἰς τὸ 13
ὄρος, καὶ προσκαλεῖται οὓς ἤθελεν αὐτός, καὶ ἀπῆλθον πρὸς

---

v.3 καί^{c} λέγω^{vipa3s} ὁ^{ddms} ἄνθρωπος^{ndms} ὁ^{ddms} ξηραίνω^{vpxpafs} ἔχω^{vppadms} ὁ^{dafs} χείρ^{nafs} ἐγείρω^{vdam2s} εἰς^{p} ὁ^{dans} μέσος^{aansn}. **v.4** καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdmp} ἔξεστι^{vipq3s} ὁ^{ddnp} σάββατον^{ndnp} ἀγαθοποιέω^{vnaa} ἤ^{xo} κακοποιέω^{vnaa} ψυχή^{nafs} σῴζω^{vnaa} ἤ^{xo} ἀποκτείνω^{vnaa} ὁ^{dnmp} δέ^{c} σιωπάω^{viia3p}. **v.5** καί^{c} περιβλέπω^{vpamnnms} αὐτός^{rpamp} μετά^{p} ὀργή^{ngfs} συλλυπέομαι^{vppnnms} ἐπί^{p} ὁ^{ddfs} πώρωσις^{ndfs} ὁ^{dgfs} καρδία^{ngfs} αὐτός^{rpgmp} λέγω^{vipa3s} ὁ^{ddms} ἄνθρωπος^{ndms} ἐκτείνω^{vdaa2s} ὁ^{dafs} χείρ^{nafs} σύ$^{rpg-s}$ καί^{c} ἐκτείνω^{viaa3s} καί^{c} ἀποκαθιστάνω^{viap3s} ὁ^{dnfs} χείρ^{nnfs} αὐτός^{rpgms} ὑγιής^{anfsn} ὡς^{bo} ὁ^{dnfs} ἄλλος^{anfsn}. **v.6** καί^{c} ἐξέρχομαι^{vpaanmp} ὁ^{dnmp} Φαρισαῖος^{nnmp} εὐθέως^{bo} μετά^{p} ὁ^{dgmp} Ἡρῳδιανοί^{ngmp} συμβούλιον^{nans} ποιέω^{viia3p} κατά^{p} αὐτός^{rpgms} ὅπως^{bo} αὐτός^{rpams} ἀπόλλυμι^{vsaa3p}. **v.7** καί^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἀναχωρέω^{viaa3s} μετά^{p} ὁ^{dgmp} μαθητής^{ngmp} αὐτός^{rpgms} πρός^{p} ὁ^{dafs} θάλασσα^{nafs} καί^{c} πολύς^{annsn} πλῆθος^{nnns} ἀπό^{p} ὁ^{dgfs} Γαλιλαία^{ngfs} ἀκολουθέω^{viaa3p} αὐτός^{rpdms} καί^{c} ἀπό^{p} ὁ^{dgfs} Ἰουδαία^{ngfs}. **v.8** καί^{c} ἀπό^{p} Ἱεροσόλυμα^{ngnp} καί^{c} ἀπό^{p} ὁ^{dgfs} Ἰδουμαία^{ngfs} καί^{c} πέραν^{bo} ὁ^{dgms} Ἰορδάνης^{ngms} καί^{c} ὁ^{dnmp} περί^{p} Τύρος^{nafs} καί^{c} Σιδών^{nafs} πλῆθος^{nnns} πολύς^{annsn} ἀκούω^{vpaanmp} ὅσος^{rcanp} ποιέω^{viia3s} ἔρχομαι^{viaa3p} πρός^{p} αὐτός^{rpams}. **v.9** καί^{c} λέγω^{viaa3s} ὁ^{ddmp} μαθητής^{ndmp} αὐτός^{rpgms} ἵνα^{c} πλοιάριον^{nnns} προσκαρτερέω^{vspa3s} αὐτός^{rpdms} διά^{p} ὁ^{dams} ὄχλος^{nams} ἵνα^{c} μή^{xo} θλίβω^{vspa3p} αὐτός^{rpams}. **v.10** πολύς^{aampn} γάρ^{c} θεραπεύω^{viaa3s} ὥστε^{c} ἐπιπίπτω^{vnpa} αὐτός^{rpdms} ἵνα^{c} αὐτός^{rpgms} ἅπτω^{vsam3p} ὅσος^{rcnmp} ἔχω^{viia3p} μάστιξ^{nafp}. **v.11** καί^{c} ὁ^{dnnp} πνεῦμα^{nnnp} ὁ^{dnnp} ἀκάθαρτος^{annpn} ὅταν^{c} αὐτός^{rpams} θεωρέω^{viia3s} προσπίπτω^{viia3s} αὐτός^{rpdms} καί^{c} κράζω^{viia3s} λέγω^{vppannp} ὅτι^{c} σύ$^{rpn-s}$ εἰμί^{vipx2s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} θεός^{ngms}. **v.12** καί^{c} πολύς^{aanpn} ἐπιτιμάω^{viia3s} αὐτός^{rpdmp} ἵνα^{c} μή^{xo} αὐτός^{rpams} φανερός^{aamsn} ποιέω^{vsaa3p}.

14 αὐτόν. καὶ ἐποίησε δώδεκα, ἵνα ὦσι μετ᾽ αὐτοῦ, καὶ ἵνα ἀπο-
15 στέλλῃ αὐτοὺς κηρύσσειν. καὶ ἔχειν ἐξουσίαν θεραπεύειν τὰς
16 νόσους, καὶ ἐκβάλλειν τὰ δαιμόνια, καὶ ἐπέθηκε τῷ Σίμωνι
17 ὄνομα Πέτρον, καὶ Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην
τὸν ἀδελφὸν τοῦ Ἰακώβου, καὶ ἐπέθηκεν αὐτοῖς ὀνόματα Βοα-
18 νεργές, ὅ ἐστιν, Υἱοὶ Βροντῆς, καὶ Ἀνδρέαν, καὶ Φίλιππον, καὶ
Βαρθολομαῖον, καὶ Ματθαῖον, καὶ Θωμᾶν, καὶ Ἰάκωβον τὸν
19 τοῦ Ἁλφαίου, καὶ Θαδδαῖον, καὶ Σίμωνα τὸν Κανανίτην, καὶ
Ἰούδαν Ἰσκαριώτην, ὃς καὶ παρέδωκεν αὐτόν. Καὶ ἔρχονται εἰς
20 οἶκον, καὶ συνέρχεται πάλιν ὄχλος, ὥστε μὴ δύνασθαι αὐτοὺς
21 μήτε ἄρτον φαγεῖν. καὶ ἀκούσαντες οἱ παρ᾽ αὐτοῦ ἐξῆλθον
22 κρατῆσαι αὐτόν, ἔλεγον γὰρ ὅτι Ἐξέστη. καὶ οἱ γραμματεῖς οἱ
ἀπὸ Ἱεροσολύμων καταβάντες ἔλεγον ὅτι Βεελζεβοὺλ ἔχει, καὶ
23 ὅτι Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. καὶ
προσκαλεσάμενος αὐτούς, ἐν παραβολαῖς ἔλεγεν αὐτοῖς, Πῶς
24 δύναται Σατανᾶς Σατανᾶν ἐκβάλλειν· καὶ ἐὰν βασιλεία ἐφ᾽ ἑαυ-
25 τὴν μερισθῇ, οὐ δύναται σταθῆναι ἡ βασιλεία ἐκείνη. καὶ ἐὰν
οἰκία ἐφ᾽ ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆναι ἡ οἰκία ἐκείνη.
26 καὶ εἰ ὁ Σατανᾶς ἀνέστη ἐφ᾽ ἑαυτὸν καὶ μεμέρισται, οὐ δύναται
27 σταθῆναι, ἀλλὰ τέλος ἔχει. οὐ δύναται οὐδεὶς τὰ σκεύη τοῦ

---

v.13 καί[c] ἀναβαίνω[vipa3s] εἰς[p] ὁ[dans] ὄρος[nans] καί[c] προσκαλέομαι[vipn3s] ὅς[rramp] θέλω[viia3s] αὐτός[rpnms] καί[c] ἀπέρχομαι[viaa3p] πρός[p] αὐτός[rpams]. **v.14** καί[c] ποιέω[viaa3s] δώδεκα[tn] ἵνα[c] εἰμί[vspx3p] μετά[p] αὐτός[rpgms] καί[c] ἵνα[c] ἀποστέλλω[vspa3s] αὐτός[rpamp] κηρύσσω[vnpa]. **v.15** καί[c] ἔχω[vnpa] ἐξουσία[nafs] θεραπεύω[vnpa] ὁ[dafp] νόσος[nafp] καί[c] ἐκβάλλω[vnpa] ὁ[danp] δαιμόνιον[nanp]. **v.16** καί[c] ἐπιτίθημι[viaa3s] ὁ[ddms] Σίμων[ndms] ὄνομα[nans] Πέτρος[nams]. **v.17** καί[c] Ἰάκωβος[nams] ὁ[dams] ὁ[dgms] Ζεβεδαῖος[ngms] καί[c] Ἰωάννης[nams] ὁ[dams] ἀδελφός[nams] ὁ[dgms] Ἰάκωβος[ngms] καί[c] ἐπιτίθημι[viaa3s] αὐτός[rpdmp] ὄνομα[nanp] Βοανηργές[tp] ὅς[rrnns] εἰμί[vipx3s] υἱός[nnmp] βροντή[ngfs]. **v.18** καί[c] Ἀνδρέας[nams] καί[c] Φίλιππος[nams] καί[c] Βαρθολομαῖος[nams] καί[c] Ματθαῖος[nams] καί[c] Θωμᾶς[nams] καί[c] Ἰάκωβος[nams] ὁ[dams] ὁ[dgms] Ἁλφαῖος[ngms] καί[c] Θαδδαῖος[nams] καί[c] Σίμων[nams] ὁ[dams] Κανανᾶος[nams]. **v.19** καί[c] Ἰούδας[nams] Ἰσκαριώθ[nams] ὅς[rrnms] καί[c] παραδίδωμι[viaa3s] αὐτός[rpams] καί[c] ἔρχομαι[vipn3p] εἰς[p] οἶκος[nams]. **v.20** καί[c] συνέρχομαι[vipn3s] πάλιν[bo] ὄχλος[nnms] ὥστε[c] μή[xo] δύναμαι[vnpn] αὐτός[rpamp] μήτε[c] ἄρτος[nams] ἐσθίω[vnaa]. **v.21** καί[c] ἀκούω[vpaanmp] ὁ[dnmp] παρά[p] αὐτός[rpgms] ἐξέρχομαι[viaa3p] κρατέω[vnaa] αὐτός[rpams] λέγω[viia3p] γάρ[c] ὅτι[c] ἐξίστημι[viaa3s]. **v.22** καί[c] ὁ[dnmp] γραμματεύς[nnmp] ὁ[dnmp] ἀπό[p] Ἱεροσόλυμα[ngnp] καταβαίνω[vpaanmp] λέγω[viia3p] ὅτι[c] Βεελζεβούλ[tp] ἔχω[vipa3s] καί[c] ὅτι[c] ἐν[p] ὁ[ddms] ἄρχων[ndms] ὁ[dgnp] δαιμόνιον[ngnp] ἐκβάλλω[vipa3s] ὁ[danp] δαιμόνιον[nanp]. **v.23** καί[c] προσκαλέομαι[vpadnms] αὐτός[rpamp] ἐν[p] παραβολή[ndfp] λέγω[viia3s] αὐτός[rpdmp] πῶς[bo] δύναμαι[vipn3s] Σατανᾶς[nnms] Σατανᾶς[nams] ἐκβάλλω[vnpa]. **v.24** καί[c] ἐάν[qo] βασιλεία[nnfs] ἐπί[p] ἑαυτοῦ[rxafs] μερίζω[vsap3s] οὐ[xo] δύναμαι[vipn3s] ἵστημι[vnap] ὁ[dnfs] βασιλεία[nnfs] ἐκεῖνος[rdnfs]. **v.25** καί[c] ἐάν[qo] οἰκία[nnfs] ἐπί[p] ἑαυτοῦ[rxafs] μερίζω[vsap3s] οὐ[xo] δύναμαι[vipn3s] ἵστημι[vnap] ὁ[dnfs] οἰκία[nnfs] ἐκεῖνος[rdnfs]. **v.26** καί[c] εἰ[qo] ὁ[dnms] Σατανᾶς[nnms] ἀνίστημι[viaa3s] ἐπί[p] ἑαυτοῦ[rxams] καί[c] μερίζω[vixp3s] οὐ[xo] δύναμαι[vipn3s] ἵστημι[vnap] ἀλλά[c] τέλος[nans] ἔχω[vipa3s].

ἰσχυροῦ, εἰσελθὼν εἰς τὴν οἰκίαν αὐτοῦ, διαρπάσαι, ἐὰν μὴ πρῶτον τὸν ἰσχυρὸν δήσῃ, καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει. ἀμὴν λέγω ὑμῖν, ὅτι πάντα ἀφεθήσεται τὰ ἁμαρτήματα 28
τοῖς υἱοῖς τῶν ἀνθρώπων, καὶ βλασφημίαι ὅσας ἂν βλασφημήσωσιν, ὃς δ' ἂν βλασφημήσῃ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, οὐκ ἔχει 29
ἄφεσιν εἰς τὸν αἰῶνα, ἀλλ' ἔνοχός ἐστιν αἰωνίου κρίσεως. ὅτι ἔ- 30
λεγον, Πνεῦμα ἀκάθαρτον ἔχει. Ἔρχονται οὖν οἱ ἀδελφοὶ καὶ 31
ἡ μήτηρ αὐτοῦ, καὶ ἔξω ἑστῶτες ἀπέστειλαν πρὸς αὐτὸν, φωνοῦντες αὐτόν. καὶ ἐκάθητο ὄχλος περὶ αὐτόν, εἶπον δὲ αὐτῷ, 32
Ἰδού, ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ζητοῦσί σε. καὶ ἀ- 33
πεκρίθη αὐτοῖς λέγων, Τίς ἐστιν ἡ μήτηρ μου ἢ οἱ ἀδελφοί μου· καὶ περιβλεψάμενος κύκλῳ τοὺς περὶ αὐτὸν καθημένους, λέ- 34
γει, Ἴδε ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου. ὃς γὰρ ἂν ποιήσῃ 35
τὸ θέλημα τοῦ Θεοῦ, οὗτος ἀδελφός μου καὶ ἀδελφή μου καὶ μήτηρ ἐστί.

Καὶ πάλιν ἤρξατο διδάσκειν παρὰ τὴν θάλασσαν καὶ συνή- **4**
χθη πρὸς αὐτὸν ὄχλος πολύς, ὥστε αὐτὸν ἐμβάντα εἰς τὸ πλοῖον καθῆσθαι ἐν τῇ θαλάσσῃ, καὶ πᾶς ὁ ὄχλος πρὸς τὴν θάλασσαν ἐπὶ τῆς γῆς ἦν. καὶ ἐδίδασκεν αὐτοὺς ἐν παραβολαῖς πολλά, 2
καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ, Ἀκούετε, ἰδού, ἐξῆλ- 3

---

v.27 οὐˣᵒ δύναμαιᵛⁱᵖⁿ³ˢ οὐδείςᵃⁿᶠˢⁿ ὁᵈᵃⁿᵖ σκεῦοςⁿᵃⁿᵖ ὁᵈᵍᵐˢ ἰσχυρόςᵃᵍᵐˢⁿ εἰσέρχομαιᵛᵖᵃᵃⁿᵐˢ εἰςᵖ ὁᵈᵃᶠˢ οἰκίαⁿᵃᶠˢ αὐτόςʳᵖᵍᵐˢ διαρπάζωᵛⁿᵃᵃ ἐάνᵠᵒ μήˣᵒ πρῶτοςᵇᵒ ὁᵈᵃᵐˢ ἰσχυρόςᵃᵃᵐˢⁿ δέωᵛˢᵃᵃ³ˢ καίᶜ τότεᵇᵒ ὁᵈᵃᶠˢ οἰκίαⁿᵃᶠˢ αὐτόςʳᵖᵍᵐˢ διαρπάζωᵛⁱᶠᵃ³ˢ. **v.28** ἀμήνᵗʰ λέγωᵛⁱᵖᵃ¹ˢ σύʳᵖᵈ⁻ᵖ ὅτιᶜ πᾶςᵃⁿⁿᵖⁿ ἀφίημιᵛⁱᶠᵖ³ˢ ὁᵈⁿⁿᵖ ἁμάρτημαⁿⁿⁿᵖ ὁᵈᵈᵐᵖ υἱόςⁿᵈᵐᵖ ὁᵈᵍᵐᵖ ἄνθρωποςⁿᵍᵐᵖ καίᶜ βλασφημίαⁿⁿᶠᵖ ὅσοςʳᶜᵃᶠᵖ ἄνˣᵒ βλασφημέωᵛˢᵃᵃ³ᵖ. **v.29** ὅςʳʳⁿᵐˢ δέᶜ ἄνˣᵒ βλασφημέωᵛˢᵃᵃ³ˢ εἰςᵖ ὁᵈᵃⁿˢ πνεῦμαⁿᵃⁿˢ ὁᵈᵃⁿˢ ἅγιοςᵃᵃⁿˢⁿ οὐˣᵒ ἔχωᵛⁱᵖᵃ³ˢ ἄφεσιςⁿᵃᶠˢ εἰςᵖ ὁᵈᵃᵐˢ αἰώνⁿᵃᵐˢ ἀλλάᶜ ἔνοχοςᵃⁿᵐˢⁿ εἰμίᵛⁱᵖˣ³ˢ αἰώνιοςᵃᵍᶠˢⁿ κρίσιςⁿᵍᶠˢ. **v.30** ὅτιᶜ λέγωᵛⁱⁱᵃ³ᵖ πνεῦμαⁿᵃⁿˢ ἀκάθαρτοςᵃᵃⁿˢⁿ ἔχωᵛⁱᵖᵃ³ˢ. **v.31** ἔρχομαιᵛⁱᵖⁿ³ᵖ οὖνᶜ ὁᵈⁿᵐᵖ ἀδελφόςⁿⁿᵐᵖ καίᶜ ὁᵈⁿᶠˢ μήτηρⁿⁿᶠˢ αὐτόςʳᵖᵍᵐˢ καίᶜ ἔξωᵇᵒ ἵστημιᵛᵖˣᵃⁿᵐᵖ ἀποστέλλωᵛⁱᵃᵃ³ᵖ πρόςᵖ αὐτόςʳᵖᵃᵐˢ φωνέωᵛᵖᵖᵃⁿᵐᵖ αὐτόςʳᵖᵃᵐˢ. **v.32** καίᶜ κάθημαιᵛⁱⁱⁿ³ˢ ὄχλοςⁿⁿᵐˢ περίᵖ αὐτόςʳᵖᵃᵐˢ λέγωᵛⁱᵃᵃ³ᵖ δέᶜ αὐτόςʳᵖᵈᵐˢ ἰδούᵛᵈᵃᵃ²ˢ ὁᵈᶠˢ μήτηρⁿⁿᶠˢ σύʳᵖᵍ⁻ˢ καίᶜ ὁᵈⁿᵐᵖ ἀδελφόςⁿⁿᵐᵖ σύʳᵖᵍ⁻ˢ ἔξωᵇᵒ ζητέωᵛⁱᵖᵃ³ᵖ σύʳᵖᵃ⁻ˢ. **v.33** καίᶜ ἀποκρίνομαιᵛⁱᵃᵈ³ˢ αὐτόςʳᵖᵈᵐᵖ λέγωᵛᵖᵖᵃⁿᵐˢ τίςʳᵠⁿᵐˢ εἰμίᵛⁱᵖˣ³ˢ ὁᵈⁿᶠˢ μήτηρⁿⁿᶠˢ ἐγώʳᵖᵍ⁻ˢ ἤˣᵒ ὁᵈⁿᵐᵖ ἀδελφόςⁿⁿᵐᵖ ἐγώʳᵖᵍ⁻ˢ. **v.34** καίᶜ περιβλέπωᵛᵖᵃᵐⁿᵐˢ κύκλῳⁿᵈᵐˢ ὁᵈᵃᵐᵖ περίᵖ αὐτόςʳᵖᵃᵐˢ κάθημαιᵛᵖᵖⁿᵃᵐᵖ λέγωᵛⁱᵖᵃ³ˢ ἴδεⁱ ὁᵈⁿᶠˢ μήτηρⁿⁿᶠˢ ἐγώʳᵖᵍ⁻ˢ καίᶜ ὁᵈⁿᵐᵖ ἀδελφόςⁿⁿᵐᵖ ἐγώʳᵖᵍ⁻ˢ. **v.35** ὅςʳʳⁿᵐˢ γάρᶜ ἄνˣᵒ ποιέωᵛˢᵃᵃ³ˢ ὁᵈⁿˢ θέλημαⁿᵃⁿˢ ὁᵈᵍᵐˢ θεόςⁿᵍᵐˢ οὗτοςʳᵈⁿᵐˢ ἀδελφόςⁿⁿᵐˢ ἐγώʳᵖᵍ⁻ˢ καίᶜ ἀδελφήⁿⁿᶠˢ ἐγώʳᵖᵍ⁻ˢ καίᶜ μήτηρⁿⁿᶠˢ εἰμίᵛⁱᵖˣ³ˢ. **4. v.1** καίᶜ πάλινᵇᵒ ἄρχωᵛⁱᵃᵈ³ˢ διδάσκωᵛⁿᵖᵃ παράᵖ ὁᵈᵃᶠˢ θάλασσαⁿᵃᶠˢ καίᶜ συνάγωᵛⁱᵃᵖ³ˢ πρόςᵖ αὐτόςʳᵖᵃᵐˢ ὄχλοςⁿⁿᵐˢ πολύςᵃⁿᵐˢⁿ ὥστεᶜ αὐτόςʳᵖᵃᵐˢ ἐμβαίνωᵛᵖᵃᵃᵃᵐˢ εἰςᵖ ὁᵈⁿˢ πλοῖονⁿᵃⁿˢ κάθημαιᵛⁿᵖⁿ ἐνᵖ ὁᵈᵈᶠˢ θάλασσαⁿᵈᶠˢ καίᶜ πᾶςᵃⁿᵐˢⁿ ὁᵈⁿᵐˢ ὄχλοςⁿⁿᵐˢ πρόςᵖ ὁᵈᵃᶠˢ θάλασσαⁿᵃᶠˢ ἐπίᵖ ὁᵈᵍᶠˢ γῆⁿᵍᶠˢ εἰμίᵛⁱⁱˣ³ˢ. **v.2** καίᶜ διδάσκωᵛⁱⁱᵃ³ˢ αὐτόςʳᵖᵃᵐᵖ ἐνᵖ παραβολήⁿᵈᶠᵖ πολύςᵃᵃⁿᵖⁿ καίᶜ λέγωᵛⁱⁱᵃ³ˢ αὐτόςʳᵖᵈᵐᵖ ἐνᵖ ὁᵈᵈᶠˢ διδαχήⁿᵈᶠˢ αὐτόςʳᵖᵍᵐˢ.

4 θεν ὁ σπείρων τοῦ σπεῖραι. καὶ ἐγένετο ἐν τῷ σπείρειν, ὃ μὲν
ἔπεσε παρὰ τὴν ὁδόν, καὶ ἦλθε τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ
5 κατέφαγεν αὐτό. ἄλλο δὲ ἔπεσεν ἐπὶ τὸ πετρῶδες, ὅπου οὐκ
εἶχε γῆν πολλήν, καὶ εὐθέως ἐξανέτειλε, διὰ τὸ μὴ ἔχειν βά-
6 θος γῆς, ἡλίου δὲ ἀνατείλαντος ἐκαυματίσθη, καὶ διὰ τὸ μὴ
7 ἔχειν ῥίζαν ἐξηράνθη. καὶ ἄλλο ἔπεσεν εἰς τὰς ἀκάνθας, καὶ
ἀνέβησαν αἱ ἄκανθαι, καὶ συνέπνιξαν αὐτό, καὶ καρπὸν οὐκ
8 ἔδωκε. καὶ ἄλλο ἔπεσεν εἰς τὴν γῆν τὴν καλήν, καὶ ἐδίδου
καρπὸν ἀναβαίνοντα καὶ αὐξάνοντα, καὶ ἔφερεν ἓν τριάκοντα,
9 καὶ ἓν ἑξήκοντα, καὶ ἓν ἑκατόν. καὶ ἔλεγεν αὐτοῖς, Ὁ ἔχων
10 ὦτα ἀκούειν, ἀκουέτω. Ὅτε δὲ ἐγένετο καταμόνας, ἠρώτησαν
11 αὐτὸν οἱ περὶ αὐτὸν σὺν τοῖς δώδεκα τὴν παραβολήν. καὶ ἔ-
λεγεν αὐτοῖς, Ὑμῖν δέδοται γνῶναι τὸ μυστήριον τῆς βασιλείας
τοῦ Θεοῦ, ἐκείνοις δὲ τοῖς ἔξω, ἐν παραβολαῖς τὰ πάντα γίνεται,
12 ἵνα βλέποντες βλέπωσι, καὶ μὴ ἴδωσι, καὶ ἀκούοντες ἀκούωσι,
καὶ μὴ συνιῶσι, μήποτε ἐπιστρέψωσι, καὶ ἀφεθῇ αὐτοῖς τὰ ἁ-
13 μαρτήματα. καὶ λέγει αὐτοῖς, Οὐκ οἴδατε τὴν παραβολὴν ταύ-
14 την· καὶ πῶς πάσας τὰς παραβολὰς γνώσεσθε· ὁ σπείρων τὸν
15 λόγον σπείρει. οὗτοι δέ εἰσιν οἱ παρὰ τὴν ὁδόν, ὅπου σπεί-
ρεται ὁ λόγος, καὶ ὅταν ἀκούσωσιν, εὐθέως ἔρχεται ὁ Σατανᾶς

---

v.3 ἀκούω^{vdpa2p} ἰδού^{vdaa2s} ἐξέρχομαι^{viaa3s} ὁ^{dnms} σπείρω^{vppanms} ὁ^{dgms} σπείρω^{vnaa}. **v.4** καί^{c} γίνομαι^{viad3s} ἐν^{p} ὁ^{ddms} σπείρω^{vnpa} ὅς^{rrnns} μέν^{xo} πίπτω^{viaa3s} παρά^{p} ὁ^{dafs} ὁδός^{nafs} καί^{c} ἔρχομαι^{viaa3s} ὁ^{dnnp} πετεινός^{nnnp} ὁ^{dgms} οὐρανός^{ngms} καί^{c} κατεσθίω^{viaa3s} αὐτός^{rpans}. **v.5** ἄλλος^{annsn} δέ^{c} πίπτω^{viaa3s} ἐπί^{p} ὁ^{dans} πετρώδης^{aansn} ὅπου^{bo} οὐ^{xo} ἔχω^{viia3s} γῆ^{nafs} πολύς^{aafsn} καί^{c} εὐθέως^{bo} ἐξανατέλλω^{viaa3s} διά^{p} ὁ^{dans} μή^{xo} ἔχω^{vnpa} βάθος^{nans} γῆ^{ngfs}. **v.6** ἥλιος^{ngms} δέ^{c} ἀνατέλλω^{vpaagms} καυματίζω^{viap3s} καί^{c} διά^{p} ὁ^{dans} μή^{xo} ἔχω^{vnpa} ῥίζα^{nafs} ξηραίνω^{viap3s}. **v.7** καί^{c} ἄλλος^{annsn} πίπτω^{viaa3s} εἰς^{p} ὁ^{dafp} ἄκανθα^{nafp} καί^{c} ἀναβαίνω^{viaa3p} ὁ^{dnfp} ἄκανθα^{nnfp} καί^{c} συμπνίγω^{viaa3p} αὐτός^{rpans} καί^{c} καρπός^{nams} οὐ^{xo} δίδωμι^{viaa3s}. **v.8** καί^{c} ἄλλος^{annsn} πίπτω^{viaa3s} εἰς^{p} ὁ^{dafs} γῆ^{nafs} ὁ^{dafs} καλός^{aafsn} καί^{c} δίδωμι^{viia3s} καρπός^{nams} ἀναβαίνω^{vppaams} καί^{c} αὐξάνω^{vppaams} καί^{c} φέρω^{viia3s} εἷς^{p} τριάκοντα^{tn} καί^{c} εἷς^{p} ἑξήκοντα^{tn} καί^{c} εἷς^{p} ἑκατόν^{tn}. **v.9** καί^{c} λέγω^{viia3s} αὐτός^{rpdmp} ὁ^{dnms} ἔχω^{vppanms} οὖς^{nanp} ἀκούω^{vnpa} ἀκούω^{vdpa3s}. **v.10** ὅτε^{bo} δέ^{c} γίνομαι^{viad3s} κατά&μόνος^{bo} ἐρωτάω^{viaa3p} αὐτός^{rpams} ὁ^{dnmp} περί^{p} αὐτός^{rpams} σύν^{p} ὁ^{ddmp} δώδεκα^{tn} ὁ^{dafs} παραβολή^{nafs}. **v.11** καί^{c} λέγω^{viia3s} αὐτός^{rpdmp} σύ$^{rpd-p}$ δίδωμι^{vixp3s} γινώσκω^{vnaa} ὁ^{dans} μυστήριον^{nans} ὁ^{dgfs} βασιλεία^{ngfs} ὁ^{dgms} θεός^{ngms} ἐκεῖνος^{rddmp} δέ^{c} ὁ^{ddmp} ἔξω^{bo} ἐν^{p} παραβολή^{ndfp} ὁ^{dnnp} πᾶς^{annpn} γίνομαι^{vipn3s}. **v.12** ἵνα^{c} βλέπω^{vppanmp} βλέπω^{vspa3p} καί^{c} μή^{xo} ὁράω^{vsaa3p} καί^{c} ἀκούω^{vppanmp} ἀκούω^{vspa3p} καί^{c} μή^{xo} συνίημι^{vspa3p} μήποτε^{bo} ἐπιστρέφω^{vsaa3p} καί^{c} ἀφίημι^{vsap3s} αὐτός^{rpdmp} ὁ^{dnnp} ἁμάρτημα^{nnnp}. **v.13** καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdmp} οὐ^{xo} οἶδα^{vixa2p} ὁ^{dafs} παραβολή^{nafs} οὗτος^{rdafs} καί^{c} πῶς^{bo} πᾶς^{aafpn} ὁ^{dafp} παραβολή^{nafp} γινώσκω^{vifd2p}. **v.14** ὁ^{dnms} σπείρω^{vppanms} ὁ^{dams} λόγος^{nams} σπείρω^{vipa3s}.

καὶ αἴρει τὸν λόγον τὸν ἐσπαρμένον ἐν ταῖς καρδίαις αὐτῶν.
καὶ οὗτοί εἰσιν ὁμοίως οἱ ἐπὶ τὰ πετρώδη σπειρόμενοι, οἵ, ὅταν 16
ἀκούσωσι τὸν λόγον, εὐθὲως μετὰ χαρᾶς λαμβάνουσιν αὐτόν,
καὶ οὐκ ἔχουσι ῥίζαν ἐν ἑαυτοῖς, ἀλλὰ πρόσκαιροί εἰσιν, εἶτα 17
γενομένης θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθέως σκανδαλί-
ζονται. καὶ οὗτοί εἰσὶν οἱ εἰς τὰς ἀκάνθας σπειρόμενοι, οἱ τὸν 18
λόγον ἀκούοντες, καὶ αἱ μέριμναι τοῦ αἰῶνος τούτου, καὶ ἡ 19
ἀπάτη τοῦ πλούτου, καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι εἰσπορευό-
μεναι συμπνίγουσι τὸν λόγον, καὶ ἄκαρπος γίνεται. καὶ οὗτοί 20
εἰσιν οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρέντες, οἵτινες ἀκούουσι τὸν
λόγον, καὶ παραδέχονται, καὶ καρποφοροῦσιν, ἓν τριάκοντα,
καὶ ἓν ἑξήκοντα, καὶ ἓν ἑκατόν. Καὶ ἔλεγεν αὐτοῖς, Μήτι ὁ 21
λύχνος ἔρχεται ἵνα ὑπὸ τὸν μόδιον τεθῇ ἢ ὑπὸ τὴν κλίνην· οὐχ
ἵνα ἐπὶ τὴν λυχνίαν ἐπιτεθῇ· οὐ γάρ ἐστι τί κρυπτόν, ὃ ἐὰν 22
μὴ φανερωθῇ, οὐδὲ ἐγένετο ἀπόκρυφον, ἀλλ᾽ ἵνα εἰς φανερὸν
ἔλθῃ. εἰ τις ἔχει ὦτα ἀκούειν ἀκουέτω. καὶ ἔλεγεν αὐτοῖς, 23, 24
Βλέπετε τί ἀκούετε. ἐν ᾧ μέτρῳ μετρεῖτε μετρηθήσεται ὑμῖν,
καὶ προστεθήσεται ὑμῖν τοῖς ἀκούουσιν. ὃς γὰρ ἂν ἔχῃ, δο- 25
θήσεται αὐτῷ, καὶ ὃς οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ᾽ αὐτοῦ.
Καὶ ἔλεγεν, Οὕτως ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, ὡς ἐάν ἄνθρω- 26

---

v.15 οὗτος^{rdnmp} δέ^{c} εἰμί^{vipx3p} ὁ^{dnmp} παρά^{p} ὁ^{dafs} ὁδός^{nafs} ὅπου^{bo} σπείρω^{vipp3s} ὁ^{dnms} λόγος^{nnms} καί^{c} ὅταν^{c} ἀκούω^{vsaa3p} εὐθέως^{bo} ἔρχομαι^{vipn3s} ὁ^{dnms} Σατανᾶς^{nnms} καί^{c} αἴρω^{vipa3s} ὁ^{dams} λόγος^{nams} ὁ^{dams} σπείρω^{vpxpams} ἐν^{p} ὁ^{ddfp} καρδία^{ndfp} αὐτός^{rpgmp}. **v.16** καί^{c} οὗτος^{rdnmp} εἰμί^{vipx3p} ὁμοίως^{bo} ὁ^{dnmp} ἐπί^{p} ὁ^{danp} πετρώδης^{aanpn} σπείρω^{vpppnmp} ὅς^{rrnmp} ὅταν^{c} ἀκούω^{vsaa3p} ὁ^{dams} λόγος^{nams} εὐθέως^{bo} μετά^{p} χαρά^{ngfs} λαμβάνω^{vipa3p} αὐτός^{rpams}. **v.17** καί^{c} οὐ^{xo} ἔχω^{vipa3p} ῥίζα^{nafs} ἐν^{p} ἑαυτοῦ^{rxdmp} ἀλλά^{c} πρόσκαιρος^{anmpn} εἰμί^{vipx3p} εἶτα^{bo} γίνομαι^{vpadgfs} θλῖψις^{ngfs} ἤ^{xo} διωγμός^{ngms} διά^{p} ὁ^{dams} λόγος^{nams} εὐθέως^{bo} σκανδαλίζω^{vipp3p}. **v.18** καί^{c} οὗτος^{rdnmp} εἰμί^{vipx3p} ὁ^{dnmp} εἰς^{p} ὁ^{dafp} ἄκανθα^{nafp} σπείρω^{vpppnmp} ὁ^{dnmp} ὁ^{dams} λόγος^{nams} ἀκούω^{vppanmp}. **v.19** καί^{c} ὁ^{dnfp} μέριμνα^{nnfp} ὁ^{dgms} αἰών^{ngms} οὗτος^{rdgms} καί^{c} ὁ^{dnfs} ἀπάτη^{nnfs} ὁ^{dgms} πλοῦτος^{ngms} καί^{c} ὁ^{dnfp} περί^{p} ὁ^{danp} λοιπός^{aanpn} ἐπιθυμία^{nnfp} εἰσπορεύομαι^{vppnnfp} συμπνίγω^{vipa3p} ὁ^{dams} λόγος^{nams} καί^{c} ἄκαρπος^{anmsn} γίνομαι^{vipn3s}. **v.20** καί^{c} οὗτος^{rdnmp} εἰμί^{vipx3p} ὁ^{dnmp} ἐπί^{p} ὁ^{dafs} γῆ^{nafs} ὁ^{dafs} καλός^{aafsn} σπείρω^{vpapnmp} ὅστις^{rrnmp} ἀκούω^{vipa3p} ὁ^{dams} λόγος^{nams} καί^{c} παραδέχομαι^{vipn3p} καί^{c} καρποφορέω^{vipa3p} εἷς^{p} τριάκοντα^{tn} καί^{c} εἷς^{p} ἑξήκοντα^{tn} καί^{c} εἷς^{p} ἑκατόν^{tn}. **v.21** καί^{c} λέγω^{viia3s} αὐτός^{rpdmp} μήτι^{xo} ὁ^{dnms} λύχνος^{nnms} ἔρχομαι^{vipn3s} ἵνα^{c} ὑπό^{p} ὁ^{dams} μόδιος^{nams} τίθημι^{vsap3s} ἤ^{xo} ὑπό^{p} ὁ^{dafs} κλίνη^{nafs} οὐ^{xo} ἵνα^{c} ἐπί^{p} ὁ^{dafs} λυχνία^{nafs} ἐπιτίθημι^{vsap3s}. **v.22** οὐ^{xo} γάρ^{c} εἰμί^{vipx3s} τίς^{rinns} κρυπτός^{annsn} ὅς^{rrnns} ἐάν^{qo} μή^{xo} φανερόω^{vsap3s} οὐδέ^{bo} γίνομαι^{viad3s} ἀπόκρυφος^{annsn} ἀλλά^{c} ἵνα^{c} εἰς^{p} φανερός^{aamsn} ἔρχομαι^{vsaa3s}. **v.23** εἰ^{qo} τι-σρινμσ ἔχω^{vipa3s} οὖς^{nanp} ἀκούω^{vnpa} ἀκούω^{vdpa3s}. **v.24** καί^{c} λέγω^{viia3s} αὐτός^{rpdmp} βλέπω^{vdpa2p} τίς^{rqans} ἀκούω^{vipa2p} ἐν^{p} ὅς^{rrdns} μέτρον^{ndns} μετρέω^{vipa2p} μετρέω^{vifp3s} σύ$^{rpd-p}$ καί^{c} προστίθημι^{vifp3s} σύ$^{rpd-p}$ ὁ^{ddmp} ἀκούω^{vppadmp}. **v.25** ὅς^{rrnms} γάρ^{c} ἄν^{xo} ἔχω^{vspa3s} δίδωμι^{vifp3s} αὐτός^{rpdms} καί^{c} ὅς^{rrnms} οὐ^{xo} ἔχω^{vipa3s} καί^{c} ὅς^{rrans} ἔχω^{vipa3s} αἴρω^{vifp3s} ἀπό^{p} αὐτός^{rpgms}.

27 πος βάλῃ τὸν σπόρον ἐπὶ τῆς γῆς, καὶ καθεύδῃ καὶ ἐγείρηται
νύκτα καὶ ἡμέραν, καὶ ὁ σπόρος βλαστάνῃ καὶ μηκύνηται ὡς
28 οὐκ οἶδεν αὐτός. αὐτομάτη γὰρ ἡ γῆ καρποφορεῖ, πρῶτον
29 χόρτον, εἶτα στάχυν, εἶτα πλήρη σῖτον ἐν τῷ στάχυϊ. ὅταν δὲ
παραδῷ ὁ καρπός, εὐθέως ἀποστέλλει τὸ δρέπανον, ὅτι παρέ-
30 στηκεν ὁ θερισμός. Καὶ ἔλεγε, Τίνι ὁμοιώσωμεν τὴν βασιλείαν
31 τοῦ Θεοῦ· ἢ ἐν ποίᾳ παραβολῇ παραβάλωμεν αὐτήν· ὡς κόκ-
κῳ σινάπεως, ὃς, ὅταν σπαρῇ ἐπὶ τῆς γῆς, μικρότερος πάντων
32 τῶν σπερμάτων ἐστὶ τῶν ἐπὶ τῆς γῆς, καὶ ὅταν σπαρῇ, ἀναβαί-
νει, καὶ γίνεται πάντων τῶν λαχάνων μείζων, καὶ ποιεῖ κλάδους
μεγάλους, ὥστε δύνασθαι ὑπὸ τὴν σκιὰν αὐτοῦ τὰ πετεινὰ τοῦ
33 οὐρανοῦ κατασκηνοῦν. Καὶ τοιαύταις παραβολαῖς πολλαῖς ἐ-
34 λάλει αὐτοῖς τὸν λόγον, καθὼς ἠδύναντο ἀκούειν, χωρὶς δὲ
παραβολῆς οὐκ ἐλάλει αὐτοῖς, κατ᾽ ἰδίαν δὲ τοῖς μαθηταῖς αὐ-
35 τοῦ ἐπέλυε πάντα. Καὶ λέγει αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὀψίας
36 γενομένης, Διέλθωμεν εἰς τὸ πέραν. καὶ ἀφέντες τὸν ὄχλον,
παραλαμβάνουσιν αὐτὸν ὡς ἦν ἐν τῷ πλοίῳ. καὶ ἄλλα δὲ πλοι-
37 άρια ἦν μετ᾽ αὐτοῦ. καὶ γίνεται λαῖλαψ ἀνέμου μεγάλη, τὰ
δὲ κύματα ἐπέβαλλεν εἰς τὸ πλοῖον, ὥστε αὐτὸ ἤδη γεμίζεσθαι.
38 καὶ ἦν αὐτὸς ἐπὶ τῇ πρύμνῃ ἐπὶ τὸ προσκεφάλαιον καθεύδων,
καὶ διεγείρουσιν αὐτόν, καὶ λέγουσιν αὐτῷ, Διδάσκαλε, οὐ μέ-

---

v.26 καί^{c} λέγω^{viia3s} οὕτω^{bo} εἰμί^{vipx3s} ὁ^{dnfs} βασιλεία^{nnfs} ὁ^{dgms} θεός^{ngms} ὡς^{bo} ἐάν^{qo} ἄνθρωπος^{nnms} βάλλω^{vsaa3s} ὁ^{dams} σπόρος^{nams} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs}. **v.27** καί^{c} καθεύδω^{vspa3s} καί^{c} ἐγείρω^{vspp3s} νύξ^{nafs} καί^{c} ἡμέρα^{nafs} καί^{c} ὁ^{dnms} σπόρος^{nnms} βλαστάνω^{vspa3s} καί^{c} μηκύνω^{vspp3s} ὡς^{bo} οὐ^{xo} οἶδα^{vixa3s} αὐτός^{rpnms}. **v.28** αὐτόματος^{anfsn} γάρ^{c} ὁ^{dnfs} γῆ^{nnfs} καρποφορέω^{vipa3s} πρῶτος^{bo} χόρτος^{nams} εἶτα^{bo} στάχυς^{nams} εἶτα^{bo} πλήρης^{aamsn} σῖτος^{nams} ἐν^{p} ὁ^{ddms} στάχυς^{ndms}. **v.29** ὅταν^{c} δέ^{c} παραδίδωμι^{vsaa3s} ὁ^{dnms} καρπός^{nnms} εὐθέως^{bo} ἀποστέλλω^{vipa3s} ὁ^{dans} δρέπανον^{nans} ὅτι^{c} παρίστημι^{vixa3s} ὁ^{dnms} θερισμός^{nnms}. **v.30** καί^{c} λέγω^{viia3s} τίς^{rqdms} ὁμοιόω^{vsaa1p} ὁ^{dafs} βασιλεία^{nafs} ὁ^{dgms} θεός^{ngms} ἤ^{xo} ἐν^{p} ποῖος^{rqdfs} παραβολή^{ndfs} παραβάλλω^{vsaa1p} αὐτός^{rpafs}. **v.31** ὡς^{bo} κόκκος^{ndms} σίναπι^{ngns} ὅς^{rrnms} ὅταν^{c} σπείρω^{vsap3s} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs} μικρός^{anmsc} πᾶς^{agnpn} ὁ^{dgnp} σπέρμα^{ngnp} εἰμί^{vipx3s} ὁ^{dgnp} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs}. **v.32** καί^{c} ὅταν^{c} σπείρω^{vsap3s} ἀναβαίνω^{vipa3s} καί^{c} γίνομαι^{vipn3s} πᾶς^{agnpn} ὁ^{dgnp} λάχανον^{ngnp} μέγας^{anmsc} καί^{c} ποιέω^{vipa3s} κλάδος^{namp} μέγας^{aampn} ὥστε^{c} δύναμαι^{vnpn} ὑπό^{p} ὁ^{dafs} σκιά^{nafs} αὐτός^{rpgms} ὁ^{danp} πετεινός^{nanp} ὁ^{dgms} οὐρανός^{ngms} κατασκηνόω^{vnpa}. **v.33** καί^{c} τοιοῦτος^{rddfp} παραβολή^{ndfp} πολύς^{adfpn} λαλέω^{viia3s} αὐτός^{rpdmp} ὁ^{dams} λόγος^{nams} καθώς^{bo} δύναμαι^{viin3p} ἀκούω^{vnpa}. **v.34** χωρίς^{bo} δέ^{c} παραβολή^{ngfs} οὐ^{xo} λαλέω^{viia3s} αὐτός^{rpdmp} κατά^{p} ἴδιος^{aafsn} δέ^{c} ὁ^{ddmp} μαθητής^{ndmp} αὐτός^{rpgms} ἐπιλύω^{viia3s} πᾶς^{aanpn}. **v.35** καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdmp} ἐν^{p} ἐκεῖνος^{rddfs} ὁ^{ddfs} ἡμέρα^{ndfs} ὄψιος^{agfsn} γίνομαι^{vpadgfs} διέρχομαι^{vsaa1p} εἰς^{p} ὁ^{dans} πέραν^{bo}. **v.36** καί^{c} ἀφίημι^{vpaanmp} ὁ^{dams} ὄχλος^{nams} παραλαμβάνω^{vipa3p} αὐτός^{rpams} ὡς^{bo} εἰμί^{viix3s} ἐν^{p} ὁ^{ddns} πλοῖον^{ndns} καί^{c} ἄλλος^{annpn} δέ^{c} πλοιάριον^{nnnp} εἰμί^{viix3s} μετά^{p} αὐτός^{rpgms}. **v.37** καί^{c} γίνομαι^{vipn3s} λαῖλαψ^{nnfs} ἄνεμος^{ngms} μέγας^{anfsn} ὁ^{dnnp} δέ^{c} κῦμα^{nnnp} ἐπιβάλλω^{viia3s} εἰς^{p} ὁ^{dans} πλοῖον^{nans} ὥστε^{c} αὐτός^{rpnns} ἤδη^{bo} γεμίζω^{vnpp}.

λει σοι ὅτι ἀπολλύμεθα· καὶ διεγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ, 39
καὶ εἶπε τῇ θαλάσσῃ, Σιώπα, πεφίμωσο. καὶ ἐκόπασεν ὁ ἄνε-
μος, καὶ ἐγένετο γαλήνη μεγάλη. καὶ εἶπεν αὐτοῖς, Τί δειλοί 40
ἐστε· οὕτω· πῶς οὐκ ἔχετε πίστιν· καὶ ἐφοβήθησαν φόβον μέ- 41
γαν, καὶ ἔλεγον πρὸς ἀλλήλους, Τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ ὁ
ἄνεμος καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ·

Καὶ ἦλθον εἰς τὸ πέραν τῆς θαλάσσης, εἰς τὴν χώραν τῶν **5**
Γαδαρηνῶν. καὶ ἐξελθόντι αὐτῷ ἐκ τοῦ πλοίου, εὐθέως ἀπήν- 2
τησεν αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ,
ὃς τὴν κατοίκησιν εἶχεν ἐν τοῖς μνημείοις, καὶ οὐδὲ ἁλύσεσιν 3
οὐδεὶς ἠδύνατο αὐτὸν δῆσαι, διὰ τὸ αὐτὸν πολλάκις πέδαις 4
καὶ ἁλύσεσι δεδέσθαι, καὶ διεσπᾶσθαι ὑπ᾽ αὐτοῦ τὰς ἁλύσεις,
καὶ τὰς πέδας συντετρῖφθαι, καὶ οὐδεὶς αὐτὸν ἴσχυε δαμάσαι,
καὶ διὰ παντός, νυκτὸς καὶ ἡμέρας, ἐν τοῖς ὄρεσι καὶ ἐν τοῖς 5
μνήμασιν ἦν κράζων καὶ κατακόπτων ἑαυτὸν λίθοις. ἰδὼν δὲ 6
τὸν Ἰησοῦν ἀπὸ μακρόθεν, ἔδραμε καὶ προσεκύνησεν αὐτῷ,
καὶ κράξας φωνῇ μεγάλῃ εἶπε, Τί ἐμοὶ καὶ σοί, Ἰησοῦ, υἱὲ 7
τοῦ Θεοῦ τοῦ ὑψίστου· ὁρκίζω σε τὸν Θεόν. μή με βασανίσῃς.
ἔλεγε γὰρ αὐτῷ, Ἔξελθε, τὸ πνεῦμα τὸ ἀκάθαρτον, ἐκ τοῦ ἀν- 8
θρώπου. καὶ ἐπηρώτα αὐτόν, Τί σοι ὄνομα· καὶ ἀπεκρίθη, 9

---

v.38 καί^{c} εἰμί^{viix3s} αὐτός^{rpnms} ἐπί^{p} ὁ^{ddfs} πρύμνα^{ndfs} ἐπί^{p} ὁ^{dans} προσκεφάλαιον^{nans} καθεύδω^{vppanms} καί^{c} διεγείρω^{vipa3p} αὐτός^{rpams} καί^{c} λέγω^{vipa3p} αὐτός^{rpdms} διδάσκαλος^{nvms} οὐ^{xo} μέλει^{vipq3s} σύ$^{rpd-s}$ ὅτι^{c} ἀπόλλυμι^{vipm1p}. **v.39** καί^{c} διεγείρω^{vpapnms} ἐπιτιμάω^{viaa3s} ὁ^{ddms} ἄνεμος^{ndms} καί^{c} λέγω^{viaa3s} ὁ^{ddfs} θάλασσα^{ndfs} σιωπάω^{vdpa2s} φιμόω^{vdxp2s} καί^{c} κοπάζω^{viaa3s} ὁ^{dnms} ἄνεμος^{nnms} καί^{c} γίνομαι^{viad3s} γαλήνη^{nnfs} μέγας^{anfsn}. **v.40** καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdmp} τίς^{rqnns} δειλός^{anmpn} εἰμί^{vipx2p} οὕτω^{bo} πῶς^{bo} οὐ^{xo} ἔχω^{vipa2p} πίστις^{nafs}. **v.41** καί^{c} φοβέομαι^{viao3p} φόβος^{nams} μέγας^{aamsn} καί^{c} λέγω^{viia3p} πρός^{p} ἀλλήλων^{reamp} τίς^{rqnms} ἄρα^{xo} οὗτος^{rdnms} εἰμί^{vipx3s} ὅτι^{c} καί^{c} ὁ^{dnms} ἄνεμος^{nnms} καί^{c} ὁ^{dnfs} θάλασσα^{nnfs} ὑπακούω^{vipa3p} αὐτός^{rpdms}. **5. v.1** καί^{c} ἔρχομαι^{viaa3p} εἰς^{p} ὁ^{dans} πέραν^{bo} ὁ^{dgfs} θάλασσα^{ngfs} εἰς^{p} ὁ^{dafs} χώρα^{nafs} ὁ^{dgmp} Γαδαρηνός^{agmpn}. **v.2** καί^{c} ἐξέρχομαι^{vpaadms} αὐτός^{rpdms} ἐκ^{p} ὁ^{dgns} πλοῖον^{ngns} εὐθέως^{bo} ἀπαντάω^{viaa3s} αὐτός^{rpdms} ἐκ^{p} ὁ^{dgnp} μνημεῖον^{ngnp} ἄνθρωπος^{nnms} ἐν^{p} πνεῦμα^{ndns} ἀκάθαρτος^{adnsn}. **v.3** ὅς^{rrnms} ὁ^{dafs} κατοίκησις^{nafs} ἔχω^{viia3s} ἐν^{p} ὁ^{ddnp} μνημεῖον^{ndnp} καί^{c} οὔτε^{c} ἅλυσις^{ndfp} οὐδείς^{anfsn} δύναμαι^{viin3s} αὐτός^{rpams} δέω^{vnaa}. **v.4** διά^{p} ὁ^{dans} αὐτός^{rpams} πολλάκις^{bo} πέδη^{ndfp} καί^{c} ἅλυσις^{ndfp} δέω^{vnxp} καί^{c} διασπάω^{vnxp} ὑπό^{p} αὐτός^{rpgms} ὁ^{dafp} ἅλυσις^{nafp} καί^{c} ὁ^{dafp} πέδη^{nafp} συντρίβω^{vnxp} καί^{c} οὐδείς^{anfsn} αὐτός^{rpams} ἰσχύω^{viia3s} δαμάζω^{vnaa}. **v.5** καί^{c} διά^{p} πᾶς^{bo} νύξ^{ngfs} καί^{c} ἡμέρα^{ngfs} ἐν^{p} ὁ^{ddnp} ὄρος^{ndnp} καί^{c} ἐν^{p} ὁ^{ddnp} μνῆμα^{ndnp} εἰμί^{viix3s} κράζω^{vppanms} καί^{c} κατακόπτω^{vppanms} ἑαυτοῦ^{rxams} λίθος^{ndmp}. **v.6** ὁράω^{vpaanms} δέ^{c} ὁ^{dams} Ἰησοῦς^{nams} ἀπό^{p} μακρόθεν^{bo} τρέχω^{viaa3s} καί^{c} προσκυνέω^{viaa3s} αὐτός^{rpdms}. **v.7** καί^{c} κράζω^{vpaanms} φωνή^{ndfs} μέγας^{adfsn} λέγω^{viaa3s} τίς^{rqnns} ἐγώ$^{rpd-s}$ καί^{c} σύ$^{rpd-s}$ Ἰησοῦς^{nvms} υἱός^{nvms} ὁ^{dgms} θεός^{ngms} ὁ^{dgms} ὕψιστος^{agmsn} ὁρκίζω^{vipa1s} σύ$^{rpa-s}$ ὁ^{dams} θεός^{nams} μή^{xo} ἐγώ$^{rpa-s}$ βασανίζω^{vsaa2s}. **v.8** λέγω^{viia3s} γάρ^{c} αὐτός^{rpdms} ἐξέρχομαι^{vdaa2s} ὁ^{dnns} πνεῦμα^{nnns} ὁ^{dnns} ἀκάθαρτος^{annsn} ἐκ^{p} ὁ^{dgms} ἄνθρωπος^{ngms}.

10 λέγων, Λεγεὼν ὄνομά μοι, ὅτι πολλοί ἐσμεν. καὶ παρεκάλει
11 αὐτὸν πολλὰ, ἵνα μὴ αὐτοὺς ἀποστείλῃ ἔξω τῆς χώρας. ἦν δὲ
12 ἐκεῖ πρὸς τὰ ὄρη ἀγέλη χοίρων μεγάλη βοσκομένη, καὶ πα-
ρεκάλεσαν αὐτὸν πάντες οἱ δαίμονες, λέγοντες, Πέμψον ἡμᾶς
13 εἰς τοὺς χοίρους, ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν. καὶ ἐπέτρεψεν
αὐτοῖς εὐθέως ὁ Ἰησοῦς. καὶ ἐξελθόντα τὰ πνεύματα τὰ ἀκά-
θαρτα εἰσῆλθον εἰς τοὺς χοίρους, καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ
τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν, ἦσαν δὲ ὡς δισχίλιοι, καὶ ἐπνί-
14 γοντο ἐν τῇ θαλάσσῃ. οἱ δὲ βόσκοντες τοὺς χοίρους ἔφυγον,
καὶ ἀνήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς. καὶ ἐξῆλ-
15 θον ἰδεῖν τί ἐστι τὸ γεγονός, καὶ ἔρχονται πρὸς τὸν Ἰησοῦν,
καὶ θεωροῦσι τὸν δαιμονιζόμενον καθήμενον καὶ ἱματισμένον
καὶ σωφρονοῦντα, τὸν ἐσχηκότα τὸν λεγεῶνα, καὶ ἐφοβήθησαν.
16 καὶ διηγήσαντο αὐτοῖς οἱ ἰδόντες πῶς ἐγένετο τῷ δαιμονιζομέ-
17 νῳ, καὶ περὶ τῶν χοίρων. καὶ ἤρξαντο παρακαλεῖν αὐτὸν ἀπελ-
18 θεῖν ἀπὸ τῶν ὁρίων αὐτῶν. καὶ ἐμβάντος αὐτοῦ εἰς τὸ πλοῖον,
19 παρεκάλει αὐτὸν ὁ δαιμονισθείς, ἵνα ᾖ μετ᾽ αὐτοῦ. ὁ δὲ Ἰη-
σοῦς οὐκ ἀφῆκεν αὐτόν, ἀλλὰ λέγει αὐτῷ, Ὕπαγε εἰς τὸν οἶκόν
σου πρὸς τοὺς σούς, καὶ ἀνάγγειλον αὐτοῖς ὅσα σοι ὁ Κύριός
20 εποίησε, καὶ ἠλέησέ σε. καὶ ἀπῆλθε καὶ ἤρξατο κηρύσσειν ἐν
τῇ Δεκαπόλει ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ πάντες ἐθαύ-

---

v.9 καίc ἐπερωτάωviia3s αὐτόςrpams τίςrqnns σύrpd-s ὄνομαnnns καίc ἀποκρίνομαιviad3s λέγωvppanms λεγιώνnnms ὄνομαnnns ἐγώrpd-s ὅτιc πολύςanmpn εἰμίvipx1p. **v.10** καίc παρακαλέωviia3s αὐτόςrpams πολύςaanpn ἵναc μήxo αὐτόςrpamp ἀποστέλλωvsaa3s ἔξωbo ὁdgfs χώραngfs. **v.11** εἰμίviix3s δέc ἐκεῖbo πρόςp ὁdanp ὄροςnanp ἀγέληnnfs χοῖροςngmp μέγαςanfsn βόσκωvpppnfs. **v.12** καίc παρακαλέωviaa3p αὐτόςrpams πᾶςanmpn ὁdnmp δαίμωνnnmp λέγωvppanmp πέμπωvdaa2s ἐγώrpa-p εἰςp ὁdamp χοῖροςnamp ἵναc εἰςp αὐτόςrpamp εἰσέρχομαιvsaa1p. **v.13** καίc ἐπιτρέπωviaa3s αὐτόςrpdmp εὐθέωςbo ὁdnms Ἰησοῦςnnms καίc ἐξέρχομαιvpaannp ὁdnnp πνεῦμαnnnp ὁdnnp ἀκάθαρτοςannpn εἰσέρχομαιviaa3p εἰςp ὁdamp χοῖροςnamp καίc ὁρμάωviaa3s ὁdnfs ἀγέληnnfs κατάp ὁdgms κρημνόςngms εἰςp ὁdafs θάλασσαnafs εἰμίviix3p δέc ὡςbo δισχίλιοιnnmp καίc πνίγωviip3p ἐνp ὁddfs θάλασσαndfs. **v.14** ὁdnmp δέc βόσκωvppanmp ὁdamp χοῖροςnamp φεύγωviaa3p καίc ἀναγγέλλωviaa3p εἰςp ὁdafs πόλιςnafs καίc εἰςp ὁdamp ἀγρόςnamp καίc ἐξέρχομαιviaa3p ὁράωvnaa τίςrqnns εἰμίvipx3s ὁdnns γίνομαιvpxanns. **v.15** καίc ἔρχομαιvipn3p πρόςp ὁdams Ἰησοῦςnams καίc θεωρέωvipa3p ὁdams δαιμονίζομαιvppnams κάθημαιvppnams καίc ἱματίζωvpxpams καίc σωφρονέωvppaams ὁdams ἔχωvpxaams ὁdams λεγιώνnams καίc φοβέομαιviao3p. **v.16** καίc διηγέομαιviad3p αὐτόςrpdmp ὁdnmp ὁράωvpaanmp πῶςbo γίνομαιviad3s ὁddms δαιμονίζομαιvppndms καίc περίp ὁdgmp χοῖροςngmp. **v.17** καίc ἄρχωviad3p παρακαλέωvnpa αὐτόςrpams ἀπέρχομαιvnaa ἀπόp ὁdgnp ὅριονngnp αὐτόςrpgmp. **v.18** καίc ἐμβαίνωvpaagms αὐτόςrpgms εἰςp ὁdans πλοῖονnans παρακαλέωviia3s αὐτόςrpams ὁdnms δαιμονίζομαιvpaonms ἵναc εἰμίvspx3s μετάp αὐτόςrpgms. **v.19** ὁdnms δέc Ἰησοῦςnnms οὐxo ἀφίημιviaa3s αὐτόςrpams ἀλλάc λέγωvipa3s αὐτόςrpdms ὑπάγωvdpa2s εἰςp ὁdams οἶκοςnams σύrpg-s πρόςp ὁdamp σόςrsamp καίc ἀναγγέλλωvdaa2s αὐτόςrpdmp ὅσοςrcanp σύrpd-s ὁdnms κύριοςnnms ποιέωviaa3s καίc ἐλεέωviaa3s σύrpa-s.

μαζον. Καὶ διαπεράσαντος τοῦ Ἰησοῦ ἐν τῷ πλοίῳ πάλιν εἰς 21
τὸ πέραν, συνήχθη ὄχλος πολὺς ἐπ᾽ αὐτόν, καὶ ἦν παρὰ τὴν
θάλασσαν. καὶ ἰδού, ἔρχεται εἷς τῶν ἀρχισυναγώγων, ὀνόματι 22
Ἰάειρος, καὶ ἰδὼν αὐτὸν, πίπτει πρὸς τοὺς πόδας αὐτοῦ, καὶ 23
παρεκάλει αὐτὸν πολλά, λέγων ὅτι Τὸ θυγάτριόν μου ἐσχάτως
ἔχει, ἵνα ἐλθὼν ἐπιθῇς αὐτῇ τὰς χεῖρας, ὅπως σωθῇ καὶ ζήσεται.
καὶ ἀπῆλθε μετ᾽ αὐτοῦ, καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς, καὶ 24
συνέθλιβον αὐτόν. Καὶ γυνὴ τις οὖσα ἐν ῥύσει αἵματος ἔτη 25
δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν, καὶ δαπα- 26
νήσασα τὰ παρ᾽ ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ
μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλ- 27
θοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν, ἥψατο τοῦ ἱματίου αὐτοῦ, ἔλεγε 28
γὰρ ὅτι Κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι, σωθήσομαι. καὶ εὐ- 29
θὲως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι
ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς 30
ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ
ὄχλῳ, ἔλεγε, Τίς μου ἥψατο τῶν ἱματίων· καὶ ἔλεγον αὐτῷ οἱ 31
μαθηταὶ αὐτοῦ, Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις,
Τίς μου ἥψατο· καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. 32
ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ᾽ αὐτῇ, 33

---

v.20 καί^{c} ἀπέρχομαι^{viaa3s} καί^{c} ἄρχω^{viad3s} κηρύσσω^{vnpa} ἐν^{p} ὁ^{ddfs} Δεκάπολις^{ndfs} ὅσος^{rcanp} ποιέω^{viaa3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} καί^{c} πᾶς^{anmpn} θαυμάζω^{viia3p}. **v.21** καί^{c} διαπεράω^{vpaagms} ὁ^{dgms} Ἰησοῦς^{ngms} ἐν^{p} ὁ^{ddns} πλοῖον^{ndns} πάλιν^{bo} εἰς^{p} ὁ^{dans} πέραν^{bo} συνάγω^{viap3s} ὄχλος^{nnms} πολύς^{anmsn} ἐπί^{p} αὐτός^{rpams} καί^{c} εἰμί^{viix3s} παρά^{p} ὁ^{dafs} θάλασσα^{nafs}. **v.22** καί^{c} ἰδού^{vdaa2s} ἔρχομαι^{vipn3s} εἷς^{nnms} ὁ^{dgmp} ἀρχισυνάγωγος^{ngmp} ὄνομα^{ndns} Ἰάϊρος^{nnms} καί^{c} ὁράω^{vpaanms} αὐτός^{rpams} πίπτω^{vipa3s} πρός^{p} ὁ^{damp} πούς^{namp} αὐτός^{rpgms}. **v.23** καί^{c} παρακαλέω^{viia3s} αὐτός^{rpams} πολύς^{aanpn} λέγω^{vppanms} ὅτι^{c} ὁ^{dnns} θυγάτριον^{nnns} ἐγώ$^{rpg-s}$ ἐσχάτως^{bo} ἔχω^{vipa3s} ἵνα^{c} ἔρχομαι^{vpaanms} ἐπιτίθημι^{vsaa2s} αὐτός^{rpdfs} ὁ^{dafp} χείρ^{nafp} ὅπως^{bo} σῴζω^{vsap3s} καί^{c} ζάω^{vifd3s}. **v.24** καί^{c} ἀπέρχομαι^{viaa3s} μετά^{p} αὐτός^{rpgms} καί^{c} ἀκολουθέω^{viia3s} αὐτός^{rpdms} ὄχλος^{nnms} πολύς^{anmsn} καί^{c} συνθλίβω^{viia3p} αὐτός^{rpams}. **v.25** καί^{c} γυνή^{nnfs} τίς^{rinfs} εἰμί^{vppxnfs} ἐν^{p} ῥύσις^{ndfs} αἷμα^{ngns} ἔτος^{nnnp} δώδεκα^{tn}. **v.26** καί^{c} πολύς^{aanpn} πάσχω^{vpaanfs} ὑπό^{p} πολύς^{agmpn} ἰατρός^{ngmp} καί^{c} δαπανάω^{vpaanfs} ὁ^{danp} παρά^{p} ἑαυτοῦ^{rxgfs} πᾶς^{aanpn} καί^{c} μηδείς^{aansn} ὠφελέω^{vpapnfs} ἀλλά^{c} μᾶλλον^{bo} εἰς^{p} ὁ^{dans} χείρων^{aansn} ἔρχομαι^{vpaanfs}. **v.27** ἀκούω^{vpaanfs} περί^{p} ὁ^{dgms} Ἰησοῦς^{ngms} ἔρχομαι^{vpaanfs} ἐν^{p} ὁ^{ddms} ὄχλος^{ndms} ὄπισθεν^{bo} ἅπτω^{viad3s} ὁ^{dgns} ἱμάτιον^{ngns} αὐτός^{rpgms}. **v.28** λέγω^{viia3s} γάρ^{c} ὅτι^{c} κἄν^{qo} ὁ^{dgnp} ἱμάτιον^{ngnp} αὐτός^{rpgms} ἅπτω^{vsam1s} σῴζω^{vifp1s}. **v.29** καί^{c} εὐθέως^{bo} ξηραίνω^{viap3s} ὁ^{dnfs} πηγή^{nnfs} ὁ^{dgns} αἷμα^{ngns} αὐτός^{rpgfs} καί^{c} γινώσκω^{viaa3s} ὁ^{ddns} σῶμα^{ndns} ὅτι^{c} ἰάομαι^{vixp3s} ἀπό^{p} ὁ^{dgfs} μάστιξ^{ngfs}. **v.30** καί^{c} εὐθέως^{bo} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἐπιγινώσκω^{vpaanms} ἐν^{p} ἑαυτοῦ^{rxdms} ὁ^{dafs} ἐκ^{p} αὐτός^{rpgms} δύναμις^{nafs} ἐξέρχομαι^{vpaaafs} ἐπιστρέφω^{vpapnms} ἐν^{p} ὁ^{ddms} ὄχλος^{ndms} λέγω^{viia3s} τίς^{rqnms} ἐγώ$^{rpg-s}$ ἅπτω^{viad3s} ὁ^{dgnp} ἱμάτιον^{ngnp}. **v.31** καί^{c} λέγω^{viia3p} αὐτός^{rpdms} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} βλέπω^{vipa2s} ὁ^{dams} ὄχλος^{nams} συνθλίβω^{vppaams} σύ$^{rpa-s}$ καί^{c} λέγω^{vipa2s} τίς^{rqnms} ἐγώ$^{rpg-s}$ ἅπτω^{viad3s}. **v.32** καί^{c} περιβλέπω^{viim3s} ὁράω^{vnaa} ὁ^{dafs} οὗτος^{rdans} ποιέω^{vpaaafs}.

ἦλθε καὶ προσέπεσεν αὐτῷ, καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλή-
34 θειαν. ὁ δὲ εἶπεν αὐτῇ, θύγατερ, ἡ πίστις σου σέσωκέ σε,
35 ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου. Ἔτι
αὐτοῦ λαλοῦντος, ἔρχονται ἀπὸ τοῦ ἀρχισυναγώγου, λέγοντες
ὅτι Ἡ θυγάτηρ σου ἀπέθανε, τί ἔτι σκύλλεις τὸν διδάσκαλον·
36 ὁ δὲ Ἰησοῦς εὐθέως ἀκούσας τὸν λόγον λαλούμενον λέγει τῷ
37 ἀρχισυναγώγῳ, Μὴ φοβοῦ, μόνον πίστευε. καὶ οὐκ ἀφῆκεν
οὐδένα αὐτῷ συνακολουθῆσαι, εἰ μὴ Πέτρον καὶ Ἰάκωβον καὶ
38 Ἰωάννην τὸν ἀδελφὸν Ἰακώβου. καὶ ἔρχεται εἰς τὸν οἶκον τοῦ
ἀρχισυναγώγου, καὶ θεωρεῖ θόρυβον, καὶ κλαίοντας καὶ ἀλα-
39 λάζοντας πολλά. καὶ εἰσελθὼν λέγει αὐτοῖς, Τί θορυβεῖσθε
40 καὶ κλαίετε· τὸ παιδίον οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει. καὶ
κατεγέλων αὐτοῦ. ὁ δὲ, ἐκβαλὼν ἅπαντας, παραλαμβάνει τὸν
πατέρα τοῦ παιδίου καὶ τὴν μητέρα καὶ τοὺς μετ᾽ αὐτοῦ, καὶ
41 εἰσπορεύεται ὅπου ἦν τὸ παιδίον ἀνακείμενον. καὶ κρατήσας
τῆς χειρὸς τοῦ παιδίου, λέγει αὐτῇ, Ταλιθα, κοῦμι, ὅ ἐστι με-
42 θερμηνευόμενον, Τὸ κοράσιον, σοὶ λέγω ἔγειραι. καὶ εὐθέως
ἀνέστη τὸ κοράσιον, καὶ περιεπάτει, ἦν γὰρ ἐτῶν δώδεκα, καὶ
43 ἐξέστησαν ἐκστάσει μεγάλῃ. καὶ διεστείλατο αὐτοῖς πολλὰ ἵνα
μηδεὶς γνῷ τοῦτο, καὶ εἶπε δοθῆναι αὐτῇ φαγεῖν.

---

v.33 ὁ^{dnfs} δέ^{c} γυνή^{nnfs} φοβέομαι^{vpaonfs} καί^{c} τρέμω^{vppanfs} οἶδα^{vpxanfs} ὅς^{rrnns} γίνομαι^{vixa3s} ἐπί^{p} αὐτός^{rpdfs} ἔρχομαι^{viaa3s} καί^{c} προσπίπτω^{viaa3s} αὐτός^{rpdms} καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} πᾶς^{aafsn} ὁ^{dafs} ἀλήθεια^{nafs}. **v.34** ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} αὐτός^{rpdfs} θυγάτηρ^{nvfs} ὁ^{dnfs} πίστις^{nnfs} σύ$^{rpg-s}$ σῴζω^{vixa3s} σύ$^{rpa-s}$ ὑπάγω^{vdpa2s} εἰς^{p} εἰρήνη^{nafs} καί^{c} εἰμί^{vdpx2s} ὑγιής^{anfsn} ἀπό^{p} ὁ^{dgfs} μάστιξ^{ngfs} σύ$^{rpg-s}$. **v.35** ἔτι^{bo} αὐτός^{rpgms} λαλέω^{vppagms} ἔρχομαι^{vipn3p} ἀπό^{p} ὁ^{dgms} ἀρχισυνάγωγος^{ngms} λέγω^{vppanmp} ὅτι^{c} ὁ^{dnfs} θυγάτηρ^{nnfs} σύ$^{rpg-s}$ ἀποθνῄσκω^{viaa3s} τίς^{rqans} ἔτι^{bo} σκύλλω^{vipa2s} ὁ^{dams} διδάσκαλος^{nams}. **v.36** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} εὐθέως^{bo} ἀκούω^{vpaanms} ὁ^{dams} λόγος^{nams} λαλέω^{vpppams} λέγω^{vipa3s} ὁ^{ddms} ἀρχισυνάγωγος^{ndms} μή^{xo} φοβέομαι^{vdpm2s} μόνος^{bo} πιστεύω^{vdpa2s}. **v.37** καί^{c} οὐ^{xo} ἀφίημι^{viaa3s} οὐδείς^{aamsn} αὐτός^{rpdms} συνακολουθέω^{vnaa} εἰ^{qo} μή^{xo} Πέτρος^{nams} καί^{c} Ἰάκωβος^{nams} καί^{c} Ἰωάννης^{nams} ὁ^{dams} ἀδελφός^{nams} Ἰάκωβος^{ngms}. **v.38** καί^{c} ἔρχομαι^{vipn3s} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} ὁ^{dgms} ἀρχισυνάγωγος^{ngms} καί^{c} θεωρέω^{vipa3s} θόρυβος^{nams} καί^{c} κλαίω^{vppaamp} καί^{c} ἀλαλάζω^{vppaamp} πολύς^{aanpn}. **v.39** καί^{c} εἰσέρχομαι^{vpaanms} λέγω^{vipa3s} αὐτός^{rpdmp} τίς^{rqans} θορυβέω^{vipp2p} καί^{c} κλαίω^{vipa2p} ὁ^{dnns} παιδίον^{nnns} οὐ^{xo} ἀποθνῄσκω^{viaa3s} ἀλλά^{c} καθεύδω^{vipa3s}. **v.40** καί^{c} καταγελάω^{viia3p} αὐτός^{rpgms} ὁ^{dnms} δέ^{c} ἐκβάλλω^{vpaanms} ἅπας^{aampn} παραλαμβάνω^{vipa3s} ὁ^{dams} πατήρ^{nams} ὁ^{dgns} παιδίον^{ngns} καί^{c} ὁ^{dafs} μήτηρ^{nafs} καί^{c} ὁ^{damp} μετά^{p} αὐτός^{rpgms} καί^{c} εἰσπορεύομαι^{vipn3s} ὅπου^{bo} εἰμί^{viix3s} ὁ^{dnns} παιδίον^{nnns} ἀνάκειμαι^{vppnnns}. **v.41** καί^{c} κρατέω^{vpaanms} ὁ^{dgfs} χείρ^{ngfs} ὁ^{dgns} παιδίον^{ngns} λέγω^{vipa3s} αὐτός^{rpdfs} ταλιθά^{ta} κουμ^{ta} ὅς^{rrnns} εἰμί^{vipx3s} μεθερμηνεύω^{vpppnns} ὁ^{dnns} κοράσιον^{nnns} σύ$^{rpd-s}$ λέγω^{vipa1s} ἐγείρω^{vdam2s}. **v.42** καί^{c} εὐθέως^{bo} ἀνίστημι^{viaa3s} ὁ^{dnns} κοράσιον^{nnns} καί^{c} περιπατέω^{viia3s} εἰμί^{viix3s} γάρ^{c} ἔτος^{ngnp} δώδεκα^{tn} καί^{c} ἐξίστημι^{viaa3p} ἔκστασις^{ndfs} μέγας^{adfsn}. **v.43** καί^{c} διαστέλλω^{viam3s} αὐτός^{rpdmp} πολύς^{aanpn} ἵνα^{c} μηδείς^{anmsn} γινώσκω^{vsaa3s} οὗτος^{rdans} καί^{c} λέγω^{viaa3s} δίδωμι^{vnap} αὐτός^{rpdfs} ἐσθίω^{vnaa}.

Καὶ ἐξῆλθεν ἐκεῖθεν, καὶ ἦλθεν εἰς τὴν πατρίδα αὐτοῦ, καὶ **6**
ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. καὶ γενομένου σαββά- 2
του, ἤρξατο ἐν τῇ συναγωγῇ διδάσκειν, καὶ πολλοὶ ἀκούοντες
ἐξεπλήσσοντο, λέγοντες, Πόθεν τούτῳ ταῦτα καὶ τίς ἡ σοφία ἡ
δοθεῖσα αὐτῷ, ὅτι καὶ δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐτοῦ
γίνονται· οὐχ οὗτός ἐστιν ὁ τέκτων, ὁ υἱὸς Μαρίας, ἀδελφὸς 3
δὲ Ἰακώβου καὶ Ἰωσῆ καὶ Ἰούδα καὶ Σίμωνος· καὶ οὐκ εἰσὶν
αἱ ἀδελφαὶ αὐτοῦ ὧδε πρὸς ἡμᾶς· καὶ ἐσκανδαλίζοντο ἐν αὐ-
τῷ. ἔλεγε δὲ αὐτοῖς ὁ Ἰησοῦς ὅτι Οὐκ ἔστι προφήτης ἄτιμος, 4
εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ, καὶ ἐν τοῖς συγγενέσιν καὶ ἐν τῇ
οἰκίᾳ αὐτοῦ. καὶ οὐκ ἠδύνατο ἐκεῖ οὐδεμίαν δύναμιν ποιῆ- 5
σαι, εἰ μὴ ὀλίγοις ἀρρώστοις ἐπιθεὶς τὰς χεῖρας, ἐθεράπευσε.
καὶ ἐθαύμαζε διὰ τὴν ἀπιστίαν αὐτῶν. Καὶ περιῆγε τὰς κώ- 6
μας κύκλῳ διδάσκων. Καὶ προσκαλεῖται τοὺς δώδεκα, καὶ 7
ἤρξατο αὐτοὺς ἀποστέλλειν δύο δύο, καὶ ἐδίδου αὐτοῖς ἐξου-
σίαν τῶν πνευμάτων τῶν ἀκαθάρτων. καὶ παρήγγειλεν αὐτοῖς 8
ἵνα μηδὲν αἴρωσιν εἰς ὁδόν, εἰ μὴ ῥάβδον μόνον, μὴ πήραν,
μὴ ἄρτον, μὴ εἰς τὴν ζώνην χαλκόν, ἀλλ᾽ ὑποδεδεμένους σαν- 9
δάλια, καὶ μὴ ἐνδύσασθαι δύο χιτῶνας. καὶ ἔλεγεν αὐτοῖς, 10
Ὅπου ἐὰν εἰσέλθητε εἰς οἰκίαν, ἐκεῖ μένετε ἕως ἂν ἐξέλθητε
ἐκεῖθεν. καὶ ὅσοι ἂν μὴ δέξωνταί ὑμᾶς, μηδὲ ἀκούσωσιν ὑ- 11
μῶν, ἐκπορευόμενοι ἐκεῖθεν, ἐκτινάξατε τὸν χοῦν τὸν ὑποκάτω

6. v.1 καί^{c} ἐξέρχομαι^{viaa3s} ἐκεῖθεν^{bo} καί^{c} ἔρχομαι^{viaa3s} εἰς^{p} ὁ^{dafs} πατρίς^{nafs} αὐτός^{rpgms} καί^{c} ἀκολουθέω^{vipa3p} αὐτός^{rpdms} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms}. **v.2** καί^{c} γίνομαι^{vpadgns} σάββατον^{ngns} ἄρχω^{viad3s} ἐν^{p} ὁ^{ddfs} συναγωγή^{ndfs} διδάσκω^{vnpa} καί^{c} πολύς^{anmpn} ἀκούω^{vppanmp} ἐκπλήσσω^{viip3p} λέγω^{vppanmp} πόθεν^{bo} οὗτος^{rddms} οὗτος^{rdnnp} καί^{c} τίς^{rqnfs} ὁ^{dnfs} σοφία^{nnfs} ὁ^{dnfs} δίδωμι^{vpapnfs} αὐτός^{rpdms} ὅτι^{c} καί^{c} δύναμις^{nnfp} τοιοῦτος^{rdnfp} διά^{p} ὁ^{dgfp} χείρ^{ngfp} αὐτός^{rpgms} γίνομαι^{vipn3p}. **v.3** οὐ^{xo} οὗτος^{rdnms} εἰμί^{vipx3s} ὁ^{dnms} τέκτων^{nnms} ὁ^{dnms} υἱός^{nnms} Μαρία^{ngfs} ἀδελφός^{nnms} δέ^{c} Ἰάκωβος^{ngms} καί^{c} Ἰωσῆς^{ngms} καί^{c} Ἰούδας^{ngms} καί^{c} Σίμων^{ngms} καί^{c} οὐ^{xo} εἰμί^{vipx3p} ὁ^{dnfp} ἀδελφή^{nnfp} αὐτός^{rpgms} ὧδε^{bo} πρός^{p} ἐγώ$^{rpa-p}$ καί^{c} σκανδαλίζω^{viip3p} ἐν^{p} αὐτός^{rpdms}. **v.4** λέγω^{viia3s} δέ^{c} αὐτός^{rpdmp} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὅτι^{c} οὐ^{xo} εἰμί^{vipx3s} προφήτης^{nnms} ἄτιμος^{anmsn} εἰ^{qo} μή^{xo} ἐν^{p} ὁ^{ddfs} πατρίς^{ndfs} αὐτός^{rpgms} καί^{c} ἐν^{p} ὁ^{ddmp} συγγενής^{admpn} καί^{c} ἐν^{p} ὁ^{ddfs} οἰκία^{ndfs} αὐτός^{rpgms}. **v.5** καί^{c} οὐ^{xo} δύναμαι^{viin3s} ἐκεῖ^{bo} οὐδείς^{aafsn} δύναμις^{nafs} ποιέω^{vnaa} εἰ^{qo} μή^{xo} ὀλίγος^{admpn} ἄρρωστος^{admpn} ἐπιτίθημι^{vpaanms} ὁ^{dafp} χείρ^{nafp} θεραπεύω^{viaa3s}. **v.6** καί^{c} θαυμάζω^{viia3s} διά^{p} ὁ^{dafs} ἀπιστία^{nafs} αὐτός^{rpgmp} καί^{c} περιάγω^{viia3s} ὁ^{dafp} κώμη^{nafp} κύκλῳ^{ndms} διδάσκω^{vppanms}. **v.7** καί^{c} προσκαλέομαι^{vipn3s} ὁ^{damp} δώδεκα^{tn} καί^{c} ἄρχω^{viad3s} αὐτός^{rpamp} ἀποστέλλω^{vnpa} δύο^{tn} δύο^{tn} καί^{c} δίδωμι^{viia3s} αὐτός^{rpdmp} ἐξουσία^{nafs} ὁ^{dgnp} πνεῦμα^{ngnp} ὁ^{dgnp} ἀκάθαρτος^{agnpn}. **v.8** καί^{c} παραγγέλλω^{viaa3s} αὐτός^{rpdmp} ἵνα^{c} μηδείς^{aansn} αἴρω^{vspa3p} εἰς^{p} ὁδός^{nafs} εἰ^{qo} μή^{xo} ῥάβδος^{nafs} μόνος^{bo} μή^{xo} πήρα^{nafs} μή^{xo} ἄρτος^{nams} μή^{xo} εἰς^{p} ὁ^{dafs} ζώνη^{nafs} χαλκός^{nams}. **v.9** ἀλλά^{c} ὑποδέω^{vpxpamp} σανδάλιον^{nanp} καί^{c} μή^{xo} ἐνδύω^{vnam} δύο^{tn} χιτών^{namp}. **v.10** καί^{c} λέγω^{viia3s} αὐτός^{rpdmp} ὅπου^{bo} ἐάν^{qo} εἰσέρχομαι^{vsaa2p} εἰς^{p} οἰκία^{nafs} ἐκεῖ^{bo} μένω^{vdpa2p} ἕως^{c} ἄν^{xo} ἐξέρχομαι^{vsaa2p} ἐκεῖθεν^{bo}.

τῶν ποδῶν ὑμῶν εἰς μαρτύριον αὐτοῖς. ἀμὴν λέγω ὑμῖν, ἀ-
νεκτότερον ἔσται Σοδόμοις ἢ Γομόρροις ἐν ἡμέρᾳ κρίσεως, ἢ
12 τῇ πόλει ἐκείνῃ. καὶ ἐξελθόντες ἐκήρυσσον ἵνα μετανοήσωσι,
13 καὶ δαιμόνια πολλὰ ἐξέβαλλον, καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀρ-
14 ρώστους καὶ ἐθεράπευον. Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρώδης,
φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ, καὶ ἔλεγεν ὅτι Ἰωάννης
ὁ βαπτίζων ἐκ νεκρῶν ἠγέρθη, καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυ-
15 νάμεις ἐν αὐτῷ. ἄλλοι ἔλεγον ὅτι Ἠλίας ἐστίν, ἄλλοι δὲ ἔλεγον
16 ὅτι Προφήτης ἐστίν, ἢ ὡς εἷς τῶν προφητῶν. ἀκούσας δὲ ὁ
Ἡρώδης εἶπεν ὅτι Ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, οὗτος ἐστιν,
17 αὐτὸς ἠγέρθη ἐκ νεκρῶν. αὐτὸς γὰρ ὁ Ἡρώδης ἀποστείλας
ἐκράτησε τὸν Ἰωάννην, καὶ ἔδησεν αὐτὸν ἐν τῇ φυλακῇ, διὰ
Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, ὅτι αὐ-
18 τὴν ἐγάμησεν. ἔλεγε γὰρ ὁ Ἰωάννης τῷ Ἡρώδῃ ὅτι Οὐκ ἔξεστί
19 σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου. ἡ δὲ Ἡρωδιὰς ἐνεῖχεν
20 αὐτῷ, καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι, καὶ οὐκ ἠδύνατο, ὁ γὰρ
Ἡρώδης ἐφοβεῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ
ἅγιον, καὶ συνετήρει αὐτόν, καὶ ἀκούσας αὐτοῦ, πολλὰ ἐποίει,
21 καὶ ἡδέως αὐτοῦ ἤκουε. καὶ γενομένης ἡμέρας εὐκαίρου,
ὅτε Ἡρώδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει τοῖς μεγιστᾶ-

---

v.11 καί^{c} ὅσος^{rcnmp} ἄν^{xo} μή^{xo} δέχομαι^{vsad3p} σύ$^{rpa-p}$ μηδέ^{c} ἀκούω^{vsaa3p} σύ$^{rpg-p}$ ἐκπορεύομαι^{vppnnmp} ἐκεῖθεν^{bo} ἐκτινάσσω^{vdaa2p} ὁ^{dams} χοῦς^{nams} ὁ^{dams} ὑποκάτω^{bo} ὁ^{dgmp} πούς^{ngmp} σύ$^{rpg-p}$ εἰς^{p} μαρτύριον^{nans} αὐτός^{rpdmp} ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-p}$ ἀνεκτός^{annsc} εἰμί^{vifx3s} Σόδομα^{ndnp} ἤ^{xo} Γόμορρα^{ndnp} ἐν^{p} ἡμέρα^{ndfs} κρίσις^{ngfs} ἤ^{xo} ὁ^{ddfs} πόλις^{ndfs} ἐκεῖνος^{rddfs}. **v.12** καί^{c} ἐξέρχομαι^{vpaanmp} κηρύσσω^{viia3p} ἵνα^{c} μετανοέω^{vsaa3p}. **v.13** καί^{c} δαιμόνιον^{nanp} πολύς^{aanpn} ἐκβάλλω^{viia3p} καί^{c} ἀλείφω^{viia3p} ἔλαιον^{ndns} πολύς^{aampn} ἄρρωστος^{aampn} καί^{c} θεραπεύω^{viia3p}. **v.14** καί^{c} ἀκούω^{viaa3s} ὁ^{dnms} βασιλεύς^{nnms} Ἡρῴδης^{nnms} φανερός^{annsn} γάρ^{c} γίνομαι^{viad3s} ὁ^{dnns} ὄνομα^{nnns} αὐτός^{rpgms} καί^{c} λέγω^{viia3s} ὅτι^{c} Ἰωάννης^{nnms} ὁ^{dnms} βαπτίζω^{vppanms} ἐκ^{p} νεκρός^{agmpn} ἐγείρω^{viap3s} καί^{c} διά^{p} οὗτος^{rdans} ἐνεργέω^{vipa3p} ὁ^{dnfp} δύναμις^{nnfp} ἐν^{p} αὐτός^{rpdms}. **v.15** ἄλλος^{anmpn} λέγω^{viia3p} ὅτι^{c} Ἠλίας^{nnms} εἰμί^{vipx3s} ἄλλος^{anmpn} δέ^{c} λέγω^{viia3p} ὅτι^{c} προφήτης^{nnms} εἰμί^{vipx3s} ἤ^{xo} ὡς^{bo} εἷς^{nnms} ὁ^{dgmp} προφήτης^{ngmp}. **v.16** ἀκούω^{vpaanms} δέ^{c} ὁ^{dnms} Ἡρῴδης^{nnms} λέγω^{viaa3s} ὅτι^{c} ὅς^{rrams} ἐγώ$^{rpn-s}$ ἀποκεφαλίζω^{viaa1s} Ἰωάννης^{nams} οὗτος^{rdnms} εἰμί^{vipx3s} αὐτός^{rpnms} ἐγείρω^{viap3s} ἐκ^{p} νεκρός^{agmpn}. **v.17** αὐτός^{rpnms} γάρ^{c} ὁ^{dnms} Ἡρῴδης^{nnms} ἀποστέλλω^{vpaanms} κρατέω^{viaa3s} ὁ^{dams} Ἰωάννης^{nams} καί^{c} δέω^{viaa3s} αὐτός^{rpams} ἐν^{p} ὁ^{ddfs} φυλακή^{ndfs} διά^{p} Ἡρῳδιάς^{nafs} ὁ^{dafs} γυνή^{nafs} Φίλιππος^{ngms} ὁ^{dgms} ἀδελφός^{ngms} αὐτός^{rpgms} ὅτι^{c} αὐτός^{rpafs} γαμέω^{viaa3s}. **v.18** λέγω^{viia3s} γάρ^{c} ὁ^{dnms} Ἰωάννης^{nnms} ὁ^{ddms} Ἡρῴδης^{ndms} ὅτι^{c} οὐ^{xo} ἔξεστι^{vipq3s} σύ$^{rpd-s}$ ἔχω^{vnpa} ὁ^{dafs} γυνή^{nafs} ὁ^{dgms} ἀδελφός^{ngms} σύ$^{rpg-s}$. **v.19** ὁ^{dnfs} δέ^{c} Ἡρῳδιάς^{nnfs} ἐνέχω^{viia3s} αὐτός^{rpdms} καί^{c} θέλω^{viia3s} αὐτός^{rpams} ἀποκτείνω^{vnaa} καί^{c} οὐ^{xo} δύναμαι^{viin3s}. **v.20** ὁ^{dnms} γάρ^{c} Ἡρῴδης^{nnms} φοβέομαι^{viin3s} ὁ^{dams} Ἰωάννης^{nams} οἶδα^{vpxanms} αὐτός^{rpams} ἀνήρ^{nams} δίκαιος^{aamsn} καί^{c} ἅγιος^{aamsn} καί^{c} συντηρέω^{viia3s} αὐτός^{rpams} καί^{c} ἀκούω^{vpaanms} αὐτός^{rpgms} πολύς^{aanpn} ποιέω^{viia3s} καί^{c} ἡδέως^{bo} αὐτός^{rpgms} ἀκούω^{viia3s}.

σιν αὐτοῦ καὶ τοῖς χιλιάρχοις καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας, καὶ εἰσελθούσης τῆς θυγατρὸς αὐτῆς τῆς Ἡρωδιάδος καὶ ὀρχη- 22
σαμένης, καὶ ἀρεσασης τῷ Ἡρώδῃ καὶ τοῖς συνανακειμένοις, εἶπεν ὁ βασιλεὺς τῷ κορασίῳ, Αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοί, καὶ ὤμοσεν αὐτῇ ὅτι, Ὅ ἐάν με αἰτήσῃς, δώσω σοί, 23
ἕως ἡμίσους τῆς βασιλείας μου. ἡ δὲ ἐξελθοῦσα εἶπε τῇ μη- 24
τρὶ αὐτῆς, Τί αἰτήσομαι· ἡ δὲ εἶπε, Τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτίστου. καὶ εἰσελθοῦσα εὐθέως μετὰ σπουδῆς πρὸς τὸν βα- 25
σιλέα, ἠτήσατο, λέγουσα, Θέλω ἵνα μοι δῷς ἐξαυτῆς ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ. καὶ περίλυπος γενό- 26
μενος ὁ βασιλεὺς, διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους οὐκ ἠθέλησεν αὐτὴν ἀθετῆσαι. καὶ εὐθέως ἀποστείλας ὁ βα- 27
σιλεὺς σπεκουλάτωρα ἐπέταξεν ἐνεχθῆναι τὴν κεφαλὴν αὐτοῦ. ὁ δὲ ἀπελθὼν ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ φυλακῇ, καὶ ἤνεγκε 28
τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι, καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ, καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς. καὶ ἀκούσαν- 29
τες οἱ μαθηταὶ αὐτοῦ ἦλθον, καὶ ἦραν τὸ πτῶμα αὐτοῦ, καὶ ἔθηκαν αὐτὸ ἐν μνημείῳ. Καὶ συνάγονται οἱ ἀπόστολοι πρὸς 30
τὸν Ἰησοῦν, καὶ ἀπήγγειλαν αὐτῷ πάντα, καὶ ὅσα ἐποίησαν καὶ ὅσα ἐδίδαξαν. καὶ εἶπεν αὐτοῖς, Δεῦτε ὑμεῖς αὐτοὶ κατ᾽ ἰδίαν 31

---

v.21 καί^{c} γίνομαι^{vpadgfs} ἡμέρα^{ngfs} εὔκαιρος^{agfsn} ὅτε^{bo} Ἡρῴδης^{nnms} ὁ^{ddnp} γενέσια^{ndnp} αὐτός^{rpgms} δεῖπνον^{nans} ποιέω^{viia3s} ὁ^{ddmp} μεγιστάν^{ndmp} αὐτός^{rpgms} καί^{c} ὁ^{ddmp} χιλίαρξος^{ndmp} καί^{c} ὁ^{ddmp} πρῶτος^{admpn} ὁ^{dgfs} Γαλιλαία^{ngfs}. **v.22** καί^{c} εἰσέρχομαι^{vpaagfs} ὁ^{dgfs} θυγάτηρ^{ngfs} αὐτός^{rpgfs} ὁ^{dgfs} Ἡρῳδιάς^{ngfs} καί^{c} ὀρχέομαι^{vpadgfs} καί^{c} ἀρέσκω^{vpaagfs} ὁ^{ddms} Ἡρῴδης^{ndms} καί^{c} ὁ^{ddmp} συνανάκειμαι^{vppndmp} λέγω^{viaa3s} ὁ^{dnms} βασιλεύς^{nnms} ὁ^{ddns} κοράσιον^{ndns} αἰτέω^{vdaa2s} ἐγώ$^{rpa-s}$ ὅς^{rrans} ἐάν^{qo} θέλω^{vspa2s} καί^{c} δίδωμι^{vifa1s} σύ$^{rpd-s}$. **v.23** καί^{c} ὀμνύω^{viaa3s} αὐτός^{rpdfs} ὅτι^{c} ὅς^{rrans} ἐάν^{qo} ἐγώ$^{rpa-s}$ αἰτέω^{vsaa2s} δίδωμι^{vifa1s} σύ$^{rpd-s}$ ἕως^{c} ἥμισυς^{agnsn} ὁ^{dgfs} βασιλεία^{ngfs} ἐγώ$^{rpg-s}$. **v.24** ὁ^{dnfs} δέ^{c} ἐξέρχομαι^{vpaanfs} λέγω^{viaa3s} ὁ^{ddfs} μήτηρ^{ndfs} αὐτός^{rpgfs} τίς^{rqans} αἰτέω^{vifm1s} ὁ^{dnfs} δέ^{c} λέγω^{viaa3s} ὁ^{dafs} κεφαλή^{nafs} Ἰωάννης^{ngms} ὁ^{dgms} βαπτιστής^{ngms}. **v.25** καί^{c} εἰσέρχομαι^{vpaanfs} εὐθέως^{bo} μετά^{p} σπουδή^{ngfs} πρός^{p} ὁ^{dams} βασιλεύς^{nams} αἰτέω^{viam3s} λέγω^{vppanfs} θέλω^{vipa1s} ἵνα^{c} ἐγώ$^{rpd-s}$ δίδωμι^{vsaa2s} ἐκ^{p} αὐτός^{rpgfs} ἐπί^{p} πίναξ^{ndfs} ὁ^{dafs} κεφαλή^{nafs} Ἰωάννης^{ngms} ὁ^{dgms} βαπτιστής^{ngms}. **v.26** καί^{c} περίλυπος^{anmsn} γίνομαι^{vpadnms} ὁ^{dnms} βασιλεύς^{nnms} διά^{p} ὁ^{damp} ὅρκος^{namp} καί^{c} ὁ^{damp} συνανάκειμαι^{vppnamp} οὐ^{xo} θέλω^{viaa3s} αὐτός^{rpafs} ἀθετέω^{vnaa}. **v.27** καί^{c} εὐθέως^{bo} ἀποστέλλω^{vpaanms} ὁ^{dnms} βασιλεύς^{nnms} σπεκουλάτωρ^{nams} ἐπιτάσσω^{viaa3s} φέρω^{vnap} ὁ^{dafs} κεφαλή^{nafs} αὐτός^{rpgms} ὁ^{dnms} δέ^{c} ἀπέρχομαι^{vpaanms} ἀποκεφαλίζω^{viaa3s} αὐτός^{rpams} ἐν^{p} ὁ^{ddfs} φυλακή^{ndfs}. **v.28** καί^{c} φέρω^{viaa3s} ὁ^{dafs} κεφαλή^{nafs} αὐτός^{rpgms} ἐπί^{p} πίναξ^{ndfs} καί^{c} δίδωμι^{viaa3s} αὐτός^{rpafs} ὁ^{ddns} κοράσιον^{ndns} καί^{c} ὁ^{dnns} κοράσιον^{nnns} δίδωμι^{viaa3s} αὐτός^{rpafs} ὁ^{ddfs} μήτηρ^{ndfs} αὐτός^{rpgfs}. **v.29** καί^{c} ἀκούω^{vpaanmp} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} ἔρχομαι^{viaa3p} καί^{c} αἴρω^{viaa3p} ὁ^{dans} πτῶμα^{nans} αὐτός^{rpgms} καί^{c} τίθημι^{viaa3p} αὐτός^{rpans} ἐν^{p} μνημεῖον^{ndns}. **v.30** καί^{c} συνάγω^{vipp3p} ὁ^{dnmp} ἀπόστολος^{nnmp} πρός^{p} ὁ^{dams} Ἰησοῦς^{nams} καί^{c} ἀπαγγέλλω^{viaa3p} αὐτός^{rpdms} πᾶς^{aanpn} καί^{c} ὅσος^{rcanp} ποιέω^{viaa3p} καί^{c} ὅσος^{rcanp} διδάσκω^{viaa3p}.

εἰς ἔρημον τόπον, καὶ ἀναπαύεσθε ὀλίγον. ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοί, καὶ οὐδὲ φαγεῖν ηὐκαίρουν.
32, 33 καὶ ἀπῆλθον εἰς ἔρημον τόπον τῷ πλοίῳ κατ᾽ ἰδίαν. καὶ εἶδον αὐτοὺς ὑπάγοντας οἱ ὄχλοι, καὶ ἐπέγνωσαν αὐτὸν πολλοί, καὶ πεζῇ ἀπὸ πασῶν τῶν πόλεων συνέδραμον ἐκεῖ, καὶ προ-
34 ῆλθον αὐτούς, καὶ συνῆλθον πρὸς αὐτόν. καὶ ἐξελθὼν εἶδεν ὁ Ἰησοῦς πολὺν ὄχλον, καὶ ἐσπλαγχνίσθη ἐπ αὐτοῖς, ὅτι ἦσαν ὡς πρόβατα μὴ ἔχοντα ποιμένα, καὶ ἤρξατο διδάσκειν αὐτοὺς
35 πολλά. καὶ ἤδη ὥρας πολλῆς γενομένης, προσελθόντες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγουσιν ὅτι Ἔρημός ἐστιν ὁ τόπος, καὶ ἤδη
36 ὥρα πολλή, ἀπόλυσον αὐτούς, ἵνα ἀπελθόντες εἰς τοὺς κύκλῳ ἀγροὺς καὶ κώμας ἀγοράσωσιν ἑαυτοῖς ἄρτους. τί γὰρ φάγωσιν
37 οὐκ ἔχουσιν. ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, Δότε αὐτοῖς ὑμεῖς φαγεῖν. καὶ λέγουσιν αὐτῷ, Ἀπελθόντες ἀγοράσωμεν διακο-
38 σίων δηναρίων ἄρτους, καὶ δῶμεν αὐτοῖς φαγεῖν· ὁ δὲ λέγει αὐτοῖς, Πόσους ἄρτους ἔχετε· ὑπάγετε καὶ ἴδετε καὶ γνόντες
39 λέγουσιν, Πέντε, καὶ δύο ἰχθύας. καὶ ἐπέταξεν αὐτοῖς ἀνα-
40 κλῖναι πάντας συμπόσια συμπόσια ἐπὶ τ�ῳ χλωρῷ χόρτῳ. καὶ ἀνέπεσον πρασιαὶ πρασιαί, ἀνὰ ἑκατὸν καὶ ἀνὰ πεντήκοντα.
41 καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανόν, εὐλόγησε, καὶ κατέκλασε τοὺς ἄρτους, καὶ

---

v.31 καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdmp} δεῦτε^{vdvx2p} σύ$^{rpn-p}$ αὐτός^{rpnmp} κατά^{p} ἴδιος^{aafsn} εἰς^{p} ἔρημος^{aamsn} τόπος^{nams} καί^{c} ἀναπαύω^{vdpm2p} ὀλίγος^{bo} εἰμί^{viix3p} γάρ^{c} ὁ^{dnmp} ἔρχομαι^{vppnnmp} καί^{c} ὁ^{dnmp} ὑπάγω^{vppanmp} πολύς^{anmpn} καί^{c} οὐδέ^{bo} ἐσθίω^{vnaa} εὐκαιρέω^{viia3p}. **v.32** καί^{c} ἀπέρχομαι^{viaa3p} εἰς^{p} ἔρημος^{aamsn} τόπος^{nams} ὁ^{ddns} πλοῖον^{ndns} κατά^{p} ἴδιος^{aafsn}. **v.33** καί^{c} ὁράω^{viaa3p} αὐτός^{rpamp} ὑπάγω^{vppaamp} ὁ^{dnmp} ὄχλος^{nnmp} καί^{c} ἐπιγινώσκω^{viaa3p} αὐτός^{rpams} πολύς^{anmpn} καί^{c} πεζῇ^{bo} ἀπό^{p} πᾶς^{agfpn} ὁ^{dgfp} πόλις^{ngfp} συντρέχω^{viaa3p} ἐκεῖ^{bo} καί^{c} προέρχομαι^{viaa3p} αὐτός^{rpamp} καί^{c} συνέρχομαι^{viaa3p} πρός^{p} αὐτός^{rpams}. **v.34** καί^{c} ἐξέρχομαι^{vpaanms} ὁράω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} πολύς^{aamsn} ὄχλος^{nams} καί^{c} σπλαγχνίζομαι^{viao3s} ἐπί^{p} αὐτός^{rpdmp} ὅτι^{c} εἰμί^{viix3p} ὡς^{bo} πρόβατον^{nnnp} μή^{xo} ἔχω^{vppannp} ποιμήν^{nams} καί^{c} ἄρχω^{viad3s} διδάσκω^{vnpa} αὐτός^{rpamp} πολύς^{aanpn}. **v.35** καί^{c} ἤδη^{bo} ὥρα^{ngfs} πολύς^{agfsn} γίνομαι^{vpadgfs} προσέρχομαι^{vpaanmp} αὐτός^{rpdms} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} λέγω^{vipa3p} ὅτι^{c} ἔρημος^{anmsn} εἰμί^{vipx3s} ὁ^{dnms} τόπος^{nnms} καί^{c} ἤδη^{bo} ὥρα^{nnfs} πολύς^{anfsn}. **v.36** ἀπολύω^{vdaa2s} αὐτός^{rpamp} ἵνα^{c} ἀπέρχομαι^{vpaanmp} εἰς^{p} ὁ^{damp} κύκλῳ^{ndms} ἀγρός^{namp} καί^{c} κώμη^{nafp} ἀγοράζω^{vsaa3p} ἑαυτοῦ^{rxdmp} ἄρτος^{namp} τίς^{rqans} γάρ^{c} ἐσθίω^{vsaa3p} οὐ^{xo} ἔχω^{vipa3p}. **v.37** ὁ^{dnms} δέ^{c} ἀποκρίνομαι^{vpaonms} λέγω^{viaa3s} αὐτός^{rpdmp} δίδωμι^{vdaa2p} αὐτός^{rpdmp} σύ$^{rpn-p}$ ἐσθίω^{vnaa} καί^{c} λέγω^{vipa3p} αὐτός^{rpdms} ἀπέρχομαι^{vpaanmp} ἀγοράζω^{vsaa1p} διακόσιοι^{ngnp} δηνάριον^{ngnp} ἄρτος^{namp} καί^{c} δίδωμι^{vsaa1p} αὐτός^{rpdmp} ἐσθίω^{vnaa}. **v.38** ὁ^{dnms} δέ^{c} λέγω^{vipa3s} αὐτός^{rpdmp} πόσος^{roamp} ἄρτος^{namp} ἔχω^{vipa2p} ὑπάγω^{vdpa2p} καί^{c} ὁράω^{vdaa2p} καί^{c} γινώσκω^{vpaanmp} λέγω^{vipa3p} πέντε^{tn} καί^{c} δύο^{tn} ἰχθύς^{namp}. **v.39** καί^{c} ἐπιτάσσω^{viaa3s} αὐτός^{rpdmp} ἀνακλίνω^{vnaa} πᾶς^{aampn} συμπόσιον^{nanp} συμπόσιον^{nanp} ἐπί^{p} ὁ^{ddms} χλωρός^{admsn} χόρτος^{ndms}. **v.40** καί^{c} ἀναπίπτω^{viaa3p} πρασιά^{nnfp} πρασιά^{nnfp} ἀνά^{p} ἑκατόν^{tn} καί^{c} ἀνά^{p} πεντήκοντα^{tn}.

ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα παραθῶσιν αὐτοῖς, καὶ τοὺς
δύο ἰχθύας ἐμέρισε πᾶσι. καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθη- 42
σαν, καὶ ἦραν κλασμάτων δώδεκα κοφίνους πληρεις, καὶ ἀπὸ 43
τῶν ἰχθύων. καὶ ἦσαν οἱ φαγόντες τοὺς ἄρτους, ὡσεὶ πεντα- 44
κισχίλιοι ἄνδρες. Καὶ εὐθὲως ἠνάγκασε τοὺς μαθητὰς αὐτοῦ 45
ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν εἰς τὸ πέραν πρὸς Βηθσα-
ϊδά, ἕως αὐτὸς ἀπολύσῃ τὸν ὄχλον. καὶ ἀποταξάμενος αὐτοῖς, 46
ἀπῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι. καὶ ὀψίας γενομένης, ἦν 47
τὸ πλοῖον ἐν μέσῳ τῆς θαλάσσης, καὶ αὐτὸς μόνος ἐπὶ τῆς γῆς.
καὶ εἶδεν αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύνειν, ἦν γὰρ ὁ ἄ- 48
νεμος ἐναντίος αὐτοῖς, καὶ περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς
ἔρχεται πρὸς αὐτούς, περιπατῶν ἐπὶ τῆς θαλάσσης, καὶ ἤθελε
παρελθεῖν αὐτούς. οἱ δέ, ἰδόντες αὐτὸν περιπατοῦντα ἐπὶ τῆς 49
θαλάσσης, ἔδοξαν φάντασμά εἶναι, καὶ ἀνέκραξαν, πάντες γὰρ 50
αὐτὸν εἶδον, καὶ ἐταράχθησαν. καὶ εὐθέως ἐλάλησε μετ᾽ αὐ-
τῶν, καὶ λέγει αὐτοῖς, Θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε. καὶ 51
ἀνέβη πρὸς αὐτοὺς εἰς τὸ πλοῖον, καὶ ἐκόπασεν ὁ ἄνεμος, καὶ
λίαν ἐκ περισσοῦ ἐν ἑαυτοῖς ἐξίσταντο, καὶ ἐθαύμαζον. οὐ 52
γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις, ἦν γὰρ ἡ καρδία αὐτῶν πεπω-
ρωμένη. Καὶ διαπεράσαντες ἦλθον ἐπὶ τὴν γῆν Γεννησαρέτ, 53

---

v.41 καί^{c} λαμβάνω^{vpaanms} ὁ^{damp} πέντε^{tn} ἄρτος^{namp} καί^{c} ὁ^{damp} δύο^{tn} ἰχθύς^{namp} ἀναβλέπω^{vpaanms} εἰς^{p} ὁ^{dams} οὐρανός^{nams} εὐλογέω^{viaa3s} καί^{c} κατακλάω^{viaa3s} ὁ^{damp} ἄρτος^{namp} καί^{c} δίδωμι^{viia3s} ὁ^{ddmp} μαθητής^{ndmp} αὐτός^{rpgms} ἵνα^{c} παρατίθημι^{vsaa3p} αὐτός^{rpdmp} καί^{c} ὁ^{damp} δύο^{tn} ἰχθύς^{namp} μερίζω^{viaa3s} πᾶς^{admpn}. **v.42** καί^{c} ἐσθίω^{viaa3p} πᾶς^{anmpn} καί^{c} χορτάζω^{viap3p}. **v.43** καί^{c} αἴρω^{viaa3p} κλάσμα^{ngnp} δώδεκα^{tn} κόφινος^{namp} πλήρης^{aampn} καί^{c} ἀπό^{p} ὁ^{dgmp} ἰχθύς^{ngmp}. **v.44** καί^{c} εἰμί^{viix3p} ὁ^{dnmp} ἐσθίω^{vpaanmp} ὁ^{damp} ἄρτος^{namp} ὡσεί^{bo} πεντακισχίλιοι^{nnmp} ἀνήρ^{nnmp}. **v.45** καί^{c} εὐθέως^{bo} ἀναγκάζω^{viaa3s} ὁ^{damp} μαθητής^{namp} αὐτός^{rpgms} ἐμβαίνω^{vnaa} εἰς^{p} ὁ^{dans} πλοῖον^{nans} καί^{c} προάγω^{vnpa} εἰς^{p} ὁ^{dans} πέραν^{bo} πρός^{p} Βηθσαϊδά^{tp} ἕως^{c} αὐτός^{rpnms} ἀπολύω^{vsaa3s} ὁ^{dams} ὄχλος^{nams}. **v.46** καί^{c} ἀποτάσσω^{vpamnms} αὐτός^{rpdmp} ἀπέρχομαι^{viaa3s} εἰς^{p} ὁ^{dans} ὄρος^{nans} προσεύχομαι^{vnad}. **v.47** καί^{c} ὄψιος^{agfsn} γίνομαι^{vpadgfs} εἰμί^{viix3s} ὁ^{dnns} πλοῖον^{nnns} ἐν^{p} μέσος^{adnsn} ὁ^{dgfs} θάλασσα^{ngfs} καί^{c} αὐτός^{rpnms} μόνος^{anmsn} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs}. **v.48** καί^{c} ὁράω^{viaa3s} αὐτός^{rpamp} βασανίζω^{vpppamp} ἐν^{p} ὁ^{ddms} ἐλαύνω^{vnpa} εἰμί^{viix3s} γάρ^{c} ὁ^{dnms} ἄνεμος^{nnms} ἐναντίος^{anmsn} αὐτός^{rpdmp} καί^{c} περί^{p} τέταρτος^{aafsn} φυλακή^{nafs} ὁ^{dgfs} νύξ^{ngfs} ἔρχομαι^{vipn3s} πρός^{p} αὐτός^{rpamp} περιπατέω^{vppanms} ἐπί^{p} ὁ^{dgfs} θάλασσα^{ngfs} καί^{c} θέλω^{viia3s} παρέρχομαι^{vnaa} αὐτός^{rpamp}. **v.49** ὁ^{dnmp} δέ^{c} ὁράω^{vpaanmp} αὐτός^{rpams} περιπατέω^{vppaams} ἐπί^{p} ὁ^{dgfs} θάλασσα^{ngfs} δοκέω^{viaa3p} φάντασμα^{nnns} εἰμί^{vnpx} καί^{c} ἀνακράζω^{viaa3p}. **v.50** πᾶς^{anmpn} γάρ^{c} αὐτός^{rpams} ὁράω^{viaa3p} καί^{c} ταράσσω^{viap3p} καί^{c} εὐθέως^{bo} λαλέω^{viaa3s} μετά^{p} αὐτός^{rpgmp} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdmp} θαρσέω^{vdpa2p} ἐγώ$^{rpn-s}$ εἰμί^{vipx1s} μή^{xo} φοβέομαι^{vdpn2p}. **v.51** καί^{c} ἀναβαίνω^{viaa3s} πρός^{p} αὐτός^{rpamp} εἰς^{p} ὁ^{dans} πλοῖον^{nans} καί^{c} κοπάζω^{viaa3s} ὁ^{dnms} ἄνεμος^{nnms} καί^{c} λίαν^{bo} ἐκ^{p} περισσός^{agnsn} ἐν^{p} ἑαυτοῦ^{rxdmp} ἐξίστημι^{viim3p} καί^{c} θαυμάζω^{viia3p}. **v.52** οὐ^{xo} γάρ^{c} συνίημι^{viaa3p} ἐπί^{p} ὁ^{ddmp} ἄρτος^{ndmp} εἰμί^{viix3s} γάρ^{c} ὁ^{dnfs} καρδία^{nnfs} αὐτός^{rpgmp} πωρόω^{vpxpnfs}.

54 καὶ προσωρμίσθησαν. καὶ ἐξελθόντων αὐτῶν ἐκ τοῦ πλοίου,
55 εὐθέως ἐπιγνόντες αὐτὸν, περιδραμόντες ὅλην τὴν περίχωρον
ἐκείνην, ἤρξαντο ἐπὶ τοῖς κραββάτοις τοὺς κακῶς ἔχοντας περι-
56 φέρειν, ὅπου ἤκουον ὅτι ἐκεῖ ἐστι. καὶ ὅπου ἂν εἰσεπορεύετο
εἰς κώμας ἢ πόλεις, ἢ ἀγρούς, ἐν ταῖς ἀγοραῖς ἐτίθουν τοὺς ἀ-
σθενοῦντας, καὶ παρεκάλουν αὐτὸν ἵνα κἂν τοῦ κρασπέδου τοῦ
ἱματίου αὐτοῦ ἅψωνται, καὶ ὅσοι ἂν ἥπτοντο αὐτοῦ ἐσώζοντο.

7 Καὶ συνάγονται πρὸς αὐτὸν οἱ Φαρισαῖοι, καί τινες τῶν γραμ-
2 ματέων, ἐλθόντες ἀπὸ Ἱεροσολύμων, καὶ ἰδόντες τινὰς τῶν μα-
θητῶν αὐτοῦ κοιναῖς χερσί, τοῦτ᾽ ἔστιν ἀνίπτοις, ἐσθίοντας ἄρ-
3 τους ἐμέμψαντο. οἱ γὰρ Φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι,
ἐὰν μὴ πυγμῇ νίψωνται τὰς χεῖρας, οὐκ ἐσθίουσι, κρατοῦντες
4 τὴν παράδοσιν τῶν πρεσβυτέρων, καὶ ἀπὸ ἀγορᾶς, ἐὰν μὴ βα-
πτίσωνται, οὐκ ἐσθίουσι, καὶ ἄλλα πολλά ἐστιν ἃ παρέλαβον
κρατεῖν, βαπτισμοὺς ποτηρίων καὶ ξεστῶν καὶ χαλκίων καὶ κλι-
5 νῶν. ἔπειτα ἐπερωτῶσιν αὐτὸν οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς,
Διὰτι οἱ μαθηταί σού οὐ περιπατοῦσιν κατὰ τὴν παράδοσιν τῶν
6 πρεσβυτέρων, ἀλλὰ ἀνίπτοις χερσὶν ἐσθίουσι τὸν ἄρτον· ὁ δὲ
ἀποκριθεὶς εἶπεν αὐτοῖς ὅτι Καλῶς προεφήτευσεν Ἡσαΐας περὶ
ὑμῶν τῶν ὑποκριτῶν, ὡς γέγραπται, Οὗτος ὁ λαὸς τοῖς χείλεσί

---

v.53 καί[c] διαπεράω[vpaanmp] ἔρχομαι[viaa3p] ἐπί[p] ὁ[dafs] γῆ[nafs] Γεννησαρέτ[tp] καί[c] προσορμίζω[viap3p]. **v.54** καί[c] ἐξέρχομαι[vpaagmp] αὐτός[rpgmp] ἐκ[p] ὁ[dgns] πλοῖον[ngns] εὐθέως[bo] ἐπιγινώσκω[vpaanmp] αὐτός[rpams]. **v.55** περιτρέχω[vpaanmp] ὅλος[aafsn] ὁ[dafs] περίχωρος[aafsn] ἐκεῖνος[rdafs] ἄρχω[viad3p] ἐπί[p] ὁ[ddmp] κράβαττος[ndmp] ὁ[damp] κακῶς[bo] ἔχω[vppaamp] περιφέρω[vnpa] ὅπου[bo] ἀκούω[viia3p] ὅτι[c] ἐκεῖ[bo] εἰμί[vipx3s]. **v.56** καί[c] ὅπου[bo] ἄν[xo] εἰσπορεύομαι[viin3s] εἰς[p] κώμη[nafp] ἤ[xo] πόλις[nafp] ἤ[xo] ἀγρός[namp] ἐν[p] ὁ[ddfp] ἀγορά[ndfp] τίθημι[viia3p] ὁ[damp] ἀσθενέω[vppaamp] καί[c] παρακαλέω[viia3p] αὐτός[rpams] ἵνα[c] κἄν[qo] ὁ[dgns] κράσπεδον[ngns] ὁ[dgns] ἱμάτιον[ngns] αὐτός[rpgms] ἅπτω[vsam3p] καί[c] ὅσος[rcnmp] ἄν[xo] ἅπτω[viin3p] αὐτός[rpgms] σῴζω[viip3p]. **7. v.1** καί[c] συνάγω[vipp3p] πρός[p] αὐτός[rpams] ὁ[dnmp] Φαρισαῖος[nnmp] καί[c] τι-σριvμπ ὁ[dgmp] γραμματεύς[ngmp] ἔρχομαι[vpaanmp] ἀπό[p] Ἱεροσόλυμα[ngnp]. **v.2** καί[c] ὁράω[vpaanmp] τι-σριαμπ ὁ[dgmp] μαθητής[ngmp] αὐτός[rpgms] κοινός[adfpn] χείρ[ndfp] οὗτος[rdnns] εἰμί[vipxa] ἄνιπτος[admpn] ἐσθίω[vppaamp] ἄρτος[namp] μέμφομαι[viad3p]. **v.3** ὁ[dnmp] γάρ[c] Φαρισαῖος[nnmp] καί[c] πᾶς[anmpn] ὁ[dnmp] Ἰουδαῖος[anmpn] ἐάν[qo] μή[xo] πυγμή[ndfs] νίπτω[vsam3p] ὁ[dafp] χείρ[nafp] οὐ[xo] ἐσθίω[vipa3p] κρατέω[vppanmp] ὁ[dafs] παράδοσις[nafs] ὁ[dgmp] πρεσβύτερος[agmpn]. **v.4** καί[c] ἀπό[p] ἀγορά[ngfs] ἐάν[qo] μή[xo] βαπτίζω[vsam3p] οὐ[xo] ἐσθίω[vipa3p] καί[c] ἄλλος[annpn] πολύς[annpn] εἰμί[vipx3s] ὅς[rranp] παραλαμβάνω[viaa3p] κρατέω[vnpa] βαπτισμός[namp] ποτήριον[ngnp] καί[c] ξέστης[ngmp] καί[c] χαλκίον[ngnp] καί[c] κλίνη[ngfp]. **v.5** ἔπειτα[bo] ἐπερωτάω[vipa3p] αὐτός[rpams] ὁ[dnmp] Φαρισαῖος[nnmp] καί[c] ὁ[dnmp] γραμματεύς[nnmp] διά&τίς[xo] ὁ[dnmp] μαθητής[nnmp] σύ[rpg-s] οὐ[xo] περιπατέω[vipa3p] κατά[p] ὁ[dafs] παράδοσις[nafs] ὁ[dgmp] πρεσβύτερος[agmpn] ἀλλά[c] ἄνιπτος[admpn] χείρ[ndfp] ἐσθίω[vipa3p] ὁ[dams] ἄρτος[nams].

με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ᾽ ἐμοῦ. μάτην δὲ 7
σέβονταί με, διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων.
ἀφέντες γὰρ τὴν ἐντολὴν τοῦ Θεοῦ, κρατεῖτε τὴν παράδοσιν 8
τῶν ἀνθρώπων, βαπτισμοὺς ξεστῶν καὶ ποτηρίων, καὶ ἄλλα πα-
ρόμοια τοιαῦτα πολλὰ ποιεῖτε. καὶ ἔλεγεν αὐτοῖς, Καλῶς ἀθε- 9
τεῖτε τὴν ἐντολὴν τοῦ Θεοῦ, ἵνα τὴν παράδοσιν ὑμῶν τηρήσητε.
Μωσῆς γὰρ εἶπε, Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, 10
καί, Ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω, ὑμεῖς 11
δὲ λέγετε, Ἐὰν εἴπῃ ἄνθρωπος τῷ πατρὶ ἢ τῇ μητρί, Κορβᾶν,
ὅ ἐστι, δῶρον, ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, καὶ οὐκέτι ἀφίετε 12
αὐτὸν οὐδὲν ποιῆσαι τῷ πατρὶ αὐτοῦ ἢ τῇ μητρὶ αὐτοῦ, ἀκυ- 13
ροῦντες τὸν λόγον τοῦ Θεοῦ τῇ παραδόσει ὑμῶν ᾗ παρεδώκατε,
καὶ παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε. καὶ προσκαλεσάμενος 14
πάντα τὸν ὄχλον, ἔλεγεν αὐτοῖς, Ἀκούετέ μου πάντες, καὶ συν-
ίετε. οὐδέν ἐστιν ἔξωθεν τοῦ ἀνθρώπου εἰσπορευόμενον εἰς 15
αὐτόν, ὃ δύναται αὐτὸν κοινῶσαι, ἀλλὰ τὰ ἐκπορευόμενα ἀπ᾽
αὐτοῦ, ἐκεῖνά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον. εἴ τις ἔχει ὦτα 16
ἀκούειν ἀκουέτω. καὶ ὅτε εἰσῆλθεν εἰς οἶκον ἀπὸ τοῦ ὄχλου, 17
ἐπηρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ περὶ τῆς παραβολῆς. καὶ 18
λέγει αὐτοῖς, Οὕτω καὶ ὑμεῖς ἀσύνετοί ἐστε· οὐ νοεῖτε ὅτι πᾶν

---

v.6 ὁ^{dnms} δέ^{c} ἀποκρίνομαι^{vpaonms} λέγω^{viaa3s} αὐτός^{rpdmp} ὅτι^{c} καλῶς^{bo} προφητεύω^{viaa3s} Ἡσαΐας^{nnms} περί^{p} σύ$^{rpg-p}$ ὁ^{dgmp} ὑποκριτής^{ngmp} ὡς^{bo} γράφω^{vixp3s} οὗτος^{rdnms} ὁ^{dnms} λαός^{nnms} ὁ^{ddnp} χεῖλος^{ndnp} ἐγώ$^{rpa-s}$ τιμάω^{vipa3s} ὁ^{dnfs} δέ^{c} καρδία^{nnfs} αὐτός^{rpgmp} πόρρω^{bo} ἀπέχω^{vipa3s} ἀπό^{p} ἐγώ$^{rpg-s}$. **v.7** μάτην^{bo} δέ^{c} σέβω^{vipn3p} ἐγώ$^{rpa-s}$ διδάσκω^{vppanmp} διδασκαλία^{nafp} ἔνταλμα^{nanp} ἄνθρωπος^{ngmp}. **v.8** ἀφίημι^{vpaanmp} γάρ^{c} ὁ^{dafs} ἐντολή^{nafs} ὁ^{dgms} θεός^{ngms} κρατέω^{vipa2p} ὁ^{dafs} παράδοσις^{nafs} ὁ^{dgmp} ἄνθρωπος^{ngmp} βαπτισμός^{namp} ξέστης^{ngmp} καί^{c} ποτήριον^{ngnp} καί^{c} ἄλλος^{aanpn} παρόμοιος^{aanpn} τοιοῦτος^{rdanp} πολύς^{aanpn} ποιέω^{vipa2p}. **v.9** καί^{c} λέγω^{viia3s} αὐτός^{rpdmp} καλῶς^{bo} ἀθετέω^{vipa2p} ὁ^{dafs} ἐντολή^{nafs} ὁ^{dgms} θεός^{ngms} ἵνα^{c} ὁ^{dafs} παράδοσις^{nafs} σύ$^{rpg-p}$ τηρέω^{vsaa2p}. **v.10** Μωϋσῆς^{nnms} γάρ^{c} λέγω^{viaa3s} τιμάω^{vdpa2s} ὁ^{dams} πατήρ^{nams} σύ$^{rpg-s}$ καί^{c} ὁ^{dafs} μήτηρ^{nafs} σύ$^{rpg-s}$ καί^{c} ὁ^{dnms} κακολογέω^{vppanms} πατήρ^{nams} ἤ^{xo} μήτηρ^{nafs} θάνατος^{ndms} τελευτάω^{vdpa3s}. **v.11** σύ$^{rpn-p}$ δέ^{c} λέγω^{vipa2p} ἐάν^{qo} λέγω^{vsaa3s} ἄνθρωπος^{nnms} ὁ^{ddms} πατήρ^{ndms} ἤ^{xo} ὁ^{ddfs} μήτηρ^{ndfs} κορβᾶνth ὅς^{rrnns} εἰμί^{vipx3s} δῶρον^{nnns} ὅς^{rrans} ἐάν^{qo} ἐκ^{p} ἐγώ$^{rpg-s}$ ὠφελέω^{vsap2s}. **v.12** καί^{c} οὐκέτι^{bo} ἀφίημι^{vipa2p} αὐτός^{rpams} οὐδείς^{aansn} ποιέω^{vnaa} ὁ^{ddms} πατήρ^{ndms} αὐτός^{rpgms} ἤ^{xo} ὁ^{ddfs} μήτηρ^{ndfs} αὐτός^{rpgms}. **v.13** ἀκυρόω^{vppanmp} ὁ^{dams} λόγος^{nams} ὁ^{dgms} θεός^{ngms} ὁ^{ddfs} παράδοσις^{ndfs} σύ$^{rpg-p}$ ὅς^{rrdfs} παραδίδωμι^{viaa2p} καί^{c} παρόμοιος^{aanpn} τοιοῦτος^{rdanp} πολύς^{aanpn} ποιέω^{vipa2p}. **v.14** καί^{c} προσκαλέομαι^{vpadnms} πᾶς^{aamsn} ὁ^{dams} ὄχλος^{nams} λέγω^{viia3s} αὐτός^{rpdmp} ἀκούω^{vdpa2p} ἐγώ$^{rpg-s}$ πᾶς^{anmpn} καί^{c} συνίημι^{vdpa2p}. **v.15** οὐδείς^{annsn} εἰμί^{vipx3s} ἔξωθεν^{bo} ὁ^{dgms} ἄνθρωπος^{ngms} εἰσπορεύομαι^{vppnnns} εἰς^{p} αὐτός^{rpams} ὅς^{rrnns} δύναμαι^{vipn3s} αὐτός^{rpams} κοινόω^{vnaa} ἀλλά^{c} ὁ^{dnnp} ἐκπορεύομαι^{vppnnnp} ἀπό^{p} αὐτός^{rpgms} ἐκεῖνος^{rdnnp} εἰμί^{vipx3s} ὁ^{dnnp} κοινόω^{vppannp} ὁ^{dams} ἄνθρωπος^{nams}. **v.16** εἰ^{qo} τίς^{rinms} ἔχω^{vipa3s} οὖς^{nanp} ἀκούω^{vnpa} ἀκούω^{vdpa3s}. **v.17** καί^{c} ὅτε^{bo} εἰσέρχομαι^{viaa3s} εἰς^{p} οἶκος^{nams} ἀπό^{p} ὁ^{dgms} ὄχλος^{ngms} ἐπερωτάω^{viia3p} αὐτός^{rpams} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} περί^{p} ὁ^{dgfs} παραβολή^{ngfs}.

τὸ ἔξωθεν εἰσπορευόμενον εἰς τὸν ἄνθρωπον οὐ δύναται αὐτὸν
19 κοινῶσαι, ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν καρδίαν, ἀλλ᾽
εἰς τὴν κοιλίαν, καὶ εἰς τὸν ἀφεδρῶνα ἐκπορεύεται, καθαρίζον
20 πάντα τὰ βρώματα. ἔλεγε δὲ ὅτι Τὸ ἐκ τοῦ ἀνθρώπου ἐκπο-
21 ρευόμενον, ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον. ἔσωθεν γάρ, ἐκ τῆς
καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται,
22 μοιχεῖαι, πορνεῖαι, φόνοι, κλοπαί πλεονεξίαι, πονηρίαι, δό-
λος, ἀσέλγεια, ὀφθαλμὸς πονηρός, βλασφημία, ὑπερηφανία,
23 ἀφροσύνη, πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται, καὶ
24 κοινοῖ τὸν ἄνθρωπον. Καὶ ἐκεῖθεν ἀναστὰς ἀπῆλθεν εἰς τὰ με-
θόρια Τύρου καὶ Σιδῶνος. καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν, οὐδένα
25 ἤθελε γνῶναι, καὶ οὐκ ἠδυνήθη λαθεῖν. ἀκούσασα γα῾ρ γυ-
νὴ περὶ αὐτοῦ, ἧς εἶχε τὸ θυγάτριον αὐτῆς πνεῦμα ἀκάθαρτον,
26 ἐλθοῦσα προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ, ἦν δὲ ἡ γυνὴ
῾Ελληνίς, Συροφοινίσσα τῷ γένει, καὶ ἠρώτα αὐτὸν ἵνα τὸ δαι-
27 μόνιον ἐκβάλλῃ ἐκ τῆς θυγατρὸς αὐτῆς. ὁ δὲ ᾿Ιησοῦς εἶπεν
αὐτῇ, Ἄφες πρῶτον χορτασθῆναι τὰ τέκνα, οὐ γὰρ καλόν ἐστι
28 λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις. ἡ δὲ
ἀπεκρίθη καὶ λέγει αὐτῷ, Ναὶ, Κύριε, καὶ γὰρ τὰ κυνάρια ὑ-
29 ποκάτω τῆς τραπέζης ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν παιδίων. καὶ

---

v.18 καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdmp} οὕτω^{bo} καί^{c} σύ$^{rpn\text{-}p}$ ἀσύνετος^{anmpn} εἰμί^{vipx2p} οὐ^{xo} νοέω^{vipa2p} ὅτι^{c} πᾶς^{annsn} ὁ^{dnns} ἔξωθεν^{bo} εἰσπορεύομαι^{vppnnns} εἰς^{p} ὁ^{dams} ἄνθρωπος^{nams} οὐ^{xo} δύναμαι^{vipn3s} αὐτός^{rpams} κοινόω^{vnaa}. **v.19** ὅτι^{c} οὐ^{xo} εἰσπορεύομαι^{vipn3s} αὐτός^{rpgms} εἰς^{p} ὁ^{dafs} καρδία^{nafs} ἀλλά^{c} εἰς^{p} ὁ^{dafs} κοιλία^{nafs} καί^{c} εἰς^{p} ὁ^{dams} ἀφεδρών^{nams} ἐκπορεύομαι^{vipn3s} καθαρίζω^{vppanns} πᾶς^{aanpn} ὁ^{danp} βρῶμα^{nanp}. **v.20** λέγω^{viia3s} δέ^{c} ὅτι^{c} ὁ^{dnns} ἐκ^{p} ὁ^{dgms} ἄνθρωπος^{ngms} ἐκπορεύομαι^{vppnnns} ἐκεῖνος^{rdnns} κοινόω^{vipa3s} ὁ^{dams} ἄνθρωπος^{nams}. **v.21** ἔσωθεν^{bo} γάρ^{c} ἐκ^{p} ὁ^{dgfs} καρδία^{ngfs} ὁ^{dgmp} ἄνθρωπος^{ngmp} ὁ^{dnmp} διαλογισμός^{nnmp} ὁ^{dnmp} κακός^{anmpn} ἐκπορεύομαι^{vipn3p} μοιχεία^{nnfp} πορνεία^{nnfp} φόνος^{nnmp}. **v.22** κλοπή^{nnfp} πλεονεξία^{nnfp} πονηρία^{nnfp} δόλος^{nnms} ἀσέλγεια^{nnfs} ὀφθαλμός^{nnms} πονηρός^{anmsn} βλασφημία^{nnfs} ὑπερηφανία^{nnfs} ἀφροσύνη^{nnfs}. **v.23** πᾶς^{annpn} οὗτος^{rdnnp} ὁ^{dnnp} πονηρός^{annpn} ἔσωθεν^{bo} ἐκπορεύομαι^{vipn3s} καί^{c} κοινόω^{vipa3s} ὁ^{dams} ἄνθρωπος^{nams}. **v.24** καί^{c} ἐκεῖθεν^{bo} ἀνίστημι^{vpaanms} ἀπέρχομαι^{viaa3s} εἰς^{p} ὁ^{danp} μεθόριον^{nanp} Τύρος^{ngfs} καί^{c} Σιδών^{ngfs} καί^{c} εἰσέρχομαι^{vpaanms} εἰς^{p} ὁ^{dafs} οἰκία^{nafs} οὐδείς^{aamsn} θέλω^{viia3s} γινώσκω^{vnaa} καί^{c} οὐ^{xo} δύναμαι^{viao3s} λανθάνω^{vnaa}. **v.25** ἀκούω^{vpaanfs} γάρ^{c} γυνή^{nnfs} περί^{p} αὐτός^{rpgms} ὅς^{rrgfs} ἔχω^{viia3s} ὁ^{dnns} θυγάτριον^{nnns} αὐτός^{rpgfs} πνεῦμα^{nans} ἀκάθαρτος^{aansn} ἔρχομαι^{vpaanfs} προσπίπτω^{viaa3s} πρός^{p} ὁ^{damp} πούς^{namp} αὐτός^{rpgms}. **v.26** εἰμί^{viix3s} δέ^{c} ὁ^{dnfs} γυνή^{nnfs} ῾Ελληνίς^{nnfs} Συροφοινίκισσα^{nnfs} ὁ^{ddns} γένος^{ndns} καί^{c} ἐρωτάω^{viia3s} αὐτός^{rpams} ἵνα^{c} ὁ^{dans} δαιμόνιον^{nans} ἐκβάλλω^{vspa3s} ἐκ^{p} ὁ^{dgfs} θυγάτηρ^{ngfs} αὐτός^{rpgfs}. **v.27** ὁ^{dnms} δέ^{c} ᾿Ιησοῦς^{nnms} λέγω^{viaa3s} αὐτός^{rpdfs} ἀφίημι^{vdaa2s} πρῶτος^{bo} χορτάζω^{vnap} ὁ^{danp} τέκνον^{nanp} οὐ^{xo} γάρ^{c} καλός^{annsn} εἰμί^{vipx3s} λαμβάνω^{vnaa} ὁ^{dams} ἄρτος^{nams} ὁ^{dgnp} τέκνον^{ngnp} καί^{c} βάλλω^{vnaa} ὁ^{ddnp} κυνάριον^{ndnp}. **v.28** ὁ^{dnfs} δέ^{c} ἀποκρίνομαι^{viad3s} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdms} ναί^{xo} κύριος^{nvms} καί^{c} γάρ^{c} ὁ^{dnnp} κυνάριον^{nnnp} ὑποκάτω^{bo} ὁ^{dgfs} τράπεζα^{ngfs} ἐσθίω^{vipa3s} ἀπό^{p} ὁ^{dgnp} ψιχίον^{ngnp} ὁ^{dgnp} παιδίον^{ngnp}.

εἶπεν αὐτῇ, Διὰ τοῦτον τὸν λόγον ὕπαγε, ἐξελήλυθε τὸ δαιμό-
νιον ἐκ τῆς θυγατρός σου. καὶ ἀπελθοῦσα εἰς τὸν οἶκον αὐτῆς, 30
εὗρε τὸ δαιμόνιον ἐξεληλυθός, καὶ τὴν θυγατέρα βεβλημένην
ἐπὶ τής κλίνης. Καὶ πάλιν ἐξελθὼν ἐκ τῶν ὁρίων Τύρου καὶ Σι- 31
δῶνος, ἦλθε πρὸς τὴν θάλασσαν τῆς Γαλιλαίας, ἀνὰ μέσον τῶν
ὁρίων Δεκαπόλεως. καὶ φέρουσιν αὐτῷ κωφὸν μογιλάλον, καὶ 32
παρακαλοῦσιν αὐτὸν ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα. καὶ ἀπολαβό- 33
μενος αὐτὸν ἀπὸ τοῦ ὄχλου κατ᾽ ἰδίαν, ἔβαλε τοὺς δακτύλους
αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ, καὶ πτύσας ἥψατο τῆς γλώσσης αὐτοῦ,
καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν, ἐστέναξε, καὶ λέγει αὐτῷ, Ἐφ- 34
φαθά, ὅ ἐστι, Διανοίχθητι. καὶ εὐθέως διηνοίχθησαν αὐτοῦ αἱ 35
ἀκοαί, καὶ ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ, καὶ ἐλάλει ὀρ-
θῶς. καὶ διεστείλατο αὐτοῖς ἵνα μηδενὶ εἴπωσιν, ὅσον δὲ αὐτὸς 36
αὐτοῖς διεστέλλετο, μᾶλλον περισσότερον ἐκήρυσσον. καὶ ὑ- 37
περπερισσῶς ἐξεπλήσσοντο, λέγοντες, Καλῶς πάντα πεποίηκε,
καὶ τοὺς κωφοὺς ποιεῖ ἀκούειν, καὶ τοὺς ἀλάλους λαλεῖν.

Ἐν ἐκείναις ταῖς ἡμέραις παμπόλλου ὄχλου ὄντος, καὶ μὴ **8**
ἐχόντων τί φάγωσι, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς μαθητὰς
αὐτοῦ λέγει αὐτοῖς, Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡ- 2
μέρας τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι, καὶ 3
ἐὰν ἀπολύσω αὐτοὺς νήστεις εἰς οἶκον αὐτῶν, ἐκλυθήσονται ἐν

---

δώδεκα, καὶ μετ᾽ αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων,
παρὰ τῶν ἀρχιερέων καὶ τῶν γραμματέων καὶ τῶν πρεσβυτέρων.
δεδώκει δὲ ὁ παραδιδοὺς αὐτὸν σύσσημον αὐτοῖς, λέγων, Ὃν 44
ἂν φιλήσω, αὐτός ἐστι, κρατήσατε αὐτόν, καὶ ἀπαγάγετε ἀσφα-
λῶς. καὶ ἐλθών, εὐθέως προσελθὼν αὐτῷ λέγει, Ῥαββί, ῥαββί, 45
καὶ κατεφίλησεν αὐτόν. οἱ δὲ ἐπέβαλον ἐπ᾽ αὐτὸν τὰς χεῖρας 46
αὐτῶν, καὶ ἐκράτησαν αὐτόν. εἷς δέ τις τῶν παρεστηκότων 47
σπασάμενος τὴν μάχαιραν ἔπαισε τὸν δοῦλον τοῦ ἀρχιερέως,
καὶ ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν 48
αὐτοῖς, Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλ-
λαβεῖν με· καθ᾽ ἡμέραν ἤμην πρὸς ὑμᾶς ἐν τῷ ἱερῷ διδάσκων, 49

---

v.38 γρηγορέω^{vdpa2p} καί^{c} προσεύχομαι^{vdpn2p} ἵνα^{c} μή^{xo} εἰσέρχομαι^{vsaa2p} εἰς^{p} πειρασμός^{nams} ὁ^{dnns} μέν^{xo} πνεῦμα^{nnns} πρόθυμος^{annsn} ὁ^{dnfs} δέ^{c} σάρξ^{nnfs} ἀσθενής^{anfsn}. **v.39** καί^{c} πάλιν^{bo} ἀπέρχομαι^{vpaanms} προσεύχομαι^{viad3s} ὁ^{dams} αὐτός^{rpams} λόγος^{nams} λέγω^{vpaanms}. **v.40** καί^{c} ὑποστρέφω^{vpaanms} εὑρίσκω^{viaa3s} αὐτός^{rpamp} πάλιν^{bo} καθεύδω^{vppaamp} εἰμί^{viix3p} γάρ^{c} ὁ^{dnmp} ὀφθαλμός^{nnmp} αὐτός^{rpgmp} βαρέω^{vpxpnmp} καί^{c} οὐ^{xo} οἶδα^{viya3p} τίς^{rqans} αὐτός^{rpdms} ἀποκρίνομαι^{vsao3p}. **v.41** καί^{c} ἔρχομαι^{vipn3s} ὁ^{dans} τρίτος^{aansn} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdmp} καθεύδω^{vipa2p} ὁ^{dans} λοιπός^{aansn} καί^{c} ἀναπαύω^{vipm2p} ἀπέχω^{vipa3s} ἔρχομαι^{viaa3s} ὁ^{dnfs} ὥρα^{nnfs} ἰδού^{vdaa2s} παραδίδωμι^{vipp3s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} εἰς^{p} ὁ^{dafp} χείρ^{nafp} ὁ^{dgmp} ἁμαρτωλός^{agmpn}. **v.42** ἐγείρω^{vdpe2p} ἄγω^{vspa1p} ἰδού^{vdaa2s} ὁ^{dnms} παραδίδωμι^{vppanms} ἐγώ$^{rpa-s}$ ἐγγίζω^{vixa3s}. **v.43** καί^{c} εὐθέως^{bo} ἔτι^{bo} αὐτός^{rpgms} λαλέω^{vppagms} παραγίνομαι^{vipn3s} Ἰούδας^{nnms} εἷς^{nnms} εἰμί^{vppxnms} ὁ^{dgmp} δώδεκα^{tn} καί^{c} μετά^{p} αὐτός^{rpgms} ὄχλος^{nnms} πολύς^{anmsn} μετά^{p} μάχαιρα^{ngfp} καί^{c} ξύλον^{ngnp} παρά^{p} ὁ^{dgmp} ἀρχιερεύς^{ngmp} καί^{c} ὁ^{dgmp} γραμματεύς^{ngmp} καί^{c} ὁ^{dgmp} πρεσβύτερος^{agmpn}. **v.44** δίδωμι^{viya3s} δέ^{c} ὁ^{dnms} παραδίδωμι^{vppanms} αὐτός^{rpams} σύσσημον^{nans} αὐτός^{rpdmp} λέγω^{vppanms} ὅς^{rrams} ἄν^{xo} φιλέω^{vsaa1s} αὐτός^{rpnms} εἰμί^{vipx3s} κρατέω^{vdaa2p} αὐτός^{rpams} καί^{c} ἀπάγω^{vdaa2p} ἀσφαλῶς^{bo}. **v.45** καί^{c} ἔρχομαι^{vpaanms} εὐθέως^{bo} προσέρχομαι^{vpaanms} αὐτός^{rpdms} λέγω^{vipa3s} ῥαββίth ῥαββίth καί^{c} καταφιλέω^{viaa3s} αὐτός^{rpams}. **v.46** ὁ^{dnmp} δέ^{c} ἐπιβάλλω^{viaa3p} ἐπί^{p} αὐτός^{rpams} ὁ^{dafp} χείρ^{nafp} αὐτός^{rpgmp} καί^{c} κρατέω^{viaa3p} αὐτός^{rpams}. **v.47** εἷς^{nnms} δέ^{c} τι-σρινμσ ὁ^{dgmp} παρίστημι^{vpxagmp} σπάω^{vpamnms} ὁ^{dafs} μάχαιρα^{nafs} παίω^{viaa3s} ὁ^{dams} δοῦλος^{nams} ὁ^{dgms} ἀρχιερεύς^{ngms} καί^{c} ἀφαιρέω^{viaa3s} αὐτός^{rpgms} ὁ^{dans} ὠτίον^{nans}. **v.48** καί^{c} ἀποκρίνομαι^{vpaonms} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} αὐτός^{rpdmp} ὡς^{bo} ἐπί^{p} λῃστής^{nams} ἐξέρχομαι^{viaa2p} μετά^{p} μάχαιρα^{ngfp} καί^{c} ξύλον^{ngnp} συλλαμβάνω^{vnaa} ἐγώ$^{rpa-s}$.

50 καὶ οὐκ ἐκρατήσατέ με, ἀλλ᾽ ἵνα πληρωθῶσιν αἱ γραφαί. καὶ
51 ἀφέντες αὐτὸν πάντες ἔφυγον. Καὶ εἷς τις νεανίσκος ἠκολού-
θει αὐτῷ, περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ. καὶ κρατοῦσιν
52 αὐτὸν οἱ νεανίσκοι, ὁ δὲ καταλιπὼν τὴν σινδόνα γυμνὸς ἔφυ-
53 γεν ἀπ᾽ αὐτῶν. Καὶ ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν ἀρχιερέα,
καὶ συνέρχονται αὐτῷ πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι
54 καὶ οἱ γραμματεῖς. καὶ ὁ Πέτρος ἀπὸ μακρόθεν ἠκολούθησεν
αὐτῷ ἕως ἔσω εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως, καὶ ἦν συγκαθήμε-
55 νος μετὰ τῶν ὑπηρετῶν, καὶ θερμαινόμενος πρὸς τὸ φῶς. οἱ
δὲ ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον ἐζήτουν κατὰ τοῦ Ἰησοῦ
56 μαρτυρίαν, εἰς τὸ θανατῶσαι αὐτόν, καὶ οὐχ εὕρισκον. πολ-
λοὶ γὰρ ἐψευδομαρτύρουν κατ᾽ αὐτοῦ, καὶ ἴσαι αἱ μαρτυρίαι
57 οὐκ ἦσαν. καί τινες ἀναστάντες ἐψευδομαρτύρουν κατ᾽ αὐ-
58 τοῦ λέγοντες. ὅτι Ἡμεῖς ἠκούσαμεν αὐτοῦ λέγοντος ὅτι Ἐγὼ
καταλύσω τὸν ναὸν τοῦτον τὸν χειροποίητον, καὶ διὰ τριῶν ἡ-
59 μερῶν ἄλλον ἀχειροποίητον οἰκοδομήσω. καὶ οὐδὲ οὕτως ἴση
60 ἦν ἡ μαρτυρία αὐτῶν. καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἰς τὸ μέσον
ἐπηρώτησε τὸν Ἰησοῦν, λέγων, Οὐκ ἀποκρίνῃ οὐδέν· τί οὗτοί
61 σου καταμαρτυροῦσιν· ὁ δὲ ἐσιώπα, καὶ οὐδὲν ἀπεκρίνατο.
πάλιν ὁ ἀρχιερεὺς ἐπηρώτα αὐτόν, καὶ λέγει αὐτῷ, Σὺ εἶ ὁ Χρι-

---

v.49 κατάp ἡμέραnafs εἰμίviix1s πρόςp σύrpa-p ἐνp ὁddns ἱερόνndns διδάσκωvppanms καίc οὐxo κρατέωviaa2p ἐγώrpa-s ἀλλάc ἵναc πληρόωvsap3p ὁdnfp γραφήnnfp. **v.50** καίc ἀφίημιvpaanmp αὐτόςrpams πᾶςanmpn φεύγωviaa3p. **v.51** καίc εἷςnnms τι-σρινμσ νεανίσκοςnnms ἀκολουθέωviia3s αὐτόςrpdms περιβάλλωvpxpnms σινδώνnafs ἐπίp γυμνόςagnsn καίc κρατέωvipa3p αὐτόςrpams ὁdnmp νεανίσκοςnnmp. **v.52** ὁdnms δέc καταλείπωvpaanms ὁdafs σινδώνnafs γυμνόςanmsn φεύγωviaa3s ἀπόp αὐτόςrpgmp. **v.53** καίc ἀπάγωviaa3p ὁdams Ἰησοῦςnams πρόςp ὁdams ἀρχιερεύςnams καίc συνέρχομαιvipn3p αὐτόςrpdms πᾶςanmpn ὁdnmp ἀρχιερεύςnnmp καίc ὁdnmp πρεσβύτεροςanmpn καίc ὁdnmp γραμματεύςnnmp. **v.54** καίc ὁdnms Πέτροςnnms ἀπόp μακρόθενbo ἀκολουθέωviaa3s αὐτόςrpdms ἕωςc ἔσωbo εἰςp ὁdafs αὐλήnafs ὁdgms ἀρχιερεύςngms καίc εἰμίviix3s συγκάθημαιvppnnms μετάp ὁdgmp ὑπηρέτηςngmp καίc θερμαίνομαιvppmnms πρόςp ὁdans φῶςnans. **v.55** ὁdnmp δέc ἀρχιερεύςnnmp καίc ὅλοςannsn ὁdnns συνέδριονnnns ζητέωviia3p κατάp ὁdgms Ἰησοῦςngms μαρτυρίαnafs εἰςp ὁdans θανατόωvnaa αὐτόςrpams καίc οὐxo εὑρίσκωviia3p. **v.56** πολύςanmpn γάρc ψευδομαρτυρέωviia3p κατάp αὐτόςrpgms καίc ἴσοςanfpn ὁdnfp μαρτυρίαnnfp οὐxo εἰμίviix3p. **v.57** καίc τι-σρινμπ ἀνίστημιvpaanmp ψευδομαρτυρέωviia3p κατάp αὐτόςrpgms λέγωvppanmp. **v.58** ὅτιc ἐγώrpn-p ἀκούωviaa1p αὐτόςrpgms λέγωvppagms ὅτιc ἐγώrpn-s καταλύωvifa1s ὁdams ναόςnams οὗτοςrdams ὁdams χειροποίητοςaamsn καίc διάp τρεῖςngfp ἡμέραngfp ἄλλοςaamsn ἀχειροποίητοςaamsn οἰκοδομέωvifa1s. **v.59** καίc οὐδέbo οὕτωbo ἴσοςanfsn εἰμίviix3s ὁdnfs μαρτυρίαnnfs αὐτόςrpgmp. **v.60** καίc ἀνίστημιvpaanms ὁdnms ἀρχιερεύςnnms εἰςp ὁdans μέσοςaansn ἐπερωτάωviaa3s ὁdams Ἰησοῦςnams λέγωvppanms οὐxo ἀποκρίνομαιvipn2s οὐδείςaansn τίςrqans οὗτοςrdnmp σύrpg-s καταμαρτυρέωvipa3p.

στός, ὁ υἱὸς τοῦ εὐλογητοῦ· ὁ δὲ Ἰησοῦς εἶπεν, Ἐγώ εἰμι. καὶ 62
ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυ-
νάμεως, καὶ ἐρχόμενον μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ. ὁ δὲ 63
ἀρχιερεὺς διαρρήξας τοὺς χιτῶνας αὐτοῦ λέγει, Τί ἔτι χρείαν
ἔχομεν μαρτύρων· ἠκούσατε τῆς βλασφημίας, τί ὑμῖν φαίνε- 64
ται· οἱ δὲ πάντες κατέκριναν αὐτὸν εἶναι ἔνοχον θανάτου. καὶ 65
ἤρξαντό τινες ἐμπτύειν αὐτῷ, καὶ περικαλύπτειν τὸ πρόσωπον
αὐτοῦ, καὶ κολαφίζειν αὐτόν, καὶ λέγειν αὐτῷ, Προφήτευσον,
καὶ οἱ ὑπηρέται ῥαπίσμασιν αὐτὸν ἔβαλλον. Καὶ ὄντος τοῦ 66
Πέτρου ἐν τῇ αὐλῇ κάτω, ἔρχεται μία τῶν παιδισκῶν τοῦ ἀρ-
χιερέως, καὶ ἰδοῦσα τὸν Πέτρον θερμαινόμενον, ἐμβλέψασα 67
αὐτῷ λέγει, Καὶ σὺ μετὰ τοῦ Ναζαρηνοῦ Ἰησοῦ ἦσθα. ὁ δὲ 68
ἠρνήσατο, λέγων, Οὐκ οἶδα, οὐδὲ ἐπίσταμαι τί σὺ λέγεις. καὶ
ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον, καὶ ἀλέκτωρ ἐφώνησε. καὶ ἡ 69
παιδίσκη ἰδοῦσα αὐτὸν πάλιν ἤρξατο λέγειν τοῖς παρεστηκόσιν
ὅτι Οὗτος ἐξ αὐτῶν ἐστίν. ὁ δὲ πάλιν ἠρνεῖτο. καὶ μετὰ μικρὸν 70
πάλιν οἱ παρεστῶτες ἔλεγον τῷ Πέτρῳ, Ἀληθῶς ἐξ αὐτῶν εἶ, καὶ
γὰρ Γαλιλαῖος εἶ, καὶ ἡ λαλιά σου ὁμοιάζει. ὁ δὲ ἤρξατο ἀνα- 71
θεματίζειν καὶ ὀμνύειν ὅτι Οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον ὃν
λέγετε. καὶ ἐκ δευτέρου ἀλέκτωρ ἐφώνησε. καὶ ἀνεμνήσθη ὁ 72

---

v.61 ὁ^{dnms} δέ^{c} σιωπάω^{viia3s} καί^{c} οὐδείς^{aansn} ἀποκρίνομαι^{viad3s} πάλιν^{bo} ὁ^{dnms} ἀρχιερεύς^{nnms} ἐπερωτάω^{viia3s} αὐτός^{rpams} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdms} σύ$^{rpn-s}$ εἰμί^{vipx2s} ὁ^{dnms} Χριστός^{nnms} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} εὐλογητός^{agmsn}. **v.62** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} ἐγώ$^{rpn-s}$ εἰμί^{vipx1s} καί^{c} ὁράω^{vifd2p} ὁ^{dams} υἱός^{nams} ὁ^{dgms} ἄνθρωπος^{ngms} κάθημαι^{vppnams} ἐκ^{p} δεξιός^{agmpn} ὁ^{dgfs} δύναμις^{ngfs} καί^{c} ἔρχομαι^{vppnams} μετά^{p} ὁ^{dgfp} νεφέλη^{ngfp} ὁ^{dgms} οὐρανός^{ngms}. **v.63** ὁ^{dnms} δέ^{c} ἀρχιερεύς^{nnms} διαρρήγνυμι^{vpaanms} ὁ^{damp} χιτών^{namp} αὐτός^{rpgms} λέγω^{vipa3s} τίς^{rqans} ἔτι^{bo} χρεία^{nafs} ἔχω^{vipa1p} μάρτυς^{ngmp}. **v.64** ἀκούω^{viaa2p} ὁ^{dgfs} βλασφημία^{ngfs} τίς^{rqans} σύ$^{rpd-p}$ φαίνω^{vipe3s} ὁ^{dnmp} δέ^{c} πᾶς^{anmpn} κατακρίνω^{viaa3p} αὐτός^{rpams} εἰμί^{vnpx} ἔνοχος^{aamsn} θάνατος^{ngms}. **v.65** καί^{c} ἄρχω^{viad3p} τι-σρινμπ ἐμπτύω^{vnpa} αὐτός^{rpdms} καί^{c} περικαλύπτω^{vnpa} ὁ^{dans} πρόσωπον^{nans} αὐτός^{rpgms} καί^{c} κολαφίζω^{vnpa} αὐτός^{rpams} καί^{c} λέγω^{vnpa} αὐτός^{rpdms} προφητεύω^{vdaa2s} καί^{c} ὁ^{dnmp} ὑπηρέτης^{nnmp} ῥάπισμα^{ndnp} αὐτός^{rpams} βάλλω^{viia3p}. **v.66** καί^{c} εἰμί^{vppxgms} ὁ^{dgms} Πέτρος^{ngms} ἐν^{p} ὁ^{ddfs} αὐλή^{ndfs} κάτω^{bo} ἔρχομαι^{vipn3s} εἷς^{nnfs} ὁ^{dgfp} παιδίσκη^{ngfp} ὁ^{dgms} ἀρχιερεύς^{ngms}. **v.67** καί^{c} ὁράω^{vpaanfs} ὁ^{dams} Πέτρος^{nams} θερμαίνομαι^{vppmams} ἐμβλέπω^{vpaanfs} αὐτός^{rpdms} λέγω^{vipa3s} καί^{c} σύ$^{rpn-s}$ μετά^{p} ὁ^{dgms} Ναζαρηνός^{ngms} Ἰησοῦς^{ngms} εἰμί^{viix2s}. **v.68** ὁ^{dnms} δέ^{c} ἀρνέομαι^{viad3s} λέγω^{vppanms} οὐ^{xo} οἶδα^{vixa1s} οὐδέ^{bo} ἐπίσταμαι^{vipn1s} τίς^{rqans} σύ$^{rpn-s}$ λέγω^{vipa2s} καί^{c} ἐξέρχομαι^{viaa3s} ἔξω^{bo} εἰς^{p} ὁ^{dans} προαύλιον^{nans} καί^{c} ἀλέκτωρ^{nnms} φωνέω^{viaa3s}. **v.69** καί^{c} ὁ^{dnfs} παιδίσκη^{nnfs} ὁράω^{vpaanfs} αὐτός^{rpams} πάλιν^{bo} ἄρχω^{viad3s} λέγω^{vnpa} ὁ^{ddmp} παρίστημι^{vpxadmp} ὅτι^{c} οὗτος^{rdnms} ἐκ^{p} αὐτός^{rpgmp} εἰμί^{vipx3s}. **v.70** ὁ^{dnms} δέ^{c} πάλιν^{bo} ἀρνέομαι^{viin3s} καί^{c} μετά^{p} μικρός^{aamsn} πάλιν^{bo} ὁ^{dnmp} παρίστημι^{vpxanmp} λέγω^{viia3p} ὁ^{ddms} Πέτρος^{ndms} ἀληθῶς^{bo} ἐκ^{p} αὐτός^{rpgmp} εἰμί^{vipx2s} καί^{c} γάρ^{c} Γαλιλαῖος^{nnms} εἰμί^{vipx2s} καί^{c} ὁ^{dnfs} λαλιά^{nnfs} σύ$^{rpg-s}$ ὁμοιάζω^{vipa3s}. **v.71** ὁ^{dnms} δέ^{c} ἄρχω^{viad3s} ἀναθεματίζω^{vnpa} καί^{c} ὀμνύω^{vnpa} ὅτι^{c} οὐ^{xo} οἶδα^{vixa1s} ὁ^{dams} ἄνθρωπος^{nams} οὗτος^{rdams} ὅς^{rrams} λέγω^{vipa2p}.

Πέτρος τοῦ ῥήματος οὗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι Πρὶν ἀλέκτορα φωνῆσαι δίς, ἀπαρνήσῃ με τρίς. καὶ ἐπιβαλὼν ἔκλαιε.

15 Καὶ εὐθέως ἐπὶ τὸ πρωῒ συμβούλιον ποιήσαντες οἱ ἀρχιερεῖς μετὰ τῶν πρεσβυτέρων καὶ γραμματέων, καὶ ὅλον τὸ συνέδριον, δήσαντες τὸν Ἰησοῦν ἀπήνεγκαν καὶ παρέδωκαν τῷ Πιλάτῳ. 2 καὶ ἐπηρώτησεν αὐτὸν ὁ Πιλάτος, Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰου- 3 δαίων· ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ, Σὺ λέγεις. καὶ κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά, αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο. 4 ὁ δὲ Πιλάτος πάλιν ἐπηρώτησεν αὐτόν, λέγων, Οὐκ ἀποκρίνῃ 5 οὐδέν· ἴδε, πόσα σου καταμαρτυροῦσιν. ὁ δὲ Ἰησοῦς οὐκέτι 6 οὐδὲν ἀπεκρίθη, ὥστε θαυμάζειν τὸν Πιλάτον. Κατὰ δὲ ἑορτὴν 7 ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον, ὅνπερ ᾐτοῦντο. ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς μετὰ τῶν συστασιαστῶν δεδεμένος, οἵτινες ἐν τῇ 8 στάσει φόνον πεποιήκεισαν. καὶ ἀναβοήσας ὁ ὄχλος ἤρξατο 9 αἰτεῖσθαι καθὼς ἀεί ἐποίει αὐτοῖς. ὁ δὲ Πιλάτος ἀπεκρίθη αὐτοῖς, λέγων, Θέλετε ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων· 10 ἐγίνωσκε γὰρ ὅτι διὰ φθόνον παραδεδώκεισαν αὐτὸν οἱ ἀρχι- 11 ερεῖς. οἱ δὲ ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον, ἵνα μᾶλλον τὸν 12 Βαραββᾶν ἀπολύσῃ αὐτοῖς. ὁ δὲ Πιλάτος ἀποκριθεὶς πάλιν εἶπεν αὐτοῖς, Τί οὖν θέλετε ποιήσω ὃν λέγετε βασιλέα τῶν Ἰου-

---

v.72 καί[c] ἐκ[p] δεύτερος[agnsn] ἀλέκτωρ[nnms] φωνέω[viaa3s] καί[c] ἀναμιμνήσκω[viap3s] ὁ[dnms] Πέτρος[nnms] ὁ[dgns] ῥῆμα[ngns] ὅς[rrgns] λέγω[viaa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ὅτι[c] πρίν[bo] ἀλέκτωρ[nams] φωνέω[vnaa] δίς[bo] ἀπαρνέομαι[vifd2s] ἐγώ[rpa-s] τρίς[bo] καί[c] ἐπιβάλλω[vpaanms] κλαίω[viia3s]. **15. v.1** καί[c] εὐθέως[bo] ἐπί[p] ὁ[dans] πρωΐ[bo] συμβούλιον[nans] ποιέω[vpaanmp] ὁ[dnmp] ἀρχιερεύς[nnmp] μετά[p] ὁ[dgmp] πρεσβύτερος[agmpn] καί[c] γραμματεύς[ngmp] καί[c] ὅλος[annsn] ὁ[dnns] συνέδριον[nnns] δέω[vpaanmp] ὁ[dams] Ἰησοῦς[nams] ἀποφέρω[viaa3p] καί[c] παραδίδωμι[viaa3p] ὁ[ddms] Πιλᾶτος[ndms]. **v.2** καί[c] ἐπερωτάω[viaa3s] αὐτός[rpams] ὁ[dnms] Πιλᾶτος[nnms] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] βασιλεύς[nnms] ὁ[dgmp] Ἰουδαῖος[agmpn] ὁ[dnms] δέ[c] ἀποκρίνομαι[vpaonms] λέγω[viaa3s] αὐτός[rpdms] σύ[rpn-s] λέγω[vipa2s]. **v.3** καί[c] κατηγορέω[viia3p] αὐτός[rpgms] ὁ[dnmp] ἀρχιερεύς[nnmp] πολύς[aanpn] αὐτός[rpnms] δέ[c] οὐδείς[aansn] ἀποκρίνομαι[viad3s]. **v.4** ὁ[dnms] δέ[c] Πιλᾶτος[nnms] πάλιν[bo] ἐπερωτάω[viaa3s] αὐτός[rpams] λέγω[vppanms] οὐ[xo] ἀποκρίνομαι[vipn2s] οὐδείς[aansn] ἴδε[i] πόσος[roanp] σύ[rpg-s] καταμαρτυρέω[vipa3p]. **v.5** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] οὐκέτι[bo] οὐδείς[aansn] ἀποκρίνομαι[viad3s] ὥστε[c] θαυμάζω[vnpa] ὁ[dams] Πιλᾶτος[nams]. **v.6** κατά[p] δέ[c] ἑορτή[nafs] ἀπολύω[viia3s] αὐτός[rpdmp] εἷς[nams] δέσμιος[nams] ὅσπερ[rrams] αἰτέω[viim3p]. **v.7** εἰμί[viix3s] δέ[c] ὁ[dnms] λέγω[vpppnms] Βαραββᾶς[nnms] μετά[p] ὁ[dgmp] συστασιαστής[ngmp] δέω[vpxpnms] ὅστις[rrnmp] ἐν[p] ὁ[ddfs] στάσις[ndfs] φόνος[nams] ποιέω[viya3p]. **v.8** καί[c] ἀναβοάω[vpaanms] ὁ[dnms] ὄχλος[nnms] ἄρχω[viad3s] αἰτέω[vnpm] καθώς[bo] ἀεί[bo] ποιέω[viia3s] αὐτός[rpdmp]. **v.9** ὁ[dnms] δέ[c] Πιλᾶτος[nnms] ἀποκρίνομαι[viad3s] αὐτός[rpdmp] λέγω[vppanms] θέλω[vipa2p] ἀπολύω[vsaa1s] σύ[rpd-p] ὁ[dams] βασιλεύς[nams] ὁ[dgmp] Ἰουδαῖος[agmpn]. **v.10** γινώσκω[viia3s] γάρ[c] ὅτι[c] διά[p] φθόνος[nams] παραδίδωμι[viya3p] αὐτός[rpams] ὁ[dnmp] ἀρχιερεύς[nnmp]. **v.11** ὁ[dnmp] δέ[c] ἀρχιερεύς[nnmp] ἀνασείω[viaa3p] ὁ[dams] ὄχλος[nams] ἵνα[c] μᾶλλον[bo] ὁ[dams] Βαραββᾶς[nams] ἀπολύω[vsaa3s] αὐτός[rpdmp].

δαίων· οἱ δὲ πάλιν ἔκραξαν, Σταύρωσον αὐτόν. ὁ δὲ Πιλάτος ἔλεγεν αὐτοῖς, Τί γὰρ κακὸν ἐποίησεν· οἱ δὲ περισσοτέρως ἔκραξαν, Σταύρωσον αὐτόν. ὁ δὲ Πιλάτος βουλόμενος τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι, ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, καὶ παρέδωκε τὸν Ἰησοῦν, φραγελλώσας, ἵνα σταυρωθῇ. Οἱ δὲ στρατιῶται ἀπήγαγον αὐτὸν ἔσω τῆς αὐλῆς, ὅ ἐστι πραιτώριον, καὶ συγκαλοῦσιν ὅλην τὴν σπεῖραν, καὶ ἐνδύουσιν αὐτὸν πορφύραν, καὶ περιτιθέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον, καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτόν, Χαῖρε, βασιλεῦ τῶν Ἰουδαίων, καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ, καὶ ἐνέπτυον αὐτῷ, καὶ τιθέντες τὰ γόνατα προσεκύνουν αὐτῷ. καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν πορφύραν, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια. Καὶ ἐξάγουσιν αὐτὸν ἵνα σταυρώσωσιν αὐτόν. καὶ ἀγγαρεύουσι παράγοντά τινα Σίμωνα Κυρηναῖον, ἐρχόμενον ἀπ᾽ ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. καὶ φέρουσιν αὐτὸν ἐπὶ Γολγοθᾶ τόπον, ὅ ἐστι μεθερμηνευόμενον, κρανίου τόπος. καὶ ἐδίδουν αὐτῷ πιεῖν ἐσμυρνισμένον οἶνον, ὁ δὲ οὐκ ἔλαβε. καὶ σταυρώσαντες αὐτόν, διεμερίζον τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον ἐπ᾽ αὐτά, τίς τί ἄρῃ. ἦν δὲ ὥρα τρίτη, καὶ ἐσταύρωσαν αὐτόν. καὶ

13, 14 15 16 17 18 19 20 21 22 23 24 25, 26

---

v.12 ὁ^{dnms} δέ^{c} Πιλᾶτος^{nnms} ἀποκρίνομαι^{vpaonms} πάλιν^{bo} λέγω^{viaa3s} αὐτός^{rpdmp} τίς^{rqans} οὖν^{c} θέλω^{vipa2p} ποιέω^{vsaa1s} ὅς^{rrams} λέγω^{vipa2p} βασιλεύς^{nams} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn}. **v.13** ὁ^{dnmp} δέ^{c} πάλιν^{bo} κράζω^{viaa3p} σταυρόω^{vdaa2s} αὐτός^{rpams}. **v.14** ὁ^{dnms} δέ^{c} Πιλᾶτος^{nnms} λέγω^{viia3s} αὐτός^{rpdmp} τίς^{rqans} γάρ^{c} κακός^{aansn} ποιέω^{viaa3s} ὁ^{dnmp} δέ^{c} περισσοτέρως^{bo} κράζω^{viaa3p} σταυρόω^{vdaa2s} αὐτός^{rpams}. **v.15** ὁ^{dnms} δέ^{c} Πιλᾶτος^{nnms} βούλομαι^{vppnnms} ὁ^{ddms} ὄχλος^{ndms} ὁ^{dans} ἱκανός^{aansn} ποιέω^{vnaa} ἀπολύω^{viaa3s} αὐτός^{rpdmp} ὁ^{dams} Βαραββᾶς^{nams} καί^{c} παραδίδωμι^{viaa3s} ὁ^{dams} Ἰησοῦς^{nams} φραγελλόω^{vpaanms} ἵνα^{c} σταυρόω^{vsap3s}. **v.16** ὁ^{dnmp} δέ^{c} στρατιώτης^{nnmp} ἀπάγω^{viaa3p} αὐτός^{rpams} ἔσω^{bo} ὁ^{dgfs} αὐλή^{ngfs} ὅς^{rrnns} εἰμί^{vipx3s} πραιτώριον^{nnns} καί^{c} συγκαλέω^{vipa3p} ὅλος^{aafsn} ὁ^{dafs} σπεῖρα^{nafs}. **v.17** καί^{c} ἐνδύω^{vipa3p} αὐτός^{rpams} πορφύρα^{nafs} καί^{c} περιτίθημι^{vipa3s} αὐτός^{rpdms} πλέκω^{vpaanmp} ἀκάνθινος^{aamsn} στέφανος^{nams}. **v.18** καί^{c} ἄρχω^{viad3p} ἀσπάζομαι^{vnpn} αὐτός^{rpams} χαίρω^{vdpa2s} βασιλεύς^{nvms} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn}. **v.19** καί^{c} τύπτω^{viia3p} αὐτός^{rpgms} ὁ^{dafs} κεφαλή^{nafs} κάλαμος^{ndms} καί^{c} ἐμπτύω^{viia3p} αὐτός^{rpdms} καί^{c} τίθημι^{vppanmp} ὁ^{danp} γόνυ^{nanp} προσκυνέω^{viia3p} αὐτός^{rpdms}. **v.20** καί^{c} ὅτε^{bo} ἐμπαίζω^{viaa3p} αὐτός^{rpdms} ἐκδύω^{viaa3p} αὐτός^{rpams} ὁ^{dafs} πορφύρα^{nafs} καί^{c} ἐνδύω^{viaa3p} αὐτός^{rpams} ὁ^{danp} ἱμάτιον^{nanp} ὁ^{danp} ἴδιος^{aanpn} καί^{c} ἐξάγω^{vipa3p} αὐτός^{rpams} ἵνα^{c} σταυρόω^{vsaa3p} αὐτός^{rpams}. **v.21** καί^{c} ἀγγαρεύω^{vipa3p} παράγω^{vppaams} τι-σριαμσ Σίμων^{nams} Κυρηναῖος^{nams} ἔρχομαι^{vppnams} ἀπό^{p} ἀγρός^{ngms} ὁ^{dams} πατήρ^{nams} Ἀλέξανδρος^{ngms} καί^{c} Ῥοῦφος^{ngms} ἵνα^{c} αἴρω^{vsaa3s} ὁ^{dams} σταυρός^{nams} αὐτός^{rpgms}. **v.22** καί^{c} φέρω^{vipa3p} αὐτός^{rpams} ἐπί^{p} Γολγοθᾶ^{nafs} τόπος^{nams} ὅς^{rrnns} εἰμί^{vipx3s} μεθερμηνεύω^{vpppnns} κρανίον^{ngns} τόπος^{nnms}. **v.23** καί^{c} δίδωμι^{viia3p} αὐτός^{rpdms} πίνω^{vnaa} σμυρνίζω^{vpxpams} οἶνος^{nams} ὁ^{dnms} δέ^{c} οὐ^{xo} λαμβάνω^{viaa3s}. **v.24** καί^{c} σταυρόω^{vpaanmp} αὐτός^{rpams} διαμερίζω^{viia3p} ὁ^{danp} ἱμάτιον^{nanp} αὐτός^{rpgms} βάλλω^{vppanmp} κλῆρος^{nams} ἐπί^{p} αὐτός^{rpanp} τίς^{rqnms} τίς^{rqans} αἴρω^{vsaa3s}. **v.25** εἰμί^{viix3s} δέ^{c} ὥρα^{nnfs} τρίτος^{anfsn} καί^{c} σταυρόω^{viaa3p} αὐτός^{rpams}.

ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη, Ὁ Βασιλεὺς
27 τῶν Ἰουδαίων. καὶ σὺν αὐτῷ σταυροῦσι δύο λῃστάς, ἕνα ἐκ
28 δεξιῶν καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ. καὶ ἐπληρώθη ἡ γραφὴ
29 ἡ λέγουσα, Καὶ μετὰ ἀνόμων ἐλογίσθη. καὶ οἱ παραπορευό-
μενοι ἐβλασφήμουν αὐτόν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ
λέγοντες, Οὐά, ὁ καταλύων τὸν ναόν, καὶ ἐν τρισὶν ἡμέραις
30, 31 οἰκοδομῶν, σῶσον σεαυτόν, καὶ κατάβα ἀπὸ τοῦ σταυροῦ. ὁ-
μοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλους μετὰ τῶν
γραμματέων ἔλεγον, Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶ-
32 σαι. ὁ Χριστὸς ὁ βασιλεὺς τοῦ Ἰσραὴλ καταβάτω νῦν ἀπὸ τοῦ
σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν. καὶ οἱ συνεσταυρωμέ-
33 νοι αὐτῷ ὠνείδιζον αὐτόν. Γενομένης δὲ ὥρας ἕκτης, σκότος
34 ἐγένετο ἐφ᾽ ὅλην τὴν γῆν ἕως ὥρας ἐννάτης. καὶ τῇ ὥρᾳ τῇ
ἐννάτῃ ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων, Ἐλωΐ Ἐλωΐ,
λαμμᾶ σαβαχθανί· ὅ ἐστι μεθερμηνευόμενον, Ὁ Θεός μου, ὁ
35 Θεός μου, εἰς τί με ἐγκατέλιπες· καί τινες τῶν παρεστηκότων
36 ἀκούσαντες ἔλεγον, Ἰδού, Ἠλίαν φωνεῖ. δραμὼν δέ εἷς, καὶ
γεμίσας σπόγγον ὄξους, περιθείς τε καλάμῳ, ἐπότιζεν αὐτόν,
37 λέγων, Ἄφετε, ἴδωμεν εἰ ἔρχεται Ἠλίας καθελεῖν αὐτόν. ὁ δὲ
38 Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην ἐξέπνευσε. καὶ τὸ καταπέτα-

---

v.26 καί^{c} εἰμί^{viix3s} ὁ^{dnfs} ἐπιγραφή^{nnfs} ὁ^{dgfs} αἰτία^{ngfs} αὐτός^{rpgms} ἐπιγράφω^{vpxpnfs} ὁ^{dnms} βασιλεύς^{nnms} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn}. **v.27** καί^{c} σύν^{p} αὐτός^{rpdms} σταυρόω^{vipa3p} δύο^{tn} λῃστής^{namp} εἷς^{nams} ἐκ^{p} δεξιός^{agmpn} καί^{c} εἷς^{nams} ἐκ^{p} εὐώνυμος^{agmpn} αὐτός^{rpgms}. **v.28** καί^{c} πληρόω^{viap3s} ὁ^{dnfs} γραφή^{nnfs} ὁ^{dnfs} λέγω^{vppanfs} καί^{c} μετά^{p} ἄνομος^{agmpn} λογίζομαι^{viap3s}. **v.29** καί^{c} ὁ^{dnmp} παραπορεύομαι^{vppnnmp} βλασφημέω^{viia3p} αὐτός^{rpams} κινέω^{vppanmp} ὁ^{dafp} κεφαλή^{nafp} αὐτός^{rpgmp} καί^{c} λέγω^{vppanmp} οὐά^{i} ὁ^{dnms} καταλύω^{vppanms} ὁ^{dams} ναός^{nams} καί^{c} ἐν^{p} τρεῖς^{ndfp} ἡμέρα^{ndfp} οἰκοδομέω^{vppanms}. **v.30** σῴζω^{vdaa2s} σεαυτοῦ^{rxams} καί^{c} καταβαίνω^{vdaa2s} ἀπό^{p} ὁ^{dgms} σταυρός^{ngms}. **v.31** ὁμοίως^{bo} δέ^{c} καί^{c} ὁ^{dnmp} ἀρχιερεύς^{nnmp} ἐμπαίζω^{vppanmp} πρός^{p} ἀλλήλων^{reamp} μετά^{p} ὁ^{dgmp} γραμματεύς^{ngmp} λέγω^{viia3p} ἄλλος^{aampn} σῴζω^{viaa3s} ἑαυτοῦ^{rxams} οὐ^{xo} δύναμαι^{vipn3s} σῴζω^{vnaa}. **v.32** ὁ^{dnms} Χριστός^{nnms} ὁ^{dnms} βασιλεύς^{nnms} ὁ^{dgms} Ἰσραήλ^{tp} καταβαίνω^{vdaa3s} νῦν^{bo} ἀπό^{p} ὁ^{dgms} σταυρός^{ngms} ἵνα^{c} ὁράω^{vsaa1p} καί^{c} πιστεύω^{vsaa1p} καί^{c} ὁ^{dnmp} συσταυρόω^{vpxpnmp} αὐτός^{rpdms} ὀνειδίζω^{viia3p} αὐτός^{rpams}. **v.33** γίνομαι^{vpadgfs} δέ^{c} ὥρα^{ngfs} ἕκτος^{agfsn} σκότος^{nnns} γίνομαι^{viad3s} ἐπί^{p} ὅλος^{aafsn} ὁ^{dafs} γῆ^{nafs} ἕως^{c} ὥρα^{ngfs} ἔνατος^{agfsn}. **v.34** καί^{c} ὁ^{ddfs} ὥρα^{ndfs} ὁ^{ddfs} ἔνατος^{adfsn} βοάω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} φωνή^{ndfs} μέγας^{adfsn} λέγω^{vppanms} ελωι^{ta} ελωι^{ta} λεμαth σαβαχθάνι^{ta} ὅς^{rrnns} εἰμί^{vipx3s} μεθερμηνεύω^{vpppnns} ὁ^{dnms} θεός^{nnms} ἐγώ$^{rpg-s}$ ὁ^{dnms} θεός^{nnms} ἐγώ$^{rpg-s}$ εἰς^{p} τίς^{rqans} ἐγώ$^{rpa-s}$ ἐγκαταλείπω^{viaa2s}. **v.35** καί^{c} τι-σρινμπ ὁ^{dgmp} παρίστημι^{vpxagmp} ἀκούω^{vpaanmp} λέγω^{viia3p} ἰδού^{vdaa2s} Ἠλίας^{nams} φωνέω^{vipa3s}. **v.36** τρέχω^{vpaanms} δέ^{c} εἷς^{nnms} καί^{c} γεμίζω^{vpaanms} σπόγγος^{nams} ὄξος^{ngns} περιτίθημι^{vpaanms} τε^{xo} κάλαμος^{ndms} ποτίζω^{viia3s} αὐτός^{rpams} λέγω^{vppanms} ἀφίημι^{vdaa2p} ὁράω^{vsaa1p} εἰ^{qo} ἔρχομαι^{vipn3s} Ἠλίας^{nnms} καθαιρέω^{vnaa} αὐτός^{rpams}. **v.37** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} ἀφίημι^{vpaanms} φωνή^{nafs} μέγας^{aafsn} ἐκπνέω^{viaa3s}.

σμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω. ἰδὼν 39
δὲ ὁ κεντυρίων ὁ παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ ὅτι οὕτω κρά-
ξας ἐξέπνευσεν, εἶπεν, Ἀληθῶς ὁ ἄνθρωπος οὗτος υἱὸς ἦν Θε-
οῦ. ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι, ἐν αἷς 40
ἦν καὶ Μαρία ἡ Μαγδαληνή, καὶ Μαρία ἡ τοῦ Ἰακώβου τοῦ
μικροῦ καὶ Ἰωσῆ μήτηρ, καὶ Σαλώμη, αἳ καί, ὅτε ἦν ἐν τῇ 41
Γαλιλαίᾳ, ἠκολούθουν αὐτῷ, καὶ διηκόνουν αὐτῷ, καὶ ἄλλαι
πολλαὶ αἱ συναναβᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα. Καὶ ἤδη ὀψίας 42
γενομένης, ἐπεὶ ἦν Παρασκευή, ὅ ἐστι προσάββατον, ἦλθεν 43
Ἰωσὴφ ὁ ἀπὸ Ἁριμαθαίας, εὐσχήμων βουλευτής, ὃς καὶ αὐτὸς
ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, τολμήσας εἰσῆλθε
πρὸς Πιλᾶτον, καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. ὁ δὲ Πιλάτος 44
ἐθαύμασεν εἰ ἤδη τέθνηκε, καὶ προσκαλεσάμενος τὸν κεντυρί-
ωνα, ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανε. καὶ γνοὺς ἀπὸ τοῦ 45
κεντυρίωνος, ἐδωρήσατο τὸ σῶμα τῷ Ἰωσήφ. καὶ ἀγοράσας 46
σινδόνα, καὶ καθελὼν αὐτὸν, ἐνείλησε τῇ σινδόνι, καὶ κατέ-
θηκεν αὐτὸν ἐν μνημείῳ, ὃ ἦν λελατομημένον ἐκ πέτρας, καὶ
προσεκύλισε λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου. ἡ δὲ Μαρία 47
ἡ Μαγδαληνὴ καὶ Μαρία Ἰωσῆ ἐθεώρουν ποῦ τίθεται.

Καὶ διαγενομένου τοῦ σαββάτου, Μαρία ἡ Μαγδαληνὴ καὶ **16**
Μαρία ἡ τοῦ Ἰακώβου καὶ Σαλώμη ἠγόρασαν ἀρώματα, ἵνα ἐλ-

---

v.38 καί^{c} ὁ^{dnns} καταπέτασμα^{nnns} ὁ^{dgms} ναός^{ngms} σχίζω^{viap3s} εἰς^{p} δύο^{tn} ἀπό^{p} ἄνωθεν^{bo} ἕως^{c} κάτω^{bo}. **v.39** ὁράω^{vpaanms} δέ^{c} ὁ^{dnms} κεντυρίων^{nnms} ὁ^{dnms} παρίστημι^{vpxanms} ἐκ^{p} ἐναντίος^{agfsn} αὐτός^{rpgms} ὅτι^{c} οὕτω^{bo} κράζω^{vpaanms} ἐκπνέω^{viaa3s} λέγω^{viaa3s} ἀληθῶς^{bo} ὁ^{dnms} ἄνθρωπος^{nnms} οὗτος^{rdnms} υἱός^{nnms} εἰμί^{viix3s} θεός^{ngms}. **v.40** εἰμί^{viix3p} δέ^{c} καί^{c} γυνή^{nnfp} ἀπό^{p} μακρόθεν^{bo} θεωρέω^{vppanfp} ἐν^{p} ὅς^{rrdfp} εἰμί^{viix3s} καί^{c} Μαρία^{nnfs} ὁ^{dnfs} Μαγδαληνή^{nnfs} καί^{c} Μαρία^{nnfs} ὁ^{dnfs} ὁ^{dgms} Ἰάκωβος^{ngms} ὁ^{dgms} μικρός^{agmsn} καί^{c} Ἰωσῆς^{ngms} μήτηρ^{nnfs} καί^{c} Σαλώμη^{nnfs}. **v.41** ὅς^{rrnfp} καί^{c} ὅτε^{bo} εἰμί^{viix3s} ἐν^{p} ὁ^{ddfs} Γαλιλαία^{ndfs} ἀκολουθέω^{viia3p} αὐτός^{rpdms} καί^{c} διακονέω^{viia3p} αὐτός^{rpdms} καί^{c} ἄλλος^{anfpn} πολύς^{anfpn} ὁ^{dnfp} συναναβαίνω^{vpaanfp} αὐτός^{rpdms} εἰς^{p} Ἱεροσόλυμα^{nafs}. **v.42** καί^{c} ἤδη^{bo} ὄψιος^{agfsn} γίνομαι^{vpadgfs} ἐπεί^{c} εἰμί^{viix3s} παρασκευή^{nnfs} ὅς^{rrnns} εἰμί^{vipx3s} προσάββατον^{nnns}. **v.43** ἔρχομαι^{viaa3s} Ἰωσήφ^{tp} ὁ^{dnms} ἀπό^{p} Ἁριμαθαία^{ngfs} εὐσχήμων^{anmsn} βουλευτής^{nnms} ὅς^{rrnms} καί^{c} αὐτός^{rpnms} εἰμί^{viix3s} προσδέχομαι^{vppnnms} ὁ^{dafs} βασιλεία^{nafs} ὁ^{dgms} θεός^{ngms} τολμάω^{vpaanms} εἰσέρχομαι^{viaa3s} πρός^{p} Πιλᾶτος^{nams} καί^{c} αἰτέω^{viam3s} ὁ^{dans} σῶμα^{nans} ὁ^{dgms} Ἰησοῦς^{ngms}. **v.44** ὁ^{dnms} δέ^{c} Πιλᾶτος^{nnms} θαυμάζω^{viaa3s} εἰ^{qo} ἤδη^{bo} θνῄσκω^{vixa3s} καί^{c} προσκαλέομαι^{vpadnms} ὁ^{dams} κεντυρίων^{nams} ἐπερωτάω^{viaa3s} αὐτός^{rpams} εἰ^{qo} πάλαι^{bo} ἀποθνῄσκω^{viaa3s}. **v.45** καί^{c} γινώσκω^{vpaanms} ἀπό^{p} ὁ^{dgms} κεντυρίων^{ngms} δωρέομαι^{viad3s} ὁ^{dans} σῶμα^{nans} ὁ^{ddms} Ἰωσήφ^{tp}. **v.46** καί^{c} ἀγοράζω^{vpaanms} σινδών^{nafs} καί^{c} καθαιρέω^{vpaanms} αὐτός^{rpams} ἐνειλέω^{viaa3s} ὁ^{ddfs} σινδών^{ndfs} καί^{c} κατατίθημι^{viaa3s} αὐτός^{rpams} ἐν^{p} μνημεῖον^{ndns} ὅς^{rrnns} εἰμί^{viix3s} λατομέω^{vpxpnns} ἐκ^{p} πέτρα^{ngfs} καί^{c} προσκυλίω^{viaa3s} λίθος^{nams} ἐπί^{p} ὁ^{dafs} θύρα^{nafs} ὁ^{dgns} μνημεῖον^{ngns}. **v.47** ὁ^{dnfs} δέ^{c} Μαρία^{nnfs} ὁ^{dnfs} Μαγδαληνή^{nnfs} καί^{c} Μαρία^{nnfs} Ἰωσῆς^{ngms} θεωρέω^{viia3p} ποῦ^{xo} τίθημι^{vipp3s}.

2 θοῦσαι ἀλείψωσιν αὐτόν. καὶ λίαν πρωῒ τῆς μιᾶς σαββάτων
3 ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου. καὶ ἔλε-
γον πρὸς ἑαυτάς, Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας
4 τοῦ μνημείου· καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται
5 ὁ λίθος, ἦν γὰρ μέγας σφόδρα. καὶ εἰσελθοῦσαι εἰς τὸ μνη-
μεῖον, εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλη-
6 μένον στολὴν λευκήν, καὶ ἐξεθαμβήθησαν. ὁ δὲ λέγει αὐταῖς,
Μὴ ἐκθαμβεῖσθε, Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρω-
μένον, ἠγέρθη, οὐκ ἔστιν ὧδε, ἴδε, ὁ τόπος ὅπου ἔθηκαν αὐ-
7 τόν. ἀλλ᾽ ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ
ὅτι Προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν, ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς
8 εἶπεν ὑμῖν. καὶ ἐξελθοῦσαι ταχὺ ἔφυγον ἀπὸ τοῦ μνημείου,
εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις, καὶ οὐδενὶ οὐδὲν εἶπον, ἐ-
9 φοβοῦντο γάρ. Ἀναστὰς δὲ πρωῒ πρώτῃ σαββάτου ἐφάνη πρῶ-
τον Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ᾽ ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια.
10 ἐκείνη πορευθεῖσα ἀπήγγειλε τοῖς μετ᾽ αὐτοῦ γενομένοις, πεν-
11 θοῦσι καὶ κλαίουσι. κἀκεῖνοι ἀκούσαντες ὅτι ζῇ καὶ ἐθεάθη
12 ὑπ᾽ αὐτῆς ἠπίστησαν. Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπα-
τοῦσιν ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν.
13 κἀκεῖνοι ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς, οὐδὲ ἐκείνοις

---

16. **v.1** καί^{c} διαγίνομαι^{vpadgns} ὁ^{dgns} σάββατον^{ngns} Μαρία^{nnfs} ὁ^{dnfs} Μαγδαληνή^{nnfs} καί^{c} Μαρία^{nnfs} ὁ^{dnfs} ὁ^{dgms} Ἰάκωβος^{ngms} καί^{c} Σαλώμη^{nnfs} ἀγοράζω^{viaa3p} ἄρωμα^{nanp} ἵνα^{c} ἔρχομαι^{vpaanfp} ἀλείφω^{vsaa3p} αὐτός^{rpams}. **v.2** καί^{c} λίαν^{bo} πρωῒ^{bo} ὁ^{dgfs} εἷς^{ngfs} σάββατον^{ngnp} ἔρχομαι^{vipn3p} ἐπί^{p} ὁ^{dans} μνημεῖον^{nans} ἀνατέλλω^{vpaagms} ὁ^{dgms} ἥλιος^{ngms}. **v.3** καί^{c} λέγω^{viia3p} πρός^{p} ἑαυτοῦ^{rxafp} τίς^{rqnms} ἀποκυλίω^{vifa3s} ἐγώ$^{rpd-p}$ ὁ^{dams} λίθος^{nams} ἐκ^{p} ὁ^{dgfs} θύρα^{ngfs} ὁ^{dgns} μνημεῖον^{ngns}. **v.4** καί^{c} ἀναβλέπω^{vpaanfp} θεωρέω^{vipa3p} ὅτι^{c} ἀποκυλίω^{vixp3s} ὁ^{dnms} λίθος^{nnms} εἰμί^{viix3s} γάρ^{c} μέγας^{anmsn} σφόδρα^{bo}. **v.5** καί^{c} εἰσέρχομαι^{vpaanfp} εἰς^{p} ὁ^{dans} μνημεῖον^{nans} ὁράω^{viaa3p} νεανίσκος^{nams} κάθημαι^{vppnams} ἐν^{p} ὁ^{ddnp} δεξιός^{adnpn} περιβάλλω^{vpxpams} στολή^{nafs} λευκός^{aafsn} καί^{c} ἐκθαμβέω^{viap3p}. **v.6** ὁ^{dnms} δέ^{c} λέγω^{vipa3s} αὐτός^{rpdfp} μή^{xo} ἐκθαμβέω^{vdpp2p} Ἰησοῦς^{nams} ζητέω^{vipa2p} ὁ^{dams} Ναζαρηνός^{nams} ὁ^{dams} σταυρόω^{vpxpams} ἐγείρω^{viap3s} οὐ^{xo} εἰμί^{vipx3s} ὧδε^{bo} ἴδε^{i} ὁ^{dnms} τόπος^{nnms} ὅπου^{bo} τίθημι^{viaa3p} αὐτός^{rpams}. **v.7** ἀλλά^{c} ὑπάγω^{vdpa2p} λέγω^{vdaa2p} ὁ^{ddmp} μαθητής^{ndmp} αὐτός^{rpgms} καί^{c} ὁ^{ddms} Πέτρος^{ndms} ὅτι^{c} προάγω^{vipa3s} σύ$^{rpa-p}$ εἰς^{p} ὁ^{dafs} Γαλιλαία^{nafs} ἐκεῖ^{bo} αὐτός^{rpams} ὁράω^{vifd2p} καθώς^{bo} λέγω^{viaa3s} σύ$^{rpd-p}$. **v.8** καί^{c} ἐξέρχομαι^{vpaanfp} ταχύς^{bo} φεύγω^{viaa3p} ἀπό^{p} ὁ^{dgns} μνημεῖον^{ngns} ἔχω^{viia3s} δέ^{c} αὐτός^{rpafp} τρόμος^{nnms} καί^{c} ἔκστασις^{nnfs} καί^{c} οὐδείς^{admsn} οὐδείς^{aansn} λέγω^{viaa3p} φοβέομαι^{viin3p} γάρ^{c}. **v.9** ἀνίστημι^{vpaanms} δέ^{c} πρωῒ^{bo} πρῶτος^{adfsn} σάββατον^{ngns} φαίνω^{viap3s} πρῶτος^{bo} Μαρία^{ndfs} ὁ^{ddfs} Μαγδαληνή^{ndfs} ἀπό^{p} ὅς^{rrgfs} ἐκβάλλω^{viya3s} ἑπτά^{tn} δαιμόνιον^{nanp}. **v.10** ἐκεῖνος^{rdnfs} πορεύομαι^{vpaonfs} ἀπαγγέλλω^{viaa3s} ὁ^{ddmp} μετά^{p} αὐτός^{rpgms} γίνομαι^{vpaddmp} πενθέω^{vppadmp} καί^{c} κλαίω^{vppadmp}. **v.11** κἀκεῖνος^{rdnmp} ἀκούω^{vpaanmp} ὅτι^{c} ζάω^{vipa3s} καί^{c} θεάομαι^{viap3s} ὑπό^{p} αὐτός^{rpgfs} ἀπιστέω^{viaa3p}. **v.12** μετά^{p} δέ^{c} οὗτος^{rdanp} δύο^{ndmp} ἐκ^{p} αὐτός^{rpgmp} περιπατέω^{vppadmp} φανερόω^{viap3s} ἐν^{p} ἕτερος^{adfsn} μορφή^{ndfs} πορεύομαι^{vppndmp} εἰς^{p} ἀγρός^{nams}.

ἐπίστευσαν. Ὕστερον, ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα ἐφα- 14
νερώθη, καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν καὶ σκληροκαρδίαν,
ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον οὐκ ἐπίστευσαν. καὶ 15
εἶπεν αὐτοῖς, Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ
εὐαγγέλιον πάσῃ τῇ κτίσει. ὁ πιστεύσας καὶ βαπτισθεὶς σω- 16
θήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται. σημεῖα δὲ τοῖς πι- 17
στεύσασι ταῦτα παρακολουθήσει, ἐν τῷ ὀνόματί μου δαιμόνια
ἐκβαλοῦσι, γλώσσαις λαλήσουσι καιναῖς, ὄφεις ἀροῦσι, κἂν 18
θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψει, ἐπὶ ἀρρώστους χεῖ-
ρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν. Ὁ μὲν οὖν Κύριος, μετὰ 19
τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν οὐρανόν, καὶ ἐκάθισεν ἐκ
δεξιῶν τοῦ Θεοῦ. ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν πανταχοῦ, 20
τοῦ Κυρίου συνεργοῦντος, καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν
ἐπακολουθούντων σημείων. Ἀμήν.

---

v.13 κἀκεῖνος^{rdnmp} ἀπέρχομαι^{vpaanmp} ἀπαγγέλλω^{viaa3p} ὁ^{ddmp} λοιπός^{admpn} οὐδέ^{bo} ἐκεῖνος^{rddmp} πιστεύω^{viaa3p}. **v.14** ὕστερος^{bo} ἀνάκειμαι^{vppndmp} αὐτός^{rpdmp} ὁ^{ddmp} ἕνδεκα^{tn} φανερόω^{viap3s} καί^{c} ὀνειδίζω^{viaa3s} ὁ^{dafs} ἀπιστία^{nafs} αὐτός^{rpgmp} καί^{c} σκληροκαρδία^{nafs} ὅτι^{c} ὁ^{ddmp} θεάομαι^{vpaddmp} αὐτός^{rpams} ἐγείρω^{vpxpams} οὐ^{xo} πιστεύω^{viaa3p}. **v.15** καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdmp} πορεύομαι^{vpaonmp} εἰς^{p} ὁ^{dams} κόσμος^{nams} ἅπας^{aamsn} κηρύσσω^{vdaa2p} ὁ^{dans} εὐαγγέλιον^{nans} πᾶς^{adfsn} ὁ^{ddfs} κτίσις^{ndfs}. **v.16** ὁ^{dnms} πιστεύω^{vpaanms} καί^{c} βαπτίζω^{vpapnms} σῴζω^{vifp3s} ὁ^{dnms} δέ^{c} ἀπιστέω^{vpaanms} κατακρίνω^{vifp3s}. **v.17** σημεῖον^{nnnp} δέ^{c} ὁ^{ddmp} πιστεύω^{vpaadmp} οὗτος^{rdnnp} παρακολουθέω^{vifa3s} ἐν^{p} ὁ^{ddns} ὄνομα^{ndns} ἐγώ$^{rpg-s}$ δαιμόνιον^{nanp} ἐκβάλλω^{vifa3p} γλῶσσα^{ndfp} λαλέω^{vifa3p} καινός^{adfpn}. **v.18** ὄφις^{namp} αἴρω^{vifa3p} κἄν^{qo} θανάσιμος^{aansn} τι-σριανσ πίνω^{vsaa3p} οὐ^{xo} μή^{xo} αὐτός^{rpamp} βλάπτω^{vifa3s} ἐπί^{p} ἄρρωστος^{aampn} χείρ^{nafp} ἐπιτίθημι^{vifa3p} καί^{c} καλῶς^{bo} ἔχω^{vifa3p}. **v.19** ὁ^{dnms} μέν^{xo} οὖν^{c} κύριος^{nnms} μετά^{p} ὁ^{dans} λαλέω^{vnaa} αὐτός^{rpdmp} ἀναλαμβάνω^{viap3s} εἰς^{p} ὁ^{dams} οὐρανός^{nams} καί^{c} καθίζω^{viaa3s} ἐκ^{p} δεξιός^{agmpn} ὁ^{dgms} θεός^{ngms}. **v.20** ἐκεῖνος^{rdnmp} δέ^{c} ἐξέρχομαι^{vpaanmp} κηρύσσω^{viaa3p} πανταχοῦ^{bo} ὁ^{dgms} κύριος^{ngms} συνεργέω^{vppagms} καί^{c} ὁ^{dams} λόγος^{nams} βεβαιόω^{vppagms} διά^{p} ὁ^{dgnp} ἐπακολουθέω^{vppagnp} σημεῖον^{ngnp} ἀμήνth.

ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

1 Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων, καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ᾽ ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου, ἔδοξε κἀμοί, παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς, καθεξῆς σοι γράψαι, κράτιστε Θεόφιλε, ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν. Ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρῴδου τοῦ βασιλέως τῆς Ἰουδαίας ἱερεύς τις ὀνόματι Ζαχαρίας, ἐξ ἐφημερίας Ἀβιά, καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀαρών, καὶ τὸ ὄνομα αὐτῆς Ἐλισάβετ. ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ Θεοῦ, πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου ἄμεμπτοι. καὶ οὐκ ἦν αὐτοῖς τέκνον, καθότι ἡ Ἐλισάβετ ἦν στεῖρα, καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν. Ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ ἔναντι τοῦ Θεοῦ, κατὰ τὸ ἔθος τῆς ἱερατείας, ἔλαχε τοῦ θυμιᾶσαι εἰσελθὼν εἰς τὸν ναὸν τοῦ Κυρίου. καὶ πᾶν τὸ πλῆθος τοῦ λαοῦ ἦν προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος. ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου, ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμι-

---

1. v.1 ἐπειδήπερ^{c} πολύς^{anmpn} ἐπιχειρέω^{viaa3p} ἀνατάσσομαι^{vnad} διήγησις^{nafs} περί^{p} ὁ^{dgnp} πληροφορέω^{vpxpgnp} ἐν^{p} ἐγώ$^{rpd-p}$ πρᾶγμα^{ngnp}. **v.2** καθώς^{bo} παραδίδωμι^{viaa3p} ἐγώ$^{rpd-p}$ ὁ^{dnmp} ἀπό^{p} ἀρχή^{ngfs} αὐτόπτης^{anmpn} καί^{c} ὑπηρέτης^{nnmp} γίνομαι^{vpadnmp} ὁ^{dgms} λόγος^{ngms}. **v.3** δοκέω^{viaa3s} κἀγώ$^{rpd-s}$ παρακολουθέω^{vpxadms} ἄνωθεν^{bo} πᾶς^{adnpn} ἀκριβῶς^{bo} καθεξῆς^{bo} σύ$^{rpd-s}$ γράφω^{vnaa} κράτιστος^{avmsn} Θεόφιλος^{nvms}. **v.4** ἵνα^{c} ἐπιγινώσκω^{vsaa2s} περί^{p} ὅς^{rrgmp} κατηχέω^{viap2s} λόγος^{ngmp} ὁ^{dafs} ἀσφάλεια^{nafs}. **v.5** γίνομαι^{viad3s} ἐν^{p} ὁ^{ddfp} ἡμέρα^{ndfp} Ἡρῴδης^{ngms} ὁ^{dgms} βασιλεύς^{ngms} ὁ^{dgfs} Ἰουδαία^{ngfs} ἱερεύς^{nnms} τι-σρινμσ ὄνομα^{ndns} Ζαχαρίας^{nnms} ἐκ^{p} ἐφημερία^{ngfs} Ἀβιά^{tp} καί^{c} ὁ^{dnfs} γυνή^{nnfs} αὐτός^{rpgms} ἐκ^{p} ὁ^{dgfp} θυγάτηρ^{ngfp} Ἀαρών^{tp} καί^{c} ὁ^{dnns} ὄνομα^{nnns} αὐτός^{rpgfs} Ἐλισάβετ^{tp}. **v.6** εἰμί^{viix3p} δέ^{c} δίκαιος^{anmpn} ἀμφότεροι^{anmpn} ἐνώπιον^{bo} ὁ^{dgms} θεός^{ngms} πορεύομαι^{vppnnmp} ἐν^{p} πᾶς^{adfpn} ὁ^{ddfp} ἐντολή^{ndfp} καί^{c} δικαίωμα^{ndnp} ὁ^{dgms} κύριος^{ngms} ἄμεμπτος^{anmpn}. **v.7** καί^{c} οὐ^{xo} εἰμί^{viix3s} αὐτός^{rpdmp} τέκνον^{nnns} καθότι^{bo} ὁ^{dnfs} Ἐλισάβετ^{tp} εἰμί^{viix3s} στεῖρα^{nnfs} καί^{c} ἀμφότεροι^{anmpn} προβαίνω^{vpxanmp} ἐν^{p} ὁ^{ddfp} ἡμέρα^{ndfp} αὐτός^{rpgmp} εἰμί^{viix3p}. **v.8** γίνομαι^{viad3s} δέ^{c} ἐν^{p} ὁ^{ddms} ἱερατεύω^{vnpa} αὐτός^{rpams} ἐν^{p} ὁ^{ddfs} τάξις^{ndfs} ὁ^{dgfs} ἐφημερία^{ngfs} αὐτός^{rpgms} ἔναντι^{bo} ὁ^{dgms} θεός^{ngms}. **v.9** κατά^{p} ὁ^{dans} ἔθος^{nans} ὁ^{dgfs} ἱερατεία^{ngfs} λαγχάνω^{viaa3s} ὁ^{dgms} θυμιάω^{vnaa} εἰσέρχομαι^{vpaanms} εἰς^{p} ὁ^{dams} ναός^{nams} ὁ^{dgms} κύριος^{ngms}. **v.10** καί^{c} πᾶς^{annsn} ὁ^{dnns} πλῆθος^{nnns} ὁ^{dgms} λαός^{ngms} εἰμί^{viix3s} προσεύχομαι^{vppnnns} ἔξω^{bo} ὁ^{ddfs} ὥρα^{ndfs} ὁ^{dgns} θυμίαμα^{ngns}.

άματος. καὶ ἐταράχθη Ζαχαρίας ἰδών, καὶ φόβος ἐπέπεσεν 12
ἐπ᾽ αὐτόν. εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος, Μὴ φοβοῦ Ζαχα- 13
ρία, διότι εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἡ γυνή σου Ἐλισάβετ
γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην. καὶ 14
ἔσται χαρά σοι καὶ ἀγαλλίασις, καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐ-
τοῦ χαρήσονται. ἔσται γὰρ μέγας ἐνώπιον τοῦ Κυρίου, καὶ 15
οἶνον καὶ σίκερα οὐ μὴ πίῃ, καὶ Πνεύματος Ἁγίου πλησθήσε-
ται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ. καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ 16
ἐπιστρέψει ἐπὶ Κύριον τὸν Θεὸν αὐτῶν, καὶ αὐτὸς προελεύσε- 17
ται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου, ἐπιστρέψαι
καρδίας πατέρων ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων,
ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον. καὶ εἶπε Ζαχαρίας 18
πρὸς τὸν ἄγγελον, Κατὰ τί γνώσομαι τοῦτο· ἐγὼ γάρ εἰμι πρε-
σβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς.
καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῷ, Ἐγώ εἰμι Γαβριὴλ ὁ πα- 19
ρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ, καὶ ἀπεστάλην λαλῆσαι πρός σε,
καὶ εὐαγγελίσασθαί σοι ταῦτα. καὶ ἰδού, ἔσῃ σιωπῶν καὶ μὴ 20
δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέρας γένηται ταῦτα, ἀνθ᾽ ὧν
οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν
καιρὸν αὐτῶν. καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν, καὶ 21

---

v.11 ὁράω^{viap3s} δέ^{c} αὐτός^{rpdms} ἄγγελος^{nnms} κύριος^{ngms} ἵστημι^{vpxanms} ἐκ^{p} δεξιός^{agmpn} ὁ^{dgns} θυσιαστήριον^{ngns} ὁ^{dgns} θυμίαμα^{ngns}. **v.12** καί^{c} ταράσσω^{viap3s} Ζαχαρίας^{nnms} ὁράω^{vpaanms} καί^{c} φόβος^{nnms} ἐπιπίπτω^{viaa3s} ἐπί^{p} αὐτός^{rpams}. **v.13** λέγω^{viaa3s} δέ^{c} πρός^{p} αὐτός^{rpams} ὁ^{dnms} ἄγγελος^{nnms} μή^{xo} φοβέομαι^{vdpm2s} Ζαχαρίας^{nvms} διότι^{c} εἰσακούω^{viap3s} ὁ^{dnfs} δέησις^{nnfs} σύ$^{rpg-s}$ καί^{c} ὁ^{dnfs} γυνή^{nnfs} σύ$^{rpg-s}$ Ἐλισάβετ^{tp} γεννάω^{vifa3s} υἱός^{nams} σύ$^{rpd-s}$ καί^{c} καλέω^{vifa2s} ὁ^{dans} ὄνομα^{nans} αὐτός^{rpgms} Ἰωάννης^{nams}. **v.14** καί^{c} εἰμί^{vifx3s} χαρά^{nnfs} σύ$^{rpd-s}$ καί^{c} ἀγαλλίασις^{nnfs} καί^{c} πολύς^{anmpn} ἐπί^{p} ὁ^{ddfs} γεννάω^{ndfs} αὐτός^{rpgms} χαίρω^{vifo3p}. **v.15** εἰμί^{vifx3s} γάρ^{c} μέγας^{anmsn} ἐνώπιον^{bo} ὁ^{dgms} κύριος^{ngms} καί^{c} οἶνος^{nams} καί^{c} σίκερα^{to} οὐ^{xo} μή^{xo} πίνω^{vsaa3s} καί^{c} πνεῦμα^{ngns} ἅγιος^{agnsn} πίμπλημι^{vifp3s} ἔτι^{bo} ἐκ^{p} κοιλία^{ngfs} μήτηρ^{ngfs} αὐτός^{rpgms}. **v.16** καί^{c} πολύς^{aampn} ὁ^{dgmp} υἱός^{ngmp} Ἰσραήλ^{tp} ἐπιστρέφω^{vifa3s} ἐπί^{p} κύριος^{nams} ὁ^{dams} θεός^{nams} αὐτός^{rpgmp}. **v.17** καί^{c} αὐτός^{rpnms} προέρχομαι^{vifd3s} ἐνώπιον^{bo} αὐτός^{rpgms} ἐν^{p} πνεῦμα^{ndns} καί^{c} δύναμις^{ndfs} Ἠλίας^{ngms} ἐπιστρέφω^{vnaa} καρδία^{nafp} πατήρ^{ngmp} ἐπί^{p} τέκνον^{nanp} καί^{c} ἀπειθής^{aampn} ἐν^{p} φρόνησις^{ndfs} δίκαιος^{agmpn} ἑτοιμάζω^{vnaa} κύριος^{ndms} λαός^{nams} κατασκευάζω^{vpxpams}. **v.18** καί^{c} λέγω^{viaa3s} Ζαχαρίας^{nnms} πρός^{p} ὁ^{dams} ἄγγελος^{nams} κατά^{p} τίς^{rqans} γινώσκω^{vifd1s} οὗτος^{rdans} ἐγώ$^{rpn-s}$ γάρ^{c} εἰμί^{vipx1s} πρεσβύτης^{nnms} καί^{c} ὁ^{dnfs} γυνή^{nnfs} ἐγώ$^{rpg-s}$ προβαίνω^{vpxanfs} ἐν^{p} ὁ^{ddfp} ἡμέρα^{ndfp} αὐτός^{rpgfs}. **v.19** καί^{c} ἀποκρίνομαι^{vpaonms} ὁ^{dnms} ἄγγελος^{nnms} λέγω^{viaa3s} αὐτός^{rpdms} ἐγώ$^{rpn-s}$ εἰμί^{vipx1s} Γαβριήλ^{tp} ὁ^{dnms} παρίστημι^{vpxanms} ἐνώπιον^{bo} ὁ^{dgms} θεός^{ngms} καί^{c} ἀποστέλλω^{viap1s} λαλέω^{vnaa} πρός^{p} σύ$^{rpa-s}$ καί^{c} εὐαγγελίζω^{vnam} σύ$^{rpd-s}$ οὗτος^{rdanp}. **v.20** καί^{c} ἰδού^{vdaa2s} εἰμί^{vifx2s} σιωπάω^{vppanms} καί^{c} μή^{xo} δύναμαι^{vppnnms} λαλέω^{vnaa} ἄχρι^{p} ὅς^{rrgfs} ἡμέρα^{ngfs} γίνομαι^{vsad3s} οὗτος^{rdnnp} ἀντί^{p} ὅς^{rrgmp} οὐ^{xo} πιστεύω^{viaa2s} ὁ^{ddmp} λόγος^{ndmp} ἐγώ$^{rpg-s}$ ὅστις^{rrnmp} πληρόω^{vifp3p} εἰς^{p} ὁ^{dams} καιρός^{nams} αὐτός^{rpgmp}.

22 ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτόν ἐν τῷ ναῷ. ἐξελθὼν δὲ οὐκ
ἠδύνατο λαλῆσαι αὐτοῖς, καὶ ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν
ἐν τῷ ναῷ, καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς, καὶ διέμενε κωφός.
23 καὶ ἐγένετο, ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς λειτουργίας αὐτοῦ,
24 ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. Μετὰ δὲ ταύτας τὰς ἡμέρας συν-
έλαβεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ, καὶ περιέκρυβεν ἑαυτὴν μῆνας
25 πέντε, λέγουσα. ὅτι Οὕτω μοι πεποίηκεν ὁ Κύριος ἐν ἡμέραις
26 αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις. Ἐν δὲ τῷ
μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ εἰς
27 πόλιν τῆς Γαλιλαίας ᾗ ὄνομα Ναζαρέθ, πρὸς παρθένον μεμνη-
στευμένην ἀνδρί, ᾧ ὄνομα Ἰωσήφ, ἐξ οἴκου Δαβίδ, καὶ τὸ ὄνομα
28 τῆς παρθένου, Μαριάμ. καὶ εἰσελθὼν ὁ ἄγγελος πρὸς αὐτὴν
εἶπε, Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετά σοῦ, εὐλογημένη σὺ
29 ἐν γυναιξίν. ἡ δὲ ἰδοῦσα διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ, καὶ
30 διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. καὶ εἶπεν ὁ ἄγγε-
λος αὐτῇ, Μὴ φοβοῦ, Μαριάμ, εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ.
31 καὶ ἰδού, συλλήψῃ ἐν γαστρί, καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ
32 ὄνομα αὐτοῦ Ἰησοῦν. οὗτος ἔσται μέγας, καὶ υἱὸς ὑψίστου
κληθήσεται, καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαβὶδ
33 τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς

---

v.21 καί^{c} εἰμί^{viix3s} ὁ^{dnms} λαός^{nnms} προσδοκάω^{vppanms} ὁ^{dams} Ζαχαρίας^{nams} καί^{c} θαυμάζω^{viia3p} ἐν^{p} ὁ^{ddms} χρονίζω^{vnpa} αὐτός^{rpams} ἐν^{p} ὁ^{ddms} ναός^{ndms}. **v.22** ἐξέρχομαι^{vpaanms} δέ^{c} οὐ^{xo} δύναμαι^{viin3s} λαλέω^{vnaa} αὐτός^{rpdmp} καί^{c} ἐπιγινώσκω^{viaa3p} ὅτι^{c} ὀπτασία^{nafs} ὁράω^{vixa3s} ἐν^{p} ὁ^{ddms} ναός^{ndms} καί^{c} αὐτός^{rpnms} εἰμί^{viix3s} διανεύω^{vppanms} αὐτός^{rpdmp} καί^{c} διαμένω^{viia3s} κωφός^{anmsn}. **v.23** καί^{c} γίνομαι^{viad3s} ὡς^{bo} πίμπλημι^{viap3p} ὁ^{dnfp} ἡμέρα^{nnfp} ὁ^{dgfs} λειτουργία^{ngfs} αὐτός^{rpgms} ἀπέρχομαι^{viaa3s} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} αὐτός^{rpgms}. **v.24** μετά^{p} δέ^{c} οὗτος^{rdafp} ὁ^{dafp} ἡμέρα^{nafp} συλλαμβάνω^{viaa3s} Ἐλισάβετ^{tp} ὁ^{dnfs} γυνή^{nnfs} αὐτός^{rpgms} καί^{c} περικρύβω^{viia3s} ἑαυτοῦ^{rxafs} μήν^{namp} πέντε^{tn} λέγω^{vppanfs}. **v.25** ὅτι^{c} οὕτω^{bo} ἐγώ$^{rpd-s}$ ποιέω^{vixa3s} ὁ^{dnms} κύριος^{nnms} ἐν^{p} ἡμέρα^{ndfp} ὅς^{rrdfp} ἐφοράω^{viaa3s} ἀφαιρέω^{vnaa} ὁ^{dans} ὄνειδος^{nans} ἐγώ$^{rpg-s}$ ἐν^{p} ἄνθρωπος^{ndmp}. **v.26** ἐν^{p} δέ^{c} ὁ^{ddms} μήν^{ndms} ὁ^{ddms} ἕκτος^{admsn} ἀποστέλλω^{viap3s} ὁ^{dnms} ἄγγελος^{nnms} Γαβριήλ^{tp} ὑπό^{p} ὁ^{dgms} θεός^{ngms} εἰς^{p} πόλις^{nafs} ὁ^{dgfs} Γαλιλαία^{ngfs} ὅς^{rrdfs} ὄνομα^{nnns} Ναζαρά^{tp}. **v.27** πρός^{p} παρθένος^{nafs} μνηστεύω^{vpxpafs} ἀνήρ^{ndms} ὅς^{rrdms} ὄνομα^{nnns} Ἰωσήφ^{tp} ἐκ^{p} οἶκος^{ngms} Δαυίδ^{tp} καί^{c} ὁ^{dnns} ὄνομα^{nnns} ὁ^{dgfs} παρθένος^{ngfs} Μαρία^{tp}. **v.28** καί^{c} εἰσέρχομαι^{vpaanms} ὁ^{dnms} ἄγγελος^{nnms} πρός^{p} αὐτός^{rpafs} λέγω^{viaa3s} χαίρω^{vdpa2s} χαριτόω^{vpxpnfs} ὁ^{dnms} κύριος^{nnms} μετά^{p} σύ$^{rpg-s}$ εὐλογέω^{vpxpnfs} σύ$^{rpn-s}$ ἐν^{p} γυνή^{ndfp}. **v.29** ὁ^{dnfs} δέ^{c} ὁράω^{vpaanfs} διαταράσσω^{viap3s} ἐπί^{p} ὁ^{ddms} λόγος^{ndms} αὐτός^{rpgms} καί^{c} διαλογίζομαι^{viin3s} ποταπός^{anmsn} εἰμί^{vopx3s} ὁ^{dnms} ἀσπασμός^{nnms} οὗτος^{rdnms}. **v.30** καί^{c} λέγω^{viaa3s} ὁ^{dnms} ἄγγελος^{nnms} αὐτός^{rpdfs} μή^{xo} φοβέομαι^{vdpm2s} Μαρία^{tp} εὑρίσκω^{viaa2s} γάρ^{c} χάρις^{nafs} παρά^{p} ὁ^{ddms} θεός^{ndms}. **v.31** καί^{c} ἰδού^{vdaa2s} συλλαμβάνω^{vifd2s} ἐν^{p} γαστήρ^{ndfs} καί^{c} τίκτω^{vifd2s} υἱός^{nams} καί^{c} καλέω^{vifa2s} ὁ^{dans} ὄνομα^{nans} αὐτός^{rpgms} Ἰησοῦς^{nams}. **v.32** οὗτος^{rdnms} εἰμί^{vifx3s} μέγας^{anmsn} καί^{c} υἱός^{nnms} ὕψιστος^{agmsn} καλέω^{vifp3s} καί^{c} δίδωμι^{vifa3s} αὐτός^{rpdms} κύριος^{nnms} ὁ^{dnms} θεός^{nnms} ὁ^{dams} θρόνος^{nams} Δαυίδ^{tp} ὁ^{dgms} πατήρ^{ngms} αὐτός^{rpgms}.

τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. εἶπε δὲ 34
Μαριὰμ πρὸς τὸν ἄγγελον, Πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γι-
νώσκω· καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ, Πνεῦμα Ἅγιον 35
ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι, διὸ
καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον κληθήσεται υἱὸς Θεοῦ. καὶ 36
ἰδού, Ἐλισάβετ ἡ συγγενής σου, καὶ αὐτὴ συνειληφυῖα υἱὸν
ἐν γήρᾳ αὐτῆς, καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ
στείρᾳ. ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ θεῷ πᾶν ῥῆμα. εἶπε δὲ 37, 38
Μαριάμ, Ἰδού, ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου.
καὶ ἀπῆλθεν ἀπ᾽ αὐτῆς ὁ ἄγγελος. Ἀναστᾶσα δὲ Μαριὰμ ἐν 39
ταῖς ἡμέραις ταύταις ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς,
εἰς πόλιν Ἰούδα, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠ- 40
σπάσατο τὴν Ἐλισάβετ. καὶ ἐγένετο ὡς ἤκουσεν ἡ Ἐλισάβετ 41
τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ
αὐτῆς, καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνε- 42
φώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν, Εὐλογημένη σὺ ἐν γυναιξί,
καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. καὶ πόθεν μοι 43
τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρός με· ἰδοὺ γάρ, 44
ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτη-
σεν ἐν ἀγαλλιάσει τὸ βρέφος ἐν τῇ κοιλίᾳ μου. καὶ μακαρία ἡ 45

---

v.33 καί^{c} βασιλεύω^{vifa3s} ἐπί^{p} ὁ^{dams} οἶκος^{nams} Ἰακώβ^{tp} εἰς^{p} ὁ^{damp} αἰών^{namp} καί^{c} ὁ^{dgfs} βασιλεία^{ngfs} αὐτός^{rpgms} οὐ^{xo} εἰμί^{vifx3s} τέλος^{nnns}. **v.34** λέγω^{viaa3s} δέ^{c} Μαρία^{tp} πρός^{p} ὁ^{dams} ἄγγελος^{nams} πῶς^{bo} εἰμί^{vifx3s} οὗτος^{rdnns} ἐπεί^{c} ἀνήρ^{nams} οὐ^{xo} γινώσκω^{vipa1s}. **v.35** καί^{c} ἀποκρίνομαι^{vpaonms} ὁ^{dnms} ἄγγελος^{nnms} λέγω^{viaa3s} αὐτός^{rpdfs} πνεῦμα^{nnns} ἅγιος^{annsn} ἐπέρχομαι^{vifd3s} ἐπί^{p} σύ$^{rpa-s}$ καί^{c} δύναμις^{nnfs} ὕψιστος^{agmsn} ἐπισκιάζω^{vifa3s} σύ$^{rpd-s}$ διό^{c} καί^{c} ὁ^{dnns} γεννάω^{vpppnns} ἐκ^{p} σύ$^{rpg-s}$ ἅγιος^{annsn} καλέω^{vifp3s} υἱός^{nnms} θεός^{ngms}. **v.36** καί^{c} ἰδού^{vdaa2s} Ἐλισάβετ^{tp} ὁ^{dnfs} συγγενής^{anfsn} σύ$^{rpg-s}$ καί^{c} αὐτός^{rpnfs} συλλαμβάνω^{vpxanfs} υἱός^{nams} ἐν^{p} γῆρας^{ndns} αὐτός^{rpgfs} καί^{c} οὗτος^{rdnms} μήν^{xo} ἕκτος^{anmsn} εἰμί^{vipx3s} αὐτός^{rpdfs} ὁ^{ddfs} καλέω^{vppdfs} στεῖρα^{ndfs}. **v.37** ὅτι^{c} οὐ^{xo} ἀδυνατέω^{vifa3s} παρά^{p} ὁ^{ddms} θεός^{ndms} πᾶς^{annsn} ῥῆμα^{nnns}. **v.38** λέγω^{viaa3s} δέ^{c} Μαρία^{tp} ἰδού^{vdaa2s} ὁ^{dnfs} δούλη^{nnfs} κύριος^{ngms} γίνομαι^{voad3s} ἐγώ$^{rpd-s}$ κατά^{p} ὁ^{dans} ῥῆμα^{nans} σύ$^{rpg-s}$ καί^{c} ἀπέρχομαι^{viaa3s} ἀπό^{p} αὐτός^{rpgfs} ὁ^{dnms} ἄγγελος^{nnms}. **v.39** ἀνίστημι^{vpaanfs} δέ^{c} Μαρία^{tp} ἐν^{p} ὁ^{ddfp} ἡμέρα^{ndfp} οὗτος^{rddfp} πορεύομαι^{viao3s} εἰς^{p} ὁ^{dafs} ὀρεινός^{aafsn} μετά^{p} σπουδή^{ngfs} εἰς^{p} πόλις^{nafs} Ἰούδας^{ngms}. **v.40** καί^{c} εἰσέρχομαι^{viaa3s} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} Ζαχαρίας^{ngms} καί^{c} ἀσπάζομαι^{viad3s} ὁ^{dafs} Ἐλισάβετ^{tp}. **v.41** καί^{c} γίνομαι^{viad3s} ὡς^{bo} ἀκούω^{viaa3s} ὁ^{dnfs} Ἐλισάβετ^{tp} ὁ^{dams} ἀσπασμός^{nams} ὁ^{dgfs} Μαρία^{ngfs} σκιρτάω^{viaa3s} ὁ^{dnns} βρέφος^{nnns} ἐν^{p} ὁ^{ddfs} κοιλία^{ndfs} αὐτός^{rpgfs} καί^{c} πίμπλημι^{viap3s} πνεῦμα^{ngns} ἅγιος^{agnsn} ὁ^{dnfs} Ἐλισάβετ^{tp}. **v.42** καί^{c} ἀναφωνέω^{viaa3s} φωνή^{ndfs} μέγας^{adfsn} καί^{c} λέγω^{viaa3s} εὐλογέω^{vpxpnfs} σύ$^{rpn-s}$ ἐν^{p} γυνή^{ndfp} καί^{c} εὐλογέω^{vpxpnms} ὁ^{dnms} καρπός^{nnms} ὁ^{dgfs} κοιλία^{ngfs} σύ$^{rpg-s}$. **v.43** καί^{c} πόθεν^{bo} ἐγώ$^{rpd-s}$ οὗτος^{rdnns} ἵνα^{c} ἔρχομαι^{vsaa3s} ὁ^{dnfs} μήτηρ^{nnfs} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-s}$ πρός^{p} ἐγώ$^{rpa-s}$. **v.44** ἰδού^{vdaa2s} γάρ^{c} ὡς^{bo} γίνομαι^{viad3s} ὁ^{dnfs} φωνή^{nnfs} ὁ^{dgms} ἀσπασμός^{ngms} σύ$^{rpg-s}$ εἰς^{p} ὁ^{danp} οὖς^{nanp} ἐγώ$^{rpg-s}$ σκιρτάω^{viaa3s} ἐν^{p} ἀγαλλίασις^{ndfs} ὁ^{dnns} βρέφος^{nnns} ἐν^{p} ὁ^{ddfs} κοιλία^{ndfs} ἐγώ$^{rpg-s}$.

πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ
46 Κυρίου. καὶ εἶπε Μαριάμ, Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον,
47, 48 καὶ ἠγαλλίασεν τὸ πνεῦμά μου ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου. ὅτι
ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. ἰδοὺ γάρ, ἀ-
49 πὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. ὅτι ἐποίησέ μοι
50 μεγάλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. καὶ τὸ ἔλεος
51 αὐτοῦ εἰς γενεὰς γενεῶν τοῖς φοβουμένοις αὐτόν. ἐποίησε
κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ
52 καρδίας αὐτῶν. καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε
53 ταπεινούς. πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας
54 ἐξαπέστειλε κενούς. ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνη-
55 σθῆναι ἐλέους. καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν τῷ
56 Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ εἰς τὸν αἰῶνα. Ἔμεινε δὲ Μα-
ριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον
57 αὐτῆς. Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν,
58 καὶ ἐγέννησεν υἱόν. καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγε-
νεῖς αὐτῆς ὅτι ἐμεγάλυνε Κύριος τὸ ἔλεος αὐτοῦ μετ᾽ αὐτῆς,
59 καὶ συνέχαιρον αὐτῇ. καὶ ἐγένετο ἐν τῇ ὀγδόῃ ἡμέρᾳ, ἦλθον
περιτεμεῖν τὸ παιδίον, καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ
60 πατρὸς αὐτοῦ Ζαχαρίαν. καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ εἶ-

---

v.45 καί^{c} μακάριος^{anfsn} ὁ^{dnfs} πιστεύω^{vpaanfs} ὅτι^{c} εἰμί^{vifx3s} τελείωσις^{nnfs} ὁ^{ddnp} λαλέω^{vpxpdnp} αὐτός^{rpdfs} παρά^{p} κύριος^{ngms}. **v.46** καί^{c} λέγω^{viaa3s} Μαρία^{tp} μεγαλύνω^{vipa3s} ὁ^{dnfs} ψυχή^{nnfs} ἐγώ$^{rpg-s}$ ὁ^{dams} κύριος^{nams}. **v.47** καί^{c} ἀγαλλιάω^{viaa3s} ὁ^{dnns} πνεῦμα^{nnns} ἐγώ$^{rpg-s}$ ἐπί^{p} ὁ^{ddms} θεός^{ndms} ὁ^{ddms} σωτήρ^{ndms} ἐγώ$^{rpg-s}$. **v.48** ὅτι^{c} ἐπιβλέπω^{viaa3s} ἐπί^{p} ὁ^{dafs} ταπείνωσις^{nafs} ὁ^{dgfs} δούλη^{ngfs} αὐτός^{rpgms} ἰδού^{vdaa2s} γάρ^{c} ἀπό^{p} ὁ^{dgms} νῦν^{bo} μακαρίζω^{vifa3p} ἐγώ$^{rpa-s}$ πᾶς^{anfpn} ὁ^{dnfp} γενεά^{nnfp}. **v.49** ὅτι^{c} ποιέω^{viaa3s} ἐγώ$^{rpd-s}$ μεγαλεῖος^{aanpn} ὁ^{dnms} δυνατός^{anmsn} καί^{c} ἅγιος^{aansn} ὁ^{dnns} ὄνομα^{nnns} αὐτός^{rpgms}. **v.50** καί^{c} ὁ^{dnns} ἔλεος^{nnms} αὐτός^{rpgms} εἰς^{p} γενεά^{nafp} γενεά^{ngfp} ὁ^{ddmp} φοβέομαι^{vppndmp} αὐτός^{rpams}. **v.51** ποιέω^{viaa3s} κράτος^{nans} ἐν^{p} βραχίων^{ndms} αὐτός^{rpgms} διασκορπίζω^{viaa3s} ὑπερήφανος^{aampn} διάνοια^{ndfs} καρδία^{ngfs} αὐτός^{rpgmp}. **v.52** καθαιρέω^{viaa3s} δυνάστης^{namp} ἀπό^{p} θρόνος^{ngmp} καί^{c} ὑψόω^{viaa3s} ταπεινός^{aampn}. **v.53** πεινάω^{vppaamp} ἐμπίπλημι^{viaa3s} ἀγαθός^{agmpn} καί^{c} πλουτέω^{vppaamp} ἐξαποστέλλω^{viaa3s} κενός^{aampn}. **v.54** ἀντιλαμβάνομαι^{viad3s} Ἰσραήλ^{tp} παῖς^{ngms} αὐτός^{rpgms} μιμνήσκομαι^{vnap} ἔλεος^{ngns}. **v.55** καθώς^{bo} λαλέω^{viaa3s} πρός^{p} ὁ^{damp} πατήρ^{namp} ἐγώ$^{rpg-p}$ ὁ^{ddms} Ἀβραάμ^{tp} καί^{c} ὁ^{ddns} σπέρμα^{ndns} αὐτός^{rpgms} εἰς^{p} ὁ^{dams} αἰών^{nams}. **v.56** μένω^{viaa3s} δέ^{c} Μαρία^{tp} σύν^{p} αὐτός^{rpdfs} ὡσεί^{bo} μήν^{namp} τρεῖς^{namp} καί^{c} ὑποστρέφω^{viaa3s} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} αὐτός^{rpgfs}. **v.57** ὁ^{ddfs} δέ^{c} Ἐλισάβετ^{tp} πίμπλημι^{viap3s} ὁ^{dnms} χρόνος^{nnms} ὁ^{dgms} τίκτω^{vnaa} αὐτός^{rpafs} καί^{c} γεννάω^{viaa3s} υἱός^{nams}. **v.58** καί^{c} ἀκούω^{viaa3p} ὁ^{dnmp} περίοικος^{anmpn} καί^{c} ὁ^{dnmp} συγγενής^{anmpn} αὐτός^{rpgfs} ὅτι^{c} μεγαλύνω^{viia3s} κύριος^{nnms} ὁ^{dans} ἔλεος^{nans} αὐτός^{rpgms} μετά^{p} αὐτός^{rpgfs} καί^{c} συγχαίρω^{viia3p} αὐτός^{rpdfs}. **v.59** καί^{c} γίνομαι^{viad3s} ἐν^{p} ὁ^{ddfs} ὄγδοος^{adfsn} ἡμέρα^{ndfs} ἔρχομαι^{viaa3p} περιτέμνω^{vnaa} ὁ^{dans} παιδίον^{nans} καί^{c} καλέω^{viia3p} αὐτός^{rpans} ἐπί^{p} ὁ^{ddns} ὄνομα^{ndns} ὁ^{dgms} πατήρ^{ngms} αὐτός^{rpgms} Ζαχαρίας^{nams}.

πεν, Οὐχί, ἀλλὰ κληθήσεται Ἰωάννης. καὶ εἶπον πρὸς αὐτὴν 61
ὅτι Οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ σου ὃς καλεῖται τῷ ὀνόματι
τούτῳ. ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ, τὸ τί ἂν θέλοι καλεῖσθαι 62
αὐτόν. καὶ αἰτήσας πινακίδιον ἔγραψε, λέγων, Ἰωάννης ἐστὶ 63
τὸ ὄνομα αὐτοῦ, καὶ ἐθαύμασαν πάντες. ἀνεῴχθη δὲ τὸ στόμα 64
αὐτοῦ παραχρῆμα καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν
Θεόν. καὶ ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοικοῦντας αὐ- 65
τούς, καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ
ῥήματα ταῦτα. καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρ- 66
δίᾳ αὐτῶν, λέγοντες, Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται· καὶ χεὶρ
Κυρίου ἦν μετ᾽ αὐτοῦ. Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη 67
Πνεύματος Ἁγίου, καὶ προεφήτευσε, λέγων, Εὐλογητὸς Κύ- 68
ριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν
τῷ λαῷ αὐτοῦ, καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ 69
Δαβὶδ τοῦ παιδὸς αὐτοῦ. καθὼς ἐλάλησε διὰ στόματος τῶν 70
ἁγίων τῶν ἀπ᾽ αἰῶνος προφητῶν αὐτοῦ, σωτηρίαν ἐξ ἐχθρῶν 71
ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς, ποιῆσαι ἔ- 72
λεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας
αὐτοῦ, ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ 73, 74
δοῦναί ἡμῖν, ἀφόβως, ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας,

---

καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου, καθὼς προσέταξε
Μωσῆς, εἰς μαρτύριον αὐτοῖς. διήρχετο δὲ μᾶλλον ὁ λόγος 15
περὶ αὐτοῦ, καὶ συνήρχοντο ὄχλοι πολλοὶ ἀκούειν, καὶ θερα-
πεύεσθαι ὑπ᾽ αὐτοῦ ἀπὸ τῶν ἀσθενειῶν αὐτῶν. αὐτὸς δὲ ἦν 16
ὑποχωρῶν ἐν ταῖς ἐρήμοις καὶ προσευχόμενος. Καὶ ἐγένετο 17
ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἦν διδάσκων, καὶ ἦσαν καθή-
μενοι Φαρισαῖοι καὶ νομοδιδάσκαλοι, οἳ ἦσαν ἐληλυθότες ἐκ
πάσης κώμης τῆς Γαλιλαίας καὶ Ἰουδαίας καὶ Ἰερουσαλήμ, καὶ

---

v.8 ὁράω^{vpaanms} δέ^{c} Σίμων^{nnms} Πέτρος^{nnms} προσπίπτω^{viaa3s} ὁ^{ddnp} γόνυ^{ndnp} ὁ^{dgms} Ἰησοῦς^{ngms} λέγω^{vppanms} ἐξέρχομαι^{vdaa2s} ἀπό^{p} ἐγώ$^{rpg\text{-}s}$ ὅτι^{c} ἀνήρ^{nnms} ἁμαρτωλός^{anmsn} εἰμί^{vipx1s} κύριος^{nvms}. **v.9** θάμβος^{nnns} γάρ^{c} περιέχω^{viaa3s} αὐτός^{rpams} καί^{c} πᾶς^{aampn} ὁ^{damp} σύν^{p} αὐτός^{rpdms} ἐπί^{p} ὁ^{ddfs} ἄγρα^{ndfs} ὁ^{dgmp} ἰχθύς^{ngmp} ὅς^{rrdfs} συλλαμβάνω^{viaa3p}. **v.10** ὁμοίως^{bo} δέ^{c} καί^{c} Ἰάκωβος^{nams} καί^{c} Ἰωάννης^{nams} υἱός^{namp} Ζεβεδαῖος^{ngms} ὅς^{rrnmp} εἰμί^{viix3p} κοινωνός^{anmpn} ὁ^{ddms} Σίμων^{ndms} καί^{c} λέγω^{viaa3s} πρός^{p} ὁ^{dams} Σίμων^{nams} ὁ^{dnms} Ἰησοῦς^{nnms} μή^{xo} φοβέομαι^{vdpm2s} ἀπό^{p} ὁ^{dgms} νῦν^{bo} ἄνθρωπος^{namp} εἰμί^{vifx2s} ζωγρέω^{vppanms}. **v.11** καί^{c} κατάγω^{vpaanmp} ὁ^{danp} πλοῖον^{nanp} ἐπί^{p} ὁ^{dafs} γῆ^{nafs} ἀφίημι^{vpaanmp} ἅπας^{aanpn} ἀκολουθέω^{viaa3p} αὐτός^{rpdms}. **v.12** καί^{c} γίνομαι^{viad3s} ἐν^{p} ὁ^{ddms} εἰμί^{vnpx} αὐτός^{rpams} ἐν^{p} εἷς^{ndfs} ὁ^{dgfp} πόλις^{ngfp} καί^{c} ἰδού^{vdaa2s} ἀνήρ^{nnms} πλήρης^{anmsn} λέπρα^{ngfs} καί^{c} ὁράω^{vpaanms} ὁ^{dams} Ἰησοῦς^{nams} πίπτω^{vpaanms} ἐπί^{p} πρόσωπον^{nans} δέομαι^{viap3s} αὐτός^{rpgms} λέγω^{vppanms} κύριος^{nvms} ἐάν^{qo} θέλω^{vspa2s} δύναμαι^{vipn2s} ἐγώ$^{rpa\text{-}s}$ καθαρίζω^{vnaa}. **v.13** καί^{c} ἐκτείνω^{vpaanfs} ὁ^{dafs} χείρ^{nafs} ἅπτω^{viad3s} αὐτός^{rpgms} λέγω^{vpaanms} θέλω^{vipa1s} καθαρίζω^{vdap2s} καί^{c} εὐθέως^{bo} ὁ^{dnfs} λέπρα^{nnfs} ἀπέρχομαι^{viaa3s} ἀπό^{p} αὐτός^{rpgms}. **v.14** καί^{c} αὐτός^{rpnms} παραγγέλλω^{viaa3s} αὐτός^{rpdms} μηδείς^{admsn} λέγω^{vnaa} ἀλλά^{c} ἀπέρχομαι^{vpaanms} δείκνυμι^{vdaa2s} σεαυτοῦ^{rxams} ὁ^{ddms} ἱερεύς^{ndms} καί^{c} προσφέρω^{vdaa2s} περί^{p} ὁ^{dgms} καθαρισμός^{ngms} σύ$^{rpg\text{-}s}$ καθώς^{bo} προστάσσω^{viaa3s} Μωϋσῆς^{nnms} εἰς^{p} μαρτύριον^{nans} αὐτός^{rpdmp}. **v.15** διέρχομαι^{viin3s} δέ^{c} μᾶλλον^{bo} ὁ^{dnms} λόγος^{nnms} περί^{p} αὐτός^{rpgms} καί^{c} συνέρχομαι^{viin3p} ὄχλος^{nnmp} πολύς^{anmpn} ἀκούω^{vnpa} καί^{c} θεραπεύω^{vnpp} ὑπό^{p} αὐτός^{rpgms} ἀπό^{p} ὁ^{dgfp} ἀσθένεια^{ngfp} αὐτός^{rpgmp}. **v.16** αὐτός^{rpnms} δέ^{c} εἰμί^{viix3s} ὑποχωρέω^{vppanms} ἐν^{p} ὁ^{ddfp} ἔρημος^{adfpn} καί^{c} προσεύχομαι^{vppnnms}.

18 δύναμις Κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτούς. καὶ ἰδού, ἄνδρες φέ-
ροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος, καὶ ἐζήτουν
19 αὐτὸν εἰσενεγκεῖν καὶ θεῖναι ἐνώπιον αὐτοῦ, καὶ μὴ εὑρόντες
διὰ ποίας εἰσενέγκωσιν αὐτὸν διὰ τὸν ὄχλον, ἀναβάντες ἐπὶ τὸ
δῶμα, διὰ τῶν κεράμων καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ
20 μέσον ἔμπροσθεν τοῦ Ἰησοῦ. καὶ ἰδὼν τὴν πίστιν αὐτῶν, εἶπεν
21 αὐτῷ, Ἄνθρωπε, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. καὶ ἤρξαντο
διαλογίζεσθαι οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι, λέγοντες, Τίς ἐ-
στιν οὗτος ὃς λαλεῖ βλασφημίας· τίς δύναται ἀφιέναι ἁμαρτίας,
22 εἰ μὴ μόνος ὁ Θεός· ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς
αὐτῶν ἀποκριθεὶς εἶπε πρὸς αὐτούς, Τί διαλογίζεσθε ἐν ταῖς
23 καρδίαις ὑμῶν· τί ἐστιν εὐκοπώτερον, εἰπεῖν, Ἀφέωνταί σοι αἱ
24 ἁμαρτίαι σου, ἢ εἰπεῖν, Ἔγειραι καὶ περιπάτει· ἵνα δὲ εἰδῆτε
ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁ-
μαρτίας εἶπε τῷ παραλελυμένῳ, Σοὶ λέγω, ἔγειραι, καὶ ἆρας τὸ
25 κλινίδιόν σου, πορεύου εἰς τὸν οἶκόν σου. καὶ παραχρῆμα
ἀναστὰς ἐνώπιον αὐτῶν, ἆρας ἐφ' ᾧ κατέκειτο, ἀπῆλθεν εἰς τὸν
26 οἶκον αὐτοῦ, δοξάζων τὸν Θεόν. καὶ ἔκστασις ἔλαβεν ἅπαντας,
καὶ ἐδόξαζον τὸν Θεόν, καὶ ἐπλήσθησαν φόβου, λέγοντες, ὅτι

---

v.17 καί^{c} γίνομαι^{viad3s} ἐν^{p} εἷς^{ndfs} ὁ^{dgfp} ἡμέρα^{ngfp} καί^{c} αὐτός^{rpnms} εἰμί^{viix3s} διδάσκω^{vppanms} καί^{c} εἰμί^{viix3p} κάθημαι^{vppnnmp} Φαρισαῖος^{nnmp} καί^{c} νομοδιδάσκαλος^{nnmp} ὅς^{rrnmp} εἰμί^{viix3p} ἔρχομαι^{vpxanmp} ἐκ^{p} πᾶς^{agfsn} κώμη^{ngfs} ὁ^{dgfs} Γαλιλαία^{ngfs} καί^{c} Ἰουδαία^{ngfs} καί^{c} Ἱερουσαλήμ^{tp} καί^{c} δύναμις^{nnfs} κύριος^{ngms} εἰμί^{viix3s} εἰς^{p} ὁ^{dans} ἰάομαι^{vnpn} αὐτός^{rpamp}. **v.18** καί^{c} ἰδού^{vdaa2s} ἀνήρ^{nnmp} φέρω^{vppanmp} ἐπί^{p} κλίνη^{ngfs} ἄνθρωπος^{nams} ὅς^{rrnms} εἰμί^{viix3s} παραλύω^{vpxpnms} καί^{c} ζητέω^{viia3p} αὐτός^{rpams} εἰσφέρω^{vnaa} καί^{c} τίθημι^{vnaa} ἐνώπιον^{bo} αὐτός^{rpgms}. **v.19** καί^{c} μή^{xo} εὑρίσκω^{vpaanmp} διά^{p} ποῖος^{rqgfs} εἰσφέρω^{vsaa3p} αὐτός^{rpams} διά^{p} ὁ^{dams} ὄχλος^{nams} ἀναβαίνω^{vpaanmp} ἐπί^{p} ὁ^{dans} δῶμα^{nans} διά^{p} ὁ^{dgmp} κέραμος^{ngmp} καθίημι^{viaa3p} αὐτός^{rpams} σύν^{p} ὁ^{ddns} κλινίδιον^{ndns} εἰς^{p} ὁ^{dans} μέσος^{aansn} ἔμπροσθεν^{p} ὁ^{dgms} Ἰησοῦς^{ngms}. **v.20** καί^{c} ὁράω^{vpaanms} ὁ^{dafs} πίστις^{nafs} αὐτός^{rpgmp} λέγω^{viaa3s} αὐτός^{rpdms} ἄνθρωπος^{nvms} ἀφίημι^{vixp3p} σύ$^{rpd-s}$ ὁ^{dnfp} ἁμαρτία^{nnfp} σύ$^{rpg-s}$. **v.21** καί^{c} ἄρχω^{viad3p} διαλογίζομαι^{vnpn} ὁ^{dnmp} γραμματεύς^{nnmp} καί^{c} ὁ^{dnmp} Φαρισαῖος^{nnmp} λέγω^{vppanmp} τίς^{rqnms} εἰμί^{vipx3s} οὗτος^{rdnms} ὅς^{rrnms} λαλέω^{vipa3s} βλασφημία^{nafp} τίς^{rqnms} δύναμαι^{vipn3s} ἀφίημι^{vnpa} ἁμαρτία^{nafp} εἰ^{qo} μή^{xo} μόνος^{anmsn} ὁ^{dnms} θεός^{nnms}. **v.22** ἐπιγινώσκω^{vpaanms} δέ^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{damp} διαλογισμός^{namp} αὐτός^{rpgmp} ἀποκρίνομαι^{vpaonms} λέγω^{viaa3s} πρός^{p} αὐτός^{rpamp} τίς^{rqans} διαλογίζομαι^{vipn2p} ἐν^{p} ὁ^{ddfp} καρδία^{ndfp} σύ$^{rpg-p}$. **v.23** τίς^{rqnns} εἰμί^{vipx3s} εὔκοπος^{annsc} λέγω^{vnaa} ἀφίημι^{vixp3p} σύ$^{rpd-s}$ ὁ^{dnfp} ἁμαρτία^{nnfp} σύ$^{rpg-s}$ ἤ^{xo} λέγω^{vnaa} ἐγείρω^{vdam2s} καί^{c} περιπατέω^{vdpa2s}. **v.24** ἵνα^{c} δέ^{c} οἶδα^{vsxa2p} ὅτι^{c} ἐξουσία^{nafs} ἔχω^{vipa3s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs} ἀφίημι^{vnpa} ἁμαρτία^{nafp} λέγω^{viaa3s} ὁ^{ddms} παραλύω^{vpxpdms} σύ$^{rpd-s}$ λέγω^{vipa1s} ἐγείρω^{vdam2s} καί^{c} αἴρω^{vpaanms} ὁ^{dans} κλινίδιον^{nans} σύ$^{rpg-s}$ πορεύομαι^{vdpn2s} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} σύ$^{rpg-s}$. **v.25** καί^{c} παραχρῆμα^{bo} ἀνίστημι^{vpaanms} ἐνώπιον^{bo} αὐτός^{rpgmp} αἴρω^{vpaanms} ἐπί^{p} ὅς^{rrdns} κατάκειμαι^{viin3s} ἀπέρχομαι^{viaa3s} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} αὐτός^{rpgms} δοξάζω^{vppanms} ὁ^{dams} θεός^{nams}.

Εἴδομεν παράδοξα σήμερον. Καὶ μετὰ ταῦτα ἐξῆλθε, καὶ ἐθε- 27
άσατο τελώνην, ὀνόματι Λευΐν, καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ
εἶπεν αὐτῷ, Ἀκολούθει μοι. καὶ καταλιπὼν ἅπαντα, ἀναστὰς 28
ἠκολούθησεν αὐτῷ. καὶ ἐποίησε δοχὴν μεγάλην ὁ Λευΐς αὐτῷ 29
ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ ἦν ὄχλος τελωνῶν πολύς, καὶ ἄλλων οἳ
ἦσαν μετ᾽ αὐτῶν κατακείμενοι. καὶ ἐγόγγυζον οἱ γραμματεῖς 30
αὐτῶν καὶ οἱ Φαρισαῖοι πρὸς τοὺς μαθητὰς αὐτοῦ, λέγοντες,
Διατί μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε· καὶ ἀ- 31
ποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτούς, Οὐ χρείαν ἔχουσιν οἱ
ὑγιαίνοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες. οὐκ ἐλήλυθα κα- 32
λέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. οἱ δὲ εἶπον 33
πρὸς αὐτόν, Διατί οἱ μαθηταὶ Ἰωάννου νηστεύουσιν πυκνὰ, καὶ
δεήσεις ποιοῦνται, ὁμοίως καὶ οἱ τῶν Φαρισαίων, οἱ δὲ σοὶ ἐ-
σθίουσι καὶ πίνουσιν· ὁ δὲ εἶπε πρὸς αὐτούς, Μὴ δύνασθε 34
τοὺς υἱοὺς τοῦ νυμφῶνος, ἐν ᾧ ὁ νυμφίος μετ᾽ αὐτῶν ἐστι, ποι-
ῆσαι νηστεύειν. ἐλεύσονται δὲ ἡμέραι, καὶ ὅταν ἀπαρθῇ ἀπ᾽ 35
αὐτῶν ὁ νυμφίος, τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις.
ἔλεγε δὲ καὶ παραβολὴν πρὸς αὐτοὺς ὅτι Οὐδεὶς ἐπίβλημα ἱ- 36
ματίου καινοῦ ἐπιβάλλει ἐπὶ ἱμάτιον παλαιόν, εἰ δὲ μήγε, καὶ
τὸ καινὸν σχίζει, καὶ τῷ παλαιῷ οὐ συμφωνει ἐπίβλημα τὸ ἀπὸ

---

v.26 καί[c] ἔκστασις[nnfs] λαμβάνω[viaa3s] ἅπας[aampn] καί[c] δοξάζω[viia3p] ὁ[dams] θεός[nams] καί[c] πίμπλημι[viap3p] φόβος[ngms] λέγω[vppanmp] ὅτι[c] ὁράω[viaa1p] παράδοξος[aanpn] σήμερον[bo]. **v.27** καί[c] μετά[p] οὗτος[rdanp] ἐξέρχομαι[viaa3s] καί[c] θεάομαι[viad3s] τελώνης[nams] ὄνομα[ndns] Λευί[nams] κάθημαι[vppnams] ἐπί[p] ὁ[dans] τελώνιον[nans] καί[c] λέγω[viaa3s] αὐτός[rpdms] ἀκολουθέω[vdpa2s] ἐγώ[rpd-s]. **v.28** καί[c] καταλείπω[vpaanms] ἅπας[aanpn] ἀνίστημι[vpaanms] ἀκολουθέω[viaa3s] αὐτός[rpdms]. **v.29** καί[c] ποιέω[viaa3s] δοχή[nafs] μέγας[aafsn] ὁ[dnms] Λευί[nnms] αὐτός[rpdms] ἐν[p] ὁ[ddfs] οἰκία[ndfs] αὐτός[rpgms] καί[c] εἰμί[viix3s] ὄχλος[nnms] τελώνης[ngmp] πολύς[anmsn] καί[c] ἄλλος[agmpn] ὅς[rrnmp] εἰμί[viix3p] μετά[p] αὐτός[rpgmp] κατάκειμαι[vppnnmp]. **v.30** καί[c] γογγύζω[viia3p] ὁ[dnmp] γραμματεύς[nnmp] αὐτός[rpgmp] καί[c] ὁ[dnmp] Φαρισαῖος[nnmp] πρός[p] ὁ[damp] μαθητής[namp] αὐτός[rpgms] λέγω[vppanmp] διά&τίς[xo] μετά[p] τελώνης[ngmp] καί[c] ἁμαρτωλός[agmpn] ἐσθίω[vipa2p] καί[c] πίνω[vipa2p]. **v.31** καί[c] ἀποκρίνομαι[vpaonms] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[viaa3s] πρός[p] αὐτός[rpamp] οὐ[xo] χρεία[nafs] ἔχω[vipa3p] ὁ[dnmp] ὑγιαίνω[vppanmp] ἰατρός[ngms] ἀλλά[c] ὁ[dnmp] κακῶς[bo] ἔχω[vppanmp]. **v.32** οὐ[xo] ἔρχομαι[vixa1s] καλέω[vnaa] δίκαιος[aampn] ἀλλά[c] ἁμαρτωλός[aampn] εἰς[p] μετάνοια[nafs]. **v.33** ὁ[dnmp] δέ[c] λέγω[viaa3p] πρός[p] αὐτός[rpams] διά&τίς[xo] ὁ[dnmp] μαθητής[nnmp] Ἰωάννης[ngms] νηστεύω[vipa3p] πυκνός[aanpn] καί[c] δέησις[nafp] ποιέω[vipm3p] ὁμοίως[bo] καί[c] ὁ[dnmp] ὁ[dgmp] Φαρισαῖος[ngmp] ὁ[dnmp] δέ[c] σός[rsnmp] ἐσθίω[vipa3p] καί[c] πίνω[vipa3p]. **v.34** ὁ[dnms] δέ[c] λέγω[viaa3s] πρός[p] αὐτός[rpamp] μή[xo] δύναμαι[vipn2p] ὁ[damp] υἱός[namp] ὁ[dgms] νυμφών[ngms] ἐν[p] ὅς[rrdms] ὁ[dnms] νυμφίος[nnms] μετά[p] αὐτός[rpgmp] εἰμί[vipx3s] ποιέω[vnaa] νηστεύω[vnpa]. **v.35** ἔρχομαι[vifd3p] δέ[c] ἡμέρα[nnfp] καί[c] ὅταν[c] ἀπαίρω[vsap3s] ἀπό[p] αὐτός[rpgmp] ὁ[dnms] νυμφίος[nnms] τότε[bo] νηστεύω[vifa3p] ἐν[p] ἐκεῖνος[rddfp] ὁ[ddfp] ἡμέρα[ndfp].

37 τοῦ καινοῦ. καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαι-
οὺς, εἰ δὲ μήγε, ῥήξει ὁ νέος οἶνος τοὺς ἀσκούς, καὶ αὐτὸς
38 ἐκχυθήσεται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται. ἀλλὰ οἶνον νέον εἰς
39 ἀσκοὺς καινοὺς βλητέον, καὶ ἀμφότεροι συντηροῦνται. καὶ
οὐδεὶς πιὼν παλαιὸν εὐθέως θέλει νέον, λέγει γάρ, Ὁ παλαιὸς
χρηστότερός ἐστιν.

6 Ἐγένετο δὲ ἐν σαββάτῳ δευτεροπρώτῳ διαπορεύεσθαι αὐτὸν
διὰ τῶν σπορίμων, καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ τοὺς στάχυας,
2 καὶ ἤσθιον, ψώχοντες ταῖς χερσί. τινὲς δὲ τῶν Φαρισαίων εἶπον
3 αὐτοῖς, Τί ποιεῖτε ὃ οὐκ ἔξεστι ποιεῖν ἐν τοῖς σάββασι· καὶ ἀπο-
κριθεὶς πρὸς αὐτοὺς, εἶπεν ὁ Ἰησοῦς, Οὐδὲ τοῦτο ἀνέγνωτε, ὃ
ἐποίησε Δαβίδ, ὅπότε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ ὄντες·
4 ὡς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέ-
σεως ἔλαβε, καὶ ἔφαγε, καὶ ἔδωκε καὶ τοῖς μετ᾽ αὐτοῦ, οὓς οὐκ
5 ἔξεστι φαγεῖν εἰ μὴ μόνους τοὺς ἱερεῖς· καὶ ἔλεγεν αὐτοῖς ὅτι
6 Κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου. Ἐγένετο
δὲ καὶ ἐν ἑτέρῳ σαββάτῳ εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγὴν,
καὶ διδάσκειν, καὶ ἦν ἐκεῖ ἄνθρωπος, καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ
7 ἦν ξηρά. παρετήρουν δὲ αὐτὸν οἱ γραμματεῖς καὶ οἱ Φαρι-
σαῖοι, εἰ ἐν τῷ σαββάτῳ θεραπεύσει, ἵνα εὕρωσι κατηγορίαν

---

v.36 λέγω^{viia3s} δέ^{c} καί^{c} παραβολή^{nafs} πρός^{p} αὐτός^{rpamp} ὅτι^{c} οὐδείς^{anfsn} ἐπίβλημα^{nans} ἱμάτιον^{ngns} καινός^{agnsn} ἐπιβάλλω^{vipa3s} ἐπί^{p} ἱμάτιον^{nans} παλαιός^{aansn} εἰ^{qo} δέ^{c} μή^{xo} καί^{c} ὁ^{dans} καινός^{aansn} σχίζω^{vipa3s} καί^{c} ὁ^{ddns} παλαιός^{adnsn} οὐ^{xo} συμφωνέω^{vipa3s} ἐπίβλημα^{nans} ὁ^{dans} ἀπό^{p} ὁ^{dgns} καινός^{agnsn}. **v.37** καί^{c} οὐδείς^{anfsn} βάλλω^{vipa3s} οἶνος^{nams} νέος^{aamsn} εἰς^{p} ἀσκός^{namp} παλαιός^{aampn} εἰ^{qo} δέ^{c} μή^{xo} ῥήγνυμι^{vifa3s} ὁ^{dnms} νέος^{anmsn} οἶνος^{nnms} ὁ^{damp} ἀσκός^{namp} καί^{c} αὐτός^{rpnms} ἐκχέω^{vifp3s} καί^{c} ὁ^{dnmp} ἀσκός^{nnmp} ἀπόλλυμι^{vifm3p}. **v.38** ἀλλά^{c} οἶνος^{nams} νέος^{aamsn} εἰς^{p} ἀσκός^{namp} καινός^{aampn} βλητέος^{annsn} καί^{c} ἀμφότεροι^{anmpn} συντηρέω^{vipp3p}. **v.39** καί^{c} οὐδείς^{anfsn} πίνω^{vpaanms} παλαιός^{aamsn} εὐθέως^{bo} θέλω^{vipa3s} νέος^{aamsn} λέγω^{vipa3s} γάρ^{c} ὁ^{dnms} παλαιός^{anmsn} χρηστός^{anmsc} εἰμί^{vipx3s}. **6. v.1** γίνομαι^{viad3s} δέ^{c} ἐν^{p} σάββατον^{ndns} δευτερόπρωτος^{adnsn} διαπορεύομαι^{vnpn} αὐτός^{rpams} διά^{p} ὁ^{dgmp} σπόριμος^{agmpn} καί^{c} τίλλω^{viia3p} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} ὁ^{damp} στάχυς^{namp} καί^{c} ἐσθίω^{viia3p} ψώχω^{vppanmp} ὁ^{ddfp} χείρ^{ndfp}. **v.2** τι-σρινμπ δέ^{c} ὁ^{dgmp} Φαρισαῖος^{ngmp} λέγω^{viaa3p} αὐτός^{rpdmp} τίς^{rqans} ποιέω^{vipa2p} ὅς^{rrnns} οὐ^{xo} ἔξεστι^{vipq3s} ποιέω^{vnpa} ἐν^{p} ὁ^{ddnp} σάββατον^{ndnp}. **v.3** καί^{c} ἀποκρίνομαι^{vpaonms} πρός^{p} αὐτός^{rpamp} λέγω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} οὐδέ^{bo} οὗτος^{rdans} ἀναγινώσκω^{viaa2p} ὅς^{rrans} ποιέω^{viaa3s} Δαυίδ^{tp} ὁπότε^{bo} πεινάω^{viaa3s} αὐτός^{rpnms} καί^{c} ὁ^{dnmp} μετά^{p} αὐτός^{rpgms} εἰμί^{vppxnmp}. **v.4** ὡς^{bo} εἰσέρχομαι^{viaa3s} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} ὁ^{dgms} θεός^{ngms} καί^{c} ὁ^{damp} ἄρτος^{namp} ὁ^{dgfs} πρόθεσις^{ngfs} λαμβάνω^{viaa3s} καί^{c} ἐσθίω^{viaa3s} καί^{c} δίδωμι^{viaa3s} καί^{c} ὁ^{ddmp} μετά^{p} αὐτός^{rpgms} ὅς^{rramp} οὐ^{xo} ἔξεστι^{vipq3s} ἐσθίω^{vnaa} εἰ^{qo} μή^{xo} μόνος^{aampn} ὁ^{damp} ἱερεύς^{namp}. **v.5** καί^{c} λέγω^{viia3s} αὐτός^{rpdmp} ὅτι^{c} κύριος^{nnms} εἰμί^{vipx3s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} καί^{c} ὁ^{dgns} σάββατον^{ngns}. **v.6** γίνομαι^{viad3s} δέ^{c} καί^{c} ἐν^{p} ἕτερος^{adnsn} σάββατον^{ndns} εἰσέρχομαι^{vnaa} αὐτός^{rpams} εἰς^{p} ὁ^{dafs} συναγωγή^{nafs} καί^{c} διδάσκω^{vnpa} καί^{c} εἰμί^{viix3s} ἐκεῖ^{bo} ἄνθρωπος^{nnms} καί^{c} ὁ^{dnfs} χείρ^{nnfs} αὐτός^{rpgms} ὁ^{dnfs} δεξιός^{anfsn} εἰμί^{viix3s} ξηρός^{anfsn}.

αὐτοῦ. αὐτὸς δὲ ᾔδει τοὺς διαλογισμοὺς αὐτῶν, καὶ εἶπε τῷ 8
ἀνθρώπῳ τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα, Ἔγειραι, καὶ στῆθι εἰς τὸ
μέσον. ὁ δὲ ἀναστὰς ἔστη. εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτούς, 9
Ἐπερωτήσω ὑμᾶς τί, Ἔξεστι τοῖς σάββασιν, ἀγαθοποιῆσαι ἢ
κακοποιῆσαι· ψυχὴν σῶσαι ἢ ἀπολέσαι· καὶ περιβλεψάμενος 10
πάντας αὐτούς, εἶπε τῷ ἀνθρώπῳ, Ἔκτεινον τὴν χεῖρά σου. ὁ
δὲ ἐποίησεν οὕτω. καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς
ἡ ἄλλη. αὐτοὶ δὲ ἐπλήσθησαν ἀνοίας, καὶ διελάλουν πρὸς 11
ἀλλήλους, τί ἂν ποιήσειαν τῷ Ἰησοῦ. Ἐγένετο δὲ ἐν ταῖς ἡμέ- 12
ραις ταύταις ἐξῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι, καὶ ἦν διανυ-
κτερεύων ἐν τῇ προσευχῇ τοῦ Θεοῦ. καὶ ὅτε ἐγένετο ἡμέρα, 13
προσεφώνησε τοὺς μαθητὰς αὐτοῦ, καὶ ἐκλεξάμενος ἀπ᾽ αὐτῶν
δώδεκα, οὓς καὶ ἀποστόλους ὠνόμασε, Σίμωνα ὃν καὶ ὠνό- 14
μασε Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, Ἰάκωβον καὶ
Ἰωάννην, Φίλιππον καὶ Βαρθολομαῖον, Ματθαῖον καὶ Θωμᾶν, 15
Ἰάκωβον τὸν τοῦ Ἁλφαίου, καὶ Σίμωνα τὸν καλούμενον Ζηλω-
τήν, Ἰούδαν Ἰακώβου, καὶ Ἰούδαν Ἰσκαριώτην, ὃς καὶ ἐγένετο 16
προδότης, καὶ καταβὰς μετ᾽ αὐτῶν, ἔστη ἐπὶ τόπου πεδινοῦ, 17
καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πά-
σης τῆς Ἰουδαίας καὶ Ἰερουσαλήμ, καὶ τῆς παραλίου Τύρου
καὶ Σιδῶνος, οἵ ἦλθον ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν

---

v.7 παρατηρέω^{viia3p} δέ^{c} αὐτός^{rpams} ὁ^{dnmp} γραμματεύς^{nnmp} καί^{c} ὁ^{dnmp} Φαρισαῖος^{nnmp} εἰ^{qo} ἐν^{p} ὁ^{ddns} σάββατον^{ndns} θεραπεύω^{vifa3s} ἵνα^{c} εὑρίσκω^{viaa3p} κατηγορία^{nafs} αὐτός^{rpgms}. **v.8** αὐτός^{rpnms} δέ^{c} οἶδα^{viya3s} ὁ^{damp} διαλογισμός^{namp} αὐτός^{rpgmp} καί^{c} λέγω^{viaa3s} ὁ^{ddms} ἄνθρωπος^{ndms} ὁ^{ddms} ξηρός^{nafs} ἔχω^{vppadms} ὁ^{dafs} χείρ^{nafs} ἐγείρω^{vdam2s} καί^{c} ἵστημι^{vdaa2s} εἰς^{p} ὁ^{dans} μέσος^{aansn} ὁ^{dnms} δέ^{c} ἀνίστημι^{vpaanms} ἵστημι^{viaa3s}. **v.9** λέγω^{viaa3s} οὖν^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} πρός^{p} αὐτός^{rpamp} ἐπερωτάω^{vifa1s} σύ$^{rpa-p}$ τίς^{rqnns} ἔξεστι^{vipq3s} ὁ^{ddnp} σάββατον^{ndnp} ἀγαθοποιέω^{vnaa} ἤ^{xo} κακοποιέω^{vnaa} ψυχή^{nafs} σῴζω^{vnaa} ἤ^{xo} ἀπόλλυμι^{vnaa}. **v.10** καί^{c} περιβλέπω^{vpamnms} πᾶς^{aampn} αὐτός^{rpamp} λέγω^{viaa3s} ὁ^{ddms} ἄνθρωπος^{ndms} ἐκτείνω^{vdaa2s} ὁ^{dafs} χείρ^{nafs} σύ$^{rpg-s}$ ὁ^{dnms} δέ^{c} ποιέω^{viaa3s} οὕτω^{bo} καί^{c} ἀποκαθιστάνω^{viap3s} ὁ^{dnfs} χείρ^{nnfs} αὐτός^{rpgms} ὑγιής^{anfsn} ὡς^{bo} ὁ^{dnfs} ἄλλος^{anfsn}. **v.11** αὐτός^{rpnmp} δέ^{c} πίμπλημι^{viap3p} ἄνοια^{ngfs} καί^{c} διαλαλέω^{viia3p} πρός^{p} ἀλλήλων^{reamp} τίς^{rqans} ἄν^{xo} ποιέω^{voaa3p} ὁ^{ddms} Ἰησοῦς^{ndms}. **v.12** γίνομαι^{viad3s} δέ^{c} ἐν^{p} ὁ^{ddfp} ἡμέρα^{ndfp} οὗτος^{rddfp} ἐξέρχομαι^{viaa3s} εἰς^{p} ὁ^{dans} ὄρος^{nans} προσεύχομαι^{vnad} καί^{c} εἰμί^{viix3s} διανυκτερεύω^{vppanms} ἐν^{p} ὁ^{ddfs} προσευχή^{ndfs} ὁ^{dgms} θεός^{ngms}. **v.13** καί^{c} ὅτε^{bo} γίνομαι^{viad3s} ἡμέρα^{nnfs} προσφωνέω^{viaa3s} ὁ^{damp} μαθητής^{namp} αὐτός^{rpgms} καί^{c} ἐκλέγω^{vpamnms} ἀπό^{p} αὐτός^{rpgmp} δώδεκα^{tn} ὅς^{rramp} καί^{c} ἀπόστολος^{namp} ὀνομάζω^{viaa3s}. **v.14** Σίμων^{nams} ὅς^{rrams} καί^{c} ὀνομάζω^{viaa3s} Πέτρος^{nams} καί^{c} Ἀνδρέας^{nams} ὁ^{dams} ἀδελφός^{nams} αὐτός^{rpgms} Ἰάκωβος^{nams} καί^{c} Ἰωάννης^{nams} Φίλιππος^{nams} καί^{c} Βαρθολομαῖος^{nams}. **v.15** Μαθαῖος^{nams} καί^{c} Θωμᾶς^{nams} Ἰάκωβος^{nams} ὁ^{dams} ὁ^{dgms} Ἁλφαῖος^{ngms} καί^{c} Σίμων^{nams} ὁ^{dams} καλέω^{vpppams} ζηλωτής^{nams}. **v.16** Ἰούδας^{nams} Ἰάκωβος^{ngms} καί^{c} Ἰούδας^{nams} Ἰσκαριώθ^{nams} ὅς^{rrnms} καί^{c} γίνομαι^{viad3s} προδότης^{nnms}.

18 νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων,
19 καὶ ἐθεραπεύοντο. καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ,
20 ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς
ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγε,
Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ.
21 μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. μακάριοι οἱ
22 κλαίοντες νῦν, ὅτι γελάσετε. μακάριοί ἐστε, ὅταν μισήσωσιν
ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσι,
καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, ἕνεκα τοῦ υἱοῦ τοῦ
23 ἀνθρώπου. χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε, ἰδοὺ
γάρ, ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ, κατὰ ταῦτα γὰρ ἐ-
24 ποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν. πλὴν οὐαὶ ὑμῖν τοῖς
25 πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν. οὐαὶ ὑμῖν, οἱ
ἐμπεπλησμένοι, ὅτι πεινάσετε. οὐαί ὑμῖν, οἱ γελῶντες νῦν, ὅτι
26 πενθήσετε καὶ κλαύσετε. οὐαὶ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσι
πάντες οἱ ἄνθρωποι, κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς ψευδοπρο-
27 φήταις οἱ πατέρες αὐτῶν. Ἀλλ' ὑμῖν λέγω τοῖς ἀκούουσιν, Ἀ-
γαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς,
28 εὐλογεῖτε τοὺς καταρωμένους ὑμῖν, καὶ προσεύχεσθε ὑπὲρ τῶν

---

v.17 καί^{c} καταβαίνω^{vpaanms} μετά^{p} αὐτός^{rpgmp} ἵστημι^{viaa3s} ἐπί^{p} τόπος^{ngms} πεδινός^{agmsn} καί^{c} ὄχλος^{nnms} μαθητής^{ngmp} αὐτός^{rpgms} καί^{c} πλῆθος^{nnns} πολύς^{annsn} ὁ^{dgms} λαός^{ngms} ἀπό^{p} πᾶς^{agfsn} ὁ^{dgfs} Ἰουδαία^{ngfs} καί^{c} Ἰερουσαλήμ^{tp} καί^{c} ὁ^{dgfs} παράλιος^{agfsn} Τύρος^{ngfs} καί^{c} Σιδών^{ngfs} ὅς^{rrnmp} ἔρχομαι^{viaa3p} ἀκούω^{vnaa} αὐτός^{rpgms} καί^{c} ἰάομαι^{vnap} ἀπό^{p} ὁ^{dgfp} νόσος^{ngfp} αὐτός^{rpgmp}. **v.18** καί^{c} ὅς^{dnmp} ὀχλέω^{vpppnmp} ὑπό^{p} πνεῦμα^{ngnp} ἀκάθαρτος^{agnpn} καί^{c} θεραπεύω^{viip3p}. **v.19** καί^{c} πᾶς^{anmsn} ὁ^{dnms} ὄχλος^{nnms} ζητέω^{viia3s} ἅπτω^{vnpm} αὐτός^{rpgms} ὅτι^{c} δύναμις^{nnfs} παρά^{p} αὐτός^{rpgms} ἐξέρχομαι^{viin3s} καί^{c} ἰάομαι^{viin3s} πᾶς^{aampn}. **v.20** καί^{c} αὐτός^{rpnms} ἐπαίρω^{vpaanms} ὁ^{damp} ὀφθαλμός^{namp} αὐτός^{rpgms} εἰς^{p} ὁ^{damp} μαθητής^{namp} αὐτός^{rpgms} λέγω^{viia3s} μακάριος^{anmpn} ὁ^{dnmp} πτωχός^{anmpn} ὅτι^{c} ὑμέτερος^{rsnfs} εἰμί^{vipx3s} ὁ^{dnfs} βασιλεία^{nnfs} ὁ^{dgms} θεός^{ngms}. **v.21** μακάριος^{anmpn} ὁ^{dnmp} πεινάω^{vppanmp} νῦν^{bo} ὅτι^{c} χορτάζω^{vifp2p} μακάριος^{anmpn} ὁ^{dnmp} κλαίω^{vppanmp} νῦν^{bo} ὅτι^{c} γελάω^{vifa2p}. **v.22** μακάριος^{anmpn} εἰμί^{vipx2p} ὅταν^{c} μισέω^{vsaa3p} σύ$^{rpa-p}$ ὁ^{dnmp} ἄνθρωπος^{nnmp} καί^{c} ὅταν^{c} ἀφορίζω^{vsaa3p} σύ$^{rpa-p}$ καί^{c} ὀνειδίζω^{vsaa3p} καί^{c} ἐκβάλλω^{vsaa3p} ὁ^{dans} ὄνομα^{nans} σύ$^{rpg-p}$ ὡς^{bo} πονηρός^{aansn} ἕνεκα^{bo} ὁ^{dgms} υἱός^{ngms} ὁ^{dgms} ἄνθρωπος^{ngms}. **v.23** χαίρω^{vdpa2p} ἐν^{p} ἐκεῖνος^{rddfs} ὁ^{ddfs} ἡμέρα^{ndfs} καί^{c} σκιρτάω^{vdaa2p} ἰδού^{vdaa2s} γάρ^{c} ὁ^{dnms} μισθός^{nnms} σύ$^{rpg-p}$ πολύς^{anmsn} ἐν^{p} ὁ^{ddms} οὐρανός^{ndms} κατά^{p} οὗτος^{nanp} γάρ^{c} ποιέω^{viia3p} ὁ^{ddmp} προφήτης^{ndmp} ὁ^{dnmp} πατήρ^{nnmp} αὐτός^{rpgmp}. **v.24** πλήν^{bo} οὐαί^{i} σύ$^{rpd-p}$ ὁ^{ddmp} πλούσιος^{admpn} ὅτι^{c} ἀπέχω^{vipa2p} ὁ^{dafs} παράκλησις^{nafs} σύ$^{rpg-p}$. **v.25** οὐαί^{i} σύ$^{rpd-p}$ ὁ^{dnmp} ἐμπίπλημι^{vpxpnmp} ὅτι^{c} πεινάω^{vifa2p} οὐαί^{i} σύ$^{rpd-p}$ ὁ^{dnmp} γελάω^{vppanmp} νῦν^{bo} ὅτι^{c} πενθέω^{vifa2p} καί^{c} κλαίω^{vifa2p}. **v.26** οὐαί^{i} σύ$^{rpd-p}$ ὅταν^{c} καλῶς^{bo} σύ$^{rpa-p}$ λέγω^{vsaa3p} πᾶς^{anmpn} ὁ^{dnmp} ἄνθρωπος^{nnmp} κατά^{p} οὗτος^{nanp} γάρ^{c} ποιέω^{viia3p} ὁ^{ddmp} ψευδοπροφήτης^{ndmp} ὁ^{dnmp} πατήρ^{nnmp} αὐτός^{rpgmp}. **v.27** ἀλλά^{c} σύ$^{rpd-p}$ λέγω^{vipa1s} ὁ^{ddmp} ἀκούω^{vppadmp} ἀγαπάω^{vdpa2p} ὁ^{damp} ἐχθρός^{aampn} σύ$^{rpg-p}$ καλῶς^{bo} ποιέω^{vdpa2p} ὁ^{ddmp} μισέω^{vppadmp} σύ$^{rpa-p}$.

ἐπηρεαζόντων ὑμᾶς. τῷ τύπτοντί σε ἐπὶ τὴν σιαγόνα, πάρεχε 29
καὶ τὴν ἄλλην, καὶ ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον, καὶ τὸν χι-
τῶνα μὴ κωλύσῃς. παντὶ δὲ τῷ αἰτοῦντί σε δίδου, καὶ ἀπὸ τοῦ 30
αἴροντος τὰ σὰ μὴ ἀπαίτει. καὶ καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν 31
οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως. καὶ εἰ ἀγαπᾶτε 32
τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί· καὶ γὰρ οἱ ἁμαρ-
τωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσι. καὶ ἐὰν ἀγαθοποιῆτε 33
τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί· καὶ γὰρ οἱ
ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσι. καὶ ἐὰν δανείζητε παρ᾽ ὧν ἐλ- 34
πίζητε ἀπολαβεῖν, ποία ὑμῖν χάρις ἐστί· καὶ γὰρ οἱ ἁμαρτωλοὶ
ἁμαρτωλοῖς δανείζουσιν, ἵνα ἀπολάβωσι τὰ ἴσα. πλὴν ἀγαπᾶτε 35
τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἀγαθοποιεῖτε, καὶ δανείζετε, μηδὲν ἀ-
πελπίζοντες, καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς, καὶ ἔσεσθε υἱοὶ
τοῦ ὑψίστου, ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ
πονηρούς. γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν 36
οἰκτίρμων ἐστί. μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε. μὴ καταδικά- 37
ζετε, καὶ οὐ μὴ καταδικασθῆτε, ἀπολύετε, καὶ ἀπολυθήσεσθε,
δίδοτε, καὶ δοθήσεται ὑμῖν, μέτρον καλόν, πεπιεσμένον καὶ 38
σεσαλευμένον καὶ ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον
ὑμῶν. τῷ γὰρ αὐτῷ μέτρῳ ᾧ μετρεῖτε ἀντιμετρηθήσεται ὑμῖν.

---

v.28 εὐλογέω^{vdpa2p} ὁ^{damp} καταράομαι^{vppnamp} σύ$^{rpd-p}$ καί^{c} προσεύχομαι^{vdpn2p} ὑπέρ^{p} ὁ^{dgmp} ἐπηρεάζω^{vppagmp} σύ$^{rpa-p}$. **v.29** ὁ^{ddms} τύπτω^{vppadms} σύ$^{rpa-s}$ ἐπί^{p} ὁ^{dafs} σιαγών^{nafs} παρέχω^{vdpa2s} καί^{c} ὁ^{dafs} ἄλλος^{aafsn} καί^{c} ἀπό^{p} ὁ^{dgms} αἴρω^{vppagms} σύ$^{rpg-s}$ ὁ^{dans} ἱμάτιον^{nans} καί^{c} ὁ^{dams} χιτών^{nams} μή^{xo} κωλύω^{vsaa2s}. **v.30** πᾶς^{admsn} δέ^{c} ὁ^{ddms} αἰτέω^{vppadms} σύ$^{rpa-s}$ δίδωμι^{vdpa2s} καί^{c} ἀπό^{p} ὁ^{dgms} αἴρω^{vppagms} ὁ^{danp} σός^{rsanp} μή^{xo} ἀπαιτέω^{vdpa2s}. **v.31** καί^{c} καθώς^{bo} θέλω^{vipa2p} ἵνα^{c} ποιέω^{vspa3p} σύ$^{rpd-p}$ ὁ^{dnmp} ἄνθρωπος^{nnmp} καί^{c} σύ$^{rpn-p}$ ποιέω^{vdpa2p} αὐτός^{rpdmp} ὁμοίως^{bo}. **v.32** καί^{c} εἰ^{qo} ἀγαπάω^{vipa2p} ὁ^{damp} ἀγαπάω^{vppaamp} σύ$^{rpa-p}$ ποῖος^{rqnfs} σύ$^{rpd-p}$ χάρις^{nnfs} εἰμί^{vipx3s} καί^{c} γάρ^{c} ὁ^{dnmp} ἁμαρτωλός^{anmpn} ὁ^{damp} ἀγαπάω^{vppaamp} αὐτός^{rpamp} ἀγαπάω^{vipa3p}. **v.33** καί^{c} ἐάν^{qo} ἀγαθοποιέω^{vspa2p} ὁ^{damp} ἀγαθοποιέω^{vppaamp} σύ$^{rpa-p}$ ποῖος^{rqnfs} σύ$^{rpd-p}$ χάρις^{nnfs} εἰμί^{vipx3s} καί^{c} γάρ^{c} ὁ^{dnmp} ἁμαρτωλός^{anmpn} ὁ^{dans} αὐτός^{rpans} ποιέω^{vipa3p}. **v.34** καί^{c} ἐάν^{qo} δανίζω^{vspa2p} παρά^{p} ὅς^{rrgmp} ἐλπίζω^{vspa2p} ἀπολαμβάνω^{vnaa} ποῖος^{rqnfs} σύ$^{rpd-p}$ χάρις^{nnfs} εἰμί^{vipx3s} καί^{c} γάρ^{c} ὁ^{dnmp} ἁμαρτωλός^{anmpn} ἁμαρτωλός^{admpn} δανίζω^{vipa3p} ἵνα^{c} ἀπολαμβάνω^{vsaa3p} ὁ^{danp} ἴσος^{aanpn}. **v.35** πλήν^{bo} ἀγαπάω^{vdpa2p} ὁ^{damp} ἐχθρός^{aampn} σύ$^{rpg-p}$ καί^{c} ἀγαθοποιέω^{vdpa2p} καί^{c} δανίζω^{vdpa2p} μηδείς^{aansn} ἀπελπίζω^{vppanmp} καί^{c} εἰμί^{vifx3s} ὁ^{dnms} μισθός^{nnms} σύ$^{rpg-p}$ πολύς^{anmsn} καί^{c} εἰμί^{vifx2p} υἱός^{nnmp} ὁ^{dgms} ὕψιστος^{agmsn} ὅτι^{c} αὐτός^{rpnms} χρηστός^{anmsn} εἰμί^{vipx3s} ἐπί^{p} ὁ^{damp} ἀχάριστος^{aampn} καί^{c} πονηρός^{aampn}. **v.36** γίνομαι^{vdpn2p} οὖν^{c} οἰκτίρμων^{anmpn} καθώς^{bo} καί^{c} ὁ^{dnms} πατήρ^{nnms} σύ$^{rpg-p}$ οἰκτίρμων^{anmsn} εἰμί^{vipx3s}. **v.37** μή^{xo} κρίνω^{vdpa2p} καί^{c} οὐ^{xo} μή^{xo} κρίνω^{vsap2p} μή^{xo} καταδικάζω^{vdpa2p} καί^{c} οὐ^{xo} μή^{xo} καταδικάζω^{vsap2p} ἀπολύω^{vdpa2p} καί^{c} ἀπολύω^{vifp2p}. **v.38** δίδωμι^{vdpa2p} καί^{c} δίδωμι^{vifp3s} σύ$^{rpd-p}$ μέτρον^{nans} καλός^{aansn} πιέζω^{vpxpans} καί^{c} σαλεύω^{vpxpans} καί^{c} ὑπερεκχύννω^{vpppans} δίδωμι^{vifa3p} εἰς^{p} ὁ^{dams} κόλπος^{nams} σύ$^{rpg-p}$ ὁ^{ddns} γάρ^{c} αὐτός^{rpdns} μέτρον^{ndns} ὅς^{rrdns} μετρέω^{vipa2p} ἀντιμετρέω^{vifp3s} σύ$^{rpd-p}$.

39 Εἶπε δὲ παραβολὴν αὐτοῖς, Μήτι δύναται τυφλὸς τυφλὸν ὁδη-
40 γεῖν· οὐχὶ ἀμφότεροι εἰς βόθυνον πεσοῦνται· οὐκ ἔστι μαθητὴς
ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ, κατηρτισμένος δὲ πᾶς ἔσται ὡς ὁ
41 διδάσκαλος αὐτοῦ. τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλ-
μῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ
42 οὐ κατανοεῖς· ἢ πῶς δύνασαι λέγειν τῷ ἀδελφῷ σου, Ἀδελφέ,
ἄφες ἐκβάλω τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ σου, αὐτὸς τὴν ἐν
τῷ ὀφθαλμῷ σοῦ δοκὸν οὐ βλέπων· ὑποκριτά, ἔκβαλε πρῶτον
τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σοῦ, καὶ τότε διαβλέψεις ἐκβαλεῖν
43 τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου. οὐ γάρ ἐστι
δένδρον καλὸν ποιοῦν καρπὸν σαπρόν, οὐδὲ δένδρον σαπρὸν
44 ποιοῦν καρπὸν καλόν. ἕκαστον γὰρ δένδρον ἐκ τοῦ ἰδίου καρ-
ποῦ γινώσκεται. οὐ γὰρ ἐξ ἀκανθῶν συλλέγουσι σῦκα, οὐδὲ ἐκ
45 βάτου τρυγῶσιν σταφυλήν. ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ
θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ ἀγαθόν, καὶ ὁ πο-
νηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ
προφέρει τὸ πονηρόν, ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας
46 λαλεῖ τὸ στόμα αὐτοῦ. Τί δέ με καλεῖτε, Κύριε, Κύριε, καὶ
47 οὐ ποιεῖτε ἃ λέγω· πᾶς ὁ ἐρχόμενος πρός με καὶ ἀκούων μου
τῶν λόγων καὶ ποιῶν αὐτούς, ὑποδείξω ὑμῖν τίνι ἐστὶν ὅμοιος,

---

v.39 λέγω^{viaa3s} δέ^{c} παραβολή^{nafs} αὐτός^{rpdmp} μήτι^{xo} δύναμαι^{vipn3s} τυφλός^{anmsn} τυφλός^{aamsn} ὁδηγέω^{vnpa} οὐχί^{xo} ἀμφότεροι^{anmpn} εἰς^{p} βόθυνος^{nams} πίπτω^{vifn3p}. **v.40** οὐ^{xo} εἰμί^{vipx3s} μαθητής^{nnms} ὑπέρ^{p} ὁ^{dams} διδάσκαλος^{nams} αὐτός^{rpgms} καταρτίζω^{vpxpnms} δέ^{c} πᾶς^{anmsn} εἰμί^{vifx3s} ὡς^{bo} ὁ^{dnms} διδάσκαλος^{nnms} αὐτός^{rpgms}. **v.41** τίς^{rqans} δέ^{c} βλέπω^{vipa2s} ὁ^{dans} κάρφος^{nans} ὁ^{dans} ἐν^{p} ὁ^{ddms} ὀφθαλμός^{ndms} ὁ^{dgms} ἀδελφός^{ngms} σύ$^{rpg-s}$ ὁ^{dafs} δέ^{c} δοκός^{nafs} ὁ^{dafs} ἐν^{p} ὁ^{ddms} ἴδιος^{admsn} ὀφθαλμός^{ndms} οὐ^{xo} κατανοέω^{vipa2s}. **v.42** ἤ^{xo} πῶς^{bo} δύναμαι^{vipn2s} λέγω^{vnpa} ὁ^{ddms} ἀδελφός^{ndms} σύ$^{rpg-s}$ ἀδελφός^{nvms} ἀφίημι^{vdaa2s} ἐκβάλλω^{vsaa1s} ὁ^{dans} κάρφος^{nans} ὁ^{dans} ἐν^{p} ὁ^{ddms} ὀφθαλμός^{ndms} σύ$^{rpg-s}$ αὐτός^{rpnms} ὁ^{dafs} ἐν^{p} ὁ^{ddms} ὀφθαλμός^{ndms} σύ$^{rpg-s}$ δοκός^{nafs} οὐ^{xo} βλέπω^{vppanms} ὑποκριτής^{nvms} ἐκβάλλω^{vdaa2s} πρῶτος^{bo} ὁ^{dafs} δοκός^{nafs} ἐκ^{p} ὁ^{dgms} ὀφθαλμός^{ngms} σύ$^{rpg-s}$ καί^{c} τότε^{bo} διαβλέπω^{vifa2s} ἐκβάλλω^{vnaa} ὁ^{dans} κάρφος^{nans} ὁ^{dans} ἐν^{p} ὁ^{ddms} ὀφθαλμός^{ndms} ὁ^{dgms} ἀδελφός^{ngms} σύ$^{rpg-s}$. **v.43** οὐ^{xo} γάρ^{c} εἰμί^{vipx3s} δένδρον^{nnns} καλός^{annsn} ποιέω^{vppanns} καρπός^{nams} σαπρός^{aamsn} οὐδέ^{bo} δένδρον^{nnns} σαπρός^{annsn} ποιέω^{vppanns} καρπός^{nams} καλός^{aamsn}. **v.44** ἕκαστος^{annsn} γάρ^{c} δένδρον^{nnns} ἐκ^{p} ὁ^{dgms} ἴδιος^{agmsn} καρπός^{ngms} γινώσκω^{vipp3s} οὐ^{xo} γάρ^{c} ἐκ^{p} ἄκανθα^{ngfp} συλλέγω^{vipa3p} σῦκον^{nanp} οὐδέ^{bo} ἐκ^{p} βάτος^{ngms} τρυγάω^{vipa3p} σταφυλή^{nafs}. **v.45** ὁ^{dnms} ἀγαθός^{anmsn} ἄνθρωπος^{nnms} ἐκ^{p} ὁ^{dgms} ἀγαθός^{agmsn} θησαυρός^{ngms} ὁ^{dgfs} καρδία^{ngfs} αὐτός^{rpgms} προφέρω^{vipa3s} ὁ^{dans} ἀγαθός^{aansn} καί^{c} ὁ^{dnms} πονηρός^{anmsn} ἄνθρωπος^{nnms} ἐκ^{p} ὁ^{dgms} πονηρός^{agmsn} θησαυρός^{ngms} ὁ^{dgfs} καρδία^{ngfs} αὐτός^{rpgms} προφέρω^{vipa3s} ὁ^{dans} πονηρός^{aansn} ἐκ^{p} γάρ^{c} ὁ^{dgns} περίσσευμα^{ngns} ὁ^{dgfs} καρδία^{ngfs} λαλέω^{vipa3s} ὁ^{dnns} στόμα^{nnns} αὐτός^{rpgms}. **v.46** τίς^{rqnns} δέ^{c} ἐγώ$^{rpa-s}$ καλέω^{vipa2p} κύριος^{nvms} κύριος^{nvms} καί^{c} οὐ^{xo} ποιέω^{vipa2p} ὅς^{rranp} λέγω^{vipa1s}. **v.47** πᾶς^{anmsn} ὁ^{dnms} ἔρχομαι^{vppnnms} πρός^{p} ἐγώ$^{rpa-s}$ καί^{c} ἀκούω^{vppanms} ἐγώ$^{rpg-s}$ ὁ^{dgmp} λόγος^{ngmp} καί^{c} ποιέω^{vppanms} αὐτός^{rpamp} ὑποδείκνυμι^{vifa1s} σύ$^{rpd-p}$ τίς^{rqdms} εἰμί^{vipx3s} ὅμοιος^{anmsn}.

ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομοῦντι οἰκίαν, ὃς ἔσκαψε καὶ ἐ- 48
βάθυνε, καὶ ἔθηκε θεμέλιον ἐπὶ τὴν πέτραν, πλημμύρας δὲ
γενομένης, προσέρρηξεν ὁ ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ
ἴσχυσε σαλεῦσαι αὐτήν, τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. ὁ δὲ 49
ἀκούσας καὶ μὴ ποιήσας ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομήσαντι
οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς θεμελίου, ᾗ προσέρρηξεν ὁ ποταμός,
καὶ εὐθέως ἔπεσε, καὶ ἐγένετο τὸ ῥῆγμα τῆς οἰκίας ἐκείνης
μέγα.

Ἐπεὶ δὲ ἐπλήρωσε πάντα τὰ ῥήματα αὐτοῦ εἰς τὰς ἀκοὰς **7**
τοῦ λαοῦ, εἰσῆλθεν εἰς Καπερναούμ. ἑκατοντάρχου δέ τι- 2
νος δοῦλος κακῶς ἔχων ἤμελλε τελευτᾶν, ὃς ἦν αὐτῷ ἔντιμος.
ἀκούσας δὲ περὶ τοῦ Ἰησοῦ, ἀπέστειλε πρὸς αὐτὸν πρεσβυτέ- 3
ρους τῶν Ἰουδαίων, ἐρωτῶν αὐτόν, ὅπως ἐλθὼν διασώσῃ τὸν
δοῦλον αὐτοῦ. οἱ δέ, παραγενόμενοι πρὸς τὸν Ἰησοῦν, πα- 4
ρεκάλουν αὐτὸν σπουδαίως, λέγοντες ὅτι ἄξιός ἐστιν ᾧ παρέξει
τοῦτο, ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν, καὶ τὴν συναγωγὴν αὐτὸς 5
ᾠκοδόμησεν ἡμῖν. ὁ δὲ Ἰησοῦς ἐπορεύετο σὺν αὐτοῖς. ἤδη 6
δὲ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀπὸ τῆς οἰκίας, ἔπεμψε πρὸς
αὐτὸν ὁ ἑκατόνταρχος φίλους, λέγων αὐτῷ, Κύριε, μὴ σκύλ-
λου, οὐ γάρ εἰμι ἱκανὸς ἵνα ὑπὸ τὴν στέγην μου εἰσέλθῃς, διὸ 7
οὐδὲ ἐμαυτὸν ἠξίωσα πρός σὲ ἐλθεῖν, ἀλλὰ εἰπὲ λόγῳ, καὶ ἰα-

---

v.48 ὅμοιος^{anmsn} εἰμί^{vipx3s} ἄνθρωπος^{ndms} οἰκοδομέω^{vppadms} οἰκία^{nafs} ὅς^{rrnms} σκάπτω^{viaa3s} καί^{c} βαθύνω^{viaa3s} καί^{c} τίθημι^{viaa3s} θεμέλιος^{nams} ἐπί^{p} ὁ^{dafs} πέτρα^{nafs} πλήμμυρα^{ngfs} δέ^{c} γίνομαι^{vpadgfs} προσρήσσω^{viaa3s} ὁ^{dnms} ποταμός^{nnms} ὁ^{ddfs} οἰκία^{ndfs} ἐκεῖνος^{rddfs} καί^{c} οὐ^{xo} ἰσχύω^{viaa3s} σαλεύω^{vnaa} αὐτός^{rpafs} θεμελιόω^{viyp3s} γάρ^{c} ἐπί^{p} ὁ^{dafs} πέτρα^{nafs}. **v.49** ὁ^{dnms} δέ^{c} ἀκούω^{vpaanms} καί^{c} μή^{xo} ποιέω^{vpaanms} ὅμοιος^{anmsn} εἰμί^{vipx3s} ἄνθρωπος^{ndms} οἰκοδομέω^{vpaadms} οἰκία^{nafs} ἐπί^{p} ὁ^{dafs} γῆ^{nafs} χωρίς^{bo} θεμέλιον^{ngms} ὅς^{rrdfs} προσρήσσω^{viaa3s} ὁ^{dnms} ποταμός^{nnms} καί^{c} εὐθέως^{bo} πίπτω^{viaa3s} καί^{c} γίνομαι^{viad3s} ὁ^{dnns} ῥῆγμα^{nnns} ὁ^{dgfs} οἰκία^{ngfs} ἐκεῖνος^{rdgfs} μέγας^{annsn}. **7. v.1** ἐπεί^{c} δέ^{c} πληρόω^{viaa3s} πᾶς^{aanpn} ὁ^{danp} ῥῆμα^{nanp} αὐτός^{rpgms} εἰς^{p} ὁ^{dafp} ἀκοή^{nafp} ὁ^{dgms} λαός^{ngms} εἰσέρχομαι^{viaa3s} εἰς^{p} Καπερναούμ^{tp}. **v.2** ἑκατοντάρχης^{ngms} δέ^{c} τι-σριγμσ δοῦλος^{nnms} κακῶς^{bo} ἔχω^{vppanms} μέλλω^{viia3s} τελευτάω^{vnpa} ὅς^{rrnms} εἰμί^{viix3s} αὐτός^{rpdms} ἔντιμος^{anmsn}. **v.3** ἀκούω^{vpaanms} δέ^{c} περί^{p} ὁ^{dgms} Ἰησοῦς^{ngms} ἀποστέλλω^{viaa3s} πρός^{p} αὐτός^{rpams} πρεσβύτερος^{aampn} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} ἐρωτάω^{vppanms} αὐτός^{rpams} ὅπως^{bo} ἔρχομαι^{vpaanms} διασῴζω^{vsaa3s} ὁ^{dams} δοῦλος^{nams} αὐτός^{rpgms}. **v.4** ὁ^{dnmp} δέ^{c} παραγίνομαι^{vpadnmp} πρός^{p} ὁ^{dams} Ἰησοῦς^{nams} παρακαλέω^{viia3p} αὐτός^{rpams} σπουδαίως^{bo} λέγω^{vppanmp} ὅτι^{c} ἄξιος^{anmsn} εἰμί^{vipx3s} ὅς^{rrdms} παρέχω^{vifa3s} οὗτος^{rdans}. **v.5** ἀγαπάω^{vipa3s} γάρ^{c} ὁ^{dans} ἔθνος^{nans} ἐγώ$^{rpg-p}$ καί^{c} ὁ^{dafs} συναγωγή^{nafs} αὐτός^{rpnms} οἰκοδομέω^{viaa3s} ἐγώ$^{rpd-p}$. **v.6** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} πορεύομαι^{viin3s} σύν^{p} αὐτός^{rpdmp} ἤδη^{bo} δέ^{c} αὐτός^{rpgms} οὐ^{xo} μακράν^{bo} ἀπέχω^{vppagms} ἀπό^{p} ὁ^{dgfs} οἰκία^{ngfs} πέμπω^{viaa3s} πρός^{p} αὐτός^{rpams} ὁ^{dnms} ἑκατοντάρχης^{nnms} φίλος^{aampn} λέγω^{vppanms} αὐτός^{rpdms} κύριος^{nvms} μή^{xo} σκύλλω^{vdpp2s} οὐ^{xo} γάρ^{c} εἰμί^{vipx1s} ἱκανός^{anmsn} ἵνα^{c} ὑπό^{p} ὁ^{dafs} στέγη^{nafs} ἐγώ$^{rpg-s}$ εἰσέρχομαι^{vsaa2s}.

8 θήσεται ὁ παῖς μου. καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν
τασσόμενος, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ, Πο-
ρεύθητι, καὶ πορεύεται, καὶ ἄλλῳ, Ἔρχου, καὶ ἔρχεται, καὶ τῷ
9 δούλῳ μου, Ποίησον τοῦτο, καὶ ποιεῖ. ἀκούσας δὲ ταῦτα ὁ
Ἰησοῦς ἐθαύμασεν αὐτόν, καὶ στραφεὶς, τῷ ἀκολουθοῦντι αὐ-
τῷ ὄχλῳ εἶπε, Λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν
10 εὗρον. καὶ ὑποστρέψαντες οἱ πεμφθέντες εἰς τὸν οἶκον εὗ-
11 ρον τὸν ἀσθενοῦντα δοῦλον ὑγιαίνοντα. Καὶ ἐγένετο ἐν τῇ
ἑξῆς, ἐπορεύετο εἰς πόλιν καλουμένην Ναΐν, καὶ συνεπορεύ-
12 οντο αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἱκανοί, καὶ ὄχλος πολύς. ὡς δὲ
ἤγγισε τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδού, ἐξεκομίζετο τεθνηκὼς
υἱὸς μονογενὴς τῇ μητρὶ αὐτοῦ, καὶ αὐτὴ ἦν χήρα, καὶ ὄχλος
13 τῆς πόλεως ἱκανὸς ἦν σὺν αὐτῇ. καὶ ἰδὼν αὐτὴν ὁ Κύριος
14 ἐσπλαγχνίσθη ἐπ' αὐτῇ, καὶ εἶπεν αὐτῇ, Μὴ κλαῖε. καὶ προσ-
ελθὼν ἥψατο τῆς σοροῦ, οἱ δὲ βαστάζοντες ἔστησαν. καὶ εἶπε,
15 Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι. καὶ ἀνεκάθισεν ὁ νεκρὸς καὶ
16 ἤρξατο λαλεῖν. καὶ ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ. ἔλαβε δὲ
φόβος ἅπαντας, καὶ ἐδόξαζον τὸν Θεόν, λέγοντες, ὅτι Προφήτης
μέγας ἐγήγερται ἐν ἡμῖν, καὶ ὅτι Ἐπεσκέψατο ὁ Θεὸς τὸν λαὸν
17 αὐτοῦ. καὶ ἐξῆλθεν ὁ λόγος οὗτος ἐν ὅλῃ τῇ Ἰουδαίᾳ περὶ

---

v.7 διόc οὐδέbo ἐμαυτοῦrxams ἀξιόωviaa1s πρόςp σύrpa-s ἔρχομαιvnaa ἀλλάc λέγωvdaa2s
λόγοςndms καίc ἰάομαιvifp3s ὁdnms παῖςnnms ἐγώrpg-s. **v.8** καίc γάρc ἐγώrpn-s
ἄνθρωποςnnms εἰμίvipx1s ὑπόp ἐξουσίαnafs τάσσωvpppnms ἔχωvppanms ὑπόp ἐμαυτοῦrxams
στρατιώτηςnamp καίc λέγωvipa1s οὗτοςrddms πορεύομαιvdao2s καίc πορεύομαιvipn3s καίc
ἄλλοςadmsn ἔρχομαιvipn2s καίc ἔρχομαιvipn3s καίc ὁddms δοῦλοςndms ἐγώrpg-s ποιέωvdaa2s
οὗτοςrdans καίc ποιέωvipa3s. **v.9** ἀκούωvpaanms δὲc οὗτοςrdanp ὁdnms Ἰησοῦςnnms
θαυμάζωviaa3s αὐτόςrpams καίc στρέφωvpapnms ὁddms ἀκολουθέωvppadms αὐτόςrpdms ὄχλοςndms
λέγωviaa3s λέγωvipa1s σύrpd-p οὐδέbo ἐνp ὁddms Ἰσραὴλtp τοσοῦτοςrdafs πίστιςnafs εὑρίσκωviaa1s.
v.10 καίc ὑποστρέφωvpaanmp ὁdnmp πέμπωvpapnmp εἰςp ὁdams οἶκοςnams εὑρίσκωviaa3p ὁdams
ἀσθενέωvppaams δοῦλοςnams ὑγιαίνωvppaams. **v.11** καίc γίνομαιviad3s ἐνp ὁddfs ἑξῆςbo
πορεύομαιviin3s εἰςp πόλιςnafs καλέωvpppafs Ναΐνtp καίc συμπορεύομαιviin3p αὐτόςrpdms
ὁdnmp μαθητήςnnmp αὐτόςrpgms ἱκανόςanmpn καίc ὄχλοςnnms πολύςanmsn. **v.12** ὡςbo
δὲc ἐγγίζωviaa3s ὁddfs πύληndfs ὁdgfs πόλιςngfs καίc ἰδούvdaa2s ἐκκομίζωviip3s θνήσκωvpxanms
υἱόςnnms μονογενήςanmsn ὁddfs μήτηρndfs αὐτόςrpgms καίc αὐτόςrpnfs εἰμίviix3s χήραnnfs καίc
ὄχλοςnnms ὁdgfs πόλιςngfs ἱκανόςanmsn εἰμίviix3s σύνp αὐτόςrpdfs. **v.13** καίc ὁράωvpaanms
αὐτόςrpafs ὁdnms κύριοςnnms σπλαγχνίζομαιviao3s ἐπίp αὐτόςrpdfs καίc λέγωviaa3s αὐτόςrpdfs
μήxo κλαίωvdpa2s. **v.14** καίc προσέρχομαιvpaanms ἅπτωviad3s ὁdgfs σοράςngfs ὁdnmp δέc
βαστάζωvppanmp ἵστημιviaa3p καίc λέγωviaa3s νεανίσκοςnvms σύrpd-s λέγωvipa1s ἐγείρωvdap2s.
v.15 καίc ἀνακαθίζωviaa3s ὁdnms νεκρόςanmsn καίc ἄρχωviad3s λαλέωvnpa καίc δίδωμιviaa3s
αὐτόςrpams ὁddfs μήτηρndfs αὐτόςrpgms. **v.16** λαμβάνωviaa3s δὲc φόβοςnnms ἅπαςaampn καίc
δοξάζωviia3p ὁdams θεόςnams λέγωvppanmp ὅτιc προφήτηςnnms μέγαςanmsn ἐγείρωvixp3s ἐνp
ἐγώrpd-p καίc ὅτιc ἐπισκέπτομαιviad3s ὁdnms θεόςnnms ὁdams λαόςnams αὐτόςrpgms.

αὐτοῦ, καὶ ἐν πάσῃ τῇ περιχώρῳ. Καὶ ἀπήγγειλαν Ἰωάννῃ 18
οἱ μαθηταὶ αὐτοῦ περὶ πάντων τούτων. καί προσκαλεσάμε- 19
νος δύο τινὰς τῶν μαθητῶν αὐτοῦ ὁ Ἰωάννης ἔπεμψεν πρὸς
τὸν Ἰησοῦν, λέγων Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἄλλον προσδοκῶμεν.
παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες εἶπον, Ἰωάννης ὁ βα- 20
πτιστὴς ἀπέσταλκεν ἡμᾶς πρός σε, λέγων, Σὺ εἶ ὁ ἐρχόμενος,
ἢ ἄλλον προσδοκῶμεν· ἐν αὐτῇ δὲ τῇ ὥρᾳ ἐθεράπευσε πολ- 21
λοὺς ἀπὸ νόσων καὶ μαστίγων καὶ πνευμάτων πονηρῶν, καὶ
τυφλοῖς πολλοῖς ἐχαρίσατο τὸ βλέπειν. καὶ ἀποκριθεὶς ὁ Ἰη- 22
σοῦς εἶπεν αὐτοῖς, Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ εἴδετε
καὶ ἠκούσατε, ὅτι τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, λε-
προὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται, πτωχοὶ
εὐαγγελίζονται, καὶ μακάριός ἐστιν, ὃς ἐὰν μὴ σκανδαλισθῇ 23
ἐν ἐμοί. Ἀπελθόντων δὲ τῶν ἀγγέλων Ἰωάννου, ἤρξατο λέγειν 24
πρὸς τοὺς ὄχλους περὶ Ἰωάννου, Τί ἐξεληλύθατε εἰς τὴν ἔρη-
μον θεάσασθαι· κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον· ἀλλὰ τί 25
ἐξεληλύθατε ἰδεῖν· ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμέ-
νον· ἰδού, οἱ ἐν ἱματισμῷ ἐνδόξῳ καὶ τρυφῇ ὑπάρχοντες ἐν τοῖς
βασιλείοις εἰσίν. ἀλλὰ τί ἐξεληλύθατε ἰδεῖν· προφήτην· ναί, 26
λέγω ὑμῖν, καὶ περισσότερον προφήτου. οὗτός ἐστι περὶ οὗ 27
γέγραπται, Ἰδού, ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώ-

---

v.17 καί[c] ἐξέρχομαι[viaa3s] ὁ[dnms] λόγος[nnms] οὗτος[rdnms] ἐν[p] ὅλος[adfsn] ὁ[ddfs] Ἰουδαία[ndfs] περί[p] αὐτός[rpgms] καί[c] ἐν[p] πᾶς[adfsn] ὁ[ddfs] περίχωρος[adfsn]. **v.18** καί[c] ἀπαγγέλλω[viaa3p] Ἰωάννης[ndms] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] περί[p] πᾶς[agnpn] οὗτος[rdgnp]. **v.19** καί[c] προσκαλέομαι[vpadnms] δύο[tn] τίς[riamp] ὁ[dgmp] μαθητής[ngmp] αὐτός[rpgms] ὁ[dnms] Ἰωάννης[nnms] πέμπω[viaa3s] πρός[p] ὁ[dams] Ἰησοῦς[nams] λέγω[vppanms] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] ἔρχομαι[vppnnms] ἤ[xo] ἄλλος[aamsn] προσδοκάω[vipa1p]. **v.20** παραγίνομαι[vpadnmp] δέ[c] πρός[p] αὐτός[rpams] ὁ[dnmp] ἀνήρ[nnmp] λέγω[viaa3p] Ἰωάννης[nnms] ὁ[dnms] βαπτιστής[nnms] ἀποστέλλω[vixa3s] ἐγώ[rpa-p] πρός[p] σύ[rpa-s] λέγω[vppanms] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] ἔρχομαι[vppnnms] ἤ[xo] ἄλλος[aamsn] προσδοκάω[vipa1p]. **v.21** ἐν[p] αὐτός[rpdfs] δέ[c] ὁ[ddfs] ὥρα[ndfs] θεραπεύω[viaa3s] πολύς[aampn] ἀπό[p] νόσος[ngfp] καί[c] μάστιξ[ngfp] καί[c] πνεῦμα[ngnp] πονηρός[agnpn] καί[c] τυφλός[admpn] πολύς[admpn] χαρίζομαι[viad3s] ὁ[dans] βλέπω[vnpa]. **v.22** καί[c] ἀποκρίνομαι[vpaonms] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[viaa3s] αὐτός[rpdmp] πορεύομαι[vpaonmp] ἀπαγγέλλω[vdaa2p] Ἰωάννης[ndms] ὅς[rranp] ὁράω[viaa2p] καί[c] ἀκούω[viaa2p] ὅτι[c] τυφλός[anmpn] ἀναβλέπω[vipa3p] χωλός[anmpn] περιπατέω[vipa3p] λεπρός[anmpn] καθαρίζω[vipp3p] κωφός[anmpn] ἀκούω[vipa3p] νεκρός[anmpn] ἐγείρω[vipp3p] πτωχός[anmpn] εὐαγγελίζω[vipp3p]. **v.23** καί[c] μακάριος[anmsn] εἰμί[vipx3s] ὅς[rrnms] ἐάν[qo] μή[xo] σκανδαλίζω[vsap3s] ἐν[p] ἐγώ[rpd-s]. **v.24** ἀπέρχομαι[vpaagmp] δέ[c] ὁ[dgmp] ἄγγελος[ngmp] Ἰωάννης[ngms] ἄρχω[viad3s] λέγω[vnpa] πρός[p] ὁ[damp] ὄχλος[namp] περί[p] Ἰωάννης[ngms] τίς[rqans] ἐξέρχομαι[vixa2p] εἰς[p] ὁ[dafs] ἔρημος[aafsn] θεάομαι[vnad] κάλαμος[nams] ὑπό[p] ἄνεμος[ngms] σαλεύω[vpppams]. **v.25** ἀλλά[c] τίς[rqans] ἐξέρχομαι[vixa2p] ὁράω[vnaa] ἄνθρωπος[nams] ἐν[p] μαλακός[adnpn] ἱμάτιον[ndnp] ἀμφιέννυμι[vpxpams] ἰδού[vdaa2s] ὁ[dnmp] ἐν[p] ἱματισμός[ndms] ἔνδοξος[admsn] καί[c] τρυφή[ndfs] ὑπάρχω[vppanmp] ἐν[p] ὁ[ddmp] βασίλειος[admpn] εἰμί[vipx3p]. **v.26** ἀλλά[c] τίς[rqans] ἐξέρχομαι[vixa2p] ὁράω[vnaa] προφήτης[nams] ναί[xo] λέγω[vipa1s] σύ[rpd-p] καί[c] περισσός[aamsc] προφήτης[ngms].

28 που σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. λέγω
γὰρ ὑμῖν, μείζων ἐν γεννητοῖς γυναικῶν προφήτης Ἰωάννου τοῦ
βαπτιστοῦ οὐδείς ἐστιν, ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τοῦ Θε-
29 οῦ μείζων αὐτοῦ ἐστι. καὶ πᾶς ὁ λαὸς ἀκούσας καὶ οἱ τελῶναι
30 ἐδικαίωσαν τὸν Θεόν, βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου, οἱ
δὲ Φαρισαῖοι καὶ οἱ νομικοὶ τὴν βουλὴν τοῦ Θεοῦ ἠθέτησαν εἰς
31 ἑαυτούς, μὴ βαπτισθέντες ὑπ᾽ αὐτοῦ. εἶπε δὲ ὁ Κύριος, Τίνι
οὖν ὁμοιώσω τοὺς ἀνθρώπους τῆς γενεᾶς ταύτης, καὶ τίνι εἰσὶν
32 ὅμοιοι· ὅμοιοί εἰσι παιδίοις τοῖς ἐν ἀγορᾷ καθημένοις, καὶ
προσφωνοῦσιν ἀλλήλοις, καὶ λέγουσιν, Ηὐλήσαμεν ὑμῖν, καὶ
33 οὐκ ὠρχήσασθε, ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκλαύσατε. ἐλή-
λυθε γὰρ Ἰωάννης ὁ βαπτιστὴς μήτε ἄρτον ἐσθίων μήτε οἶνον
34 πίνων, καὶ λέγετε, Δαιμόνιον ἔχει, ἐλήλυθεν ὁ υἱὸς τοῦ ἀνθρώ-
που ἐσθίων καὶ πίνων, καὶ λέγετε, Ἰδου, ἄνθρωπος φάγος καὶ
35 οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν. καὶ ἐδικαιώθη ἡ
36 σοφία ἀπὸ τῶν τέκνων αὐτῆς πάντων. Ἠρώτα δέ τις αὐτὸν τῶν
Φαρισαίων ἵνα φάγῃ μετ᾽ αὐτοῦ, καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν
37 τοῦ Φαρισαίου ἀνεκλίθη. καὶ ἰδού, γυνὴ ἐν τῇ πόλει, ἥτις
ἦν ἁμαρτωλός, ἐπιγνοῦσα ὅτι ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ Φα-
38 ρισαίου, κομίσασα ἀλάβαστρον μύρου, καὶ στᾶσα παρὰ τοὺς

---

v.27 οὗτος^{rdnms} εἰμί^{vipx3s} περί^{p} ὅς^{rrgms} γράφω^{vixp3s} ἰδού^{vdaa2s} ἐγώ$^{rpn-s}$ ἀποστέλλω^{vipa1s} ὁ^{dams} ἄγγελος^{nams} ἐγώ$^{rpg-s}$ πρό^{p} πρόσωπον^{ngns} σύ$^{rpg-s}$ ὅς^{rrnms} κατασκευάζω^{vifa3s} ὁ^{dafs} ὁδός^{nafs} σύ$^{rpg-s}$ ἔμπροσθεν^{p} σύ$^{rpg-s}$. **v.28** λέγω^{vipa1s} γάρ^{c} σύ$^{rpd-p}$ μέγας^{anmsc} ἐν^{p} γεννητός^{admpn} γυνή^{ngfp} προφήτης^{nnms} Ἰωάννης^{ngms} ὁ^{dgms} βαπτιστής^{ngms} οὐδείς^{anfsn} εἰμί^{vipx3s} ὁ^{dnms} δέ^{c} μικρός^{anmsc} ἐν^{p} ὁ^{ddfs} βασιλεία^{ndfs} ὁ^{dgms} θεός^{ngms} μέγας^{anmsc} αὐτός^{rpgms} εἰμί^{vipx3s}. **v.29** καί^{c} πᾶς^{anmsn} ὁ^{dnms} λαός^{nnms} ἀκούω^{vpaanms} καί^{c} ὁ^{dnmp} τελώνης^{nnmp} δικαιόω^{viaa3p} ὁ^{dams} θεός^{nams} βαπτίζω^{vpapnmp} ὁ^{dans} βάπτισμα^{nans} Ἰωάννης^{ngms}. **v.30** ὁ^{dnmp} δέ^{c} Φαρισαῖος^{nnmp} καί^{c} ὁ^{dnmp} νομικός^{anmpn} ὁ^{dafs} βουλή^{nafs} ὁ^{dgms} θεός^{ngms} ἀθετέω^{viaa3p} εἰς^{p} ἑαυτοῦ^{rxamp} μή^{xo} βαπτίζω^{vpapnmp} ὑπό^{p} αὐτός^{rpgms}. **v.31** λέγω^{viaa3s} δέ^{c} ὁ^{dnms} κύριος^{nnms} τίς^{rqdns} οὖν^{c} ὁμοιόω^{vifa1s} ὁ^{damp} ἄνθρωπος^{namp} ὁ^{dgfs} γενεά^{ngfs} οὗτος^{rdgfs} καί^{c} τίς^{rqdns} εἰμί^{vipx3p} ὅμοιος^{anmpn}. **v.32** ὅμοιος^{anmpn} εἰμί^{vipx3p} παιδίον^{ndnp} ὁ^{ddnp} ἐν^{p} ἀγορά^{ndfs} κάθημαι^{vppndnp} καί^{c} προσφωνέω^{vipa3p} ἀλλήλων^{redmp} καί^{c} λέγω^{vipa3p} αὐλέω^{viaa1p} σύ$^{rpd-p}$ καί^{c} οὐ^{xo} ὀρχέομαι^{viad2p} θρηνέω^{viaa1p} σύ$^{rpd-p}$ καί^{c} οὐ^{xo} κλαίω^{viaa2p}. **v.33** ἔρχομαι^{vixa3s} γάρ^{c} Ἰωάννης^{nnms} ὁ^{dnms} βαπτιστής^{nnms} μήτε^{c} ἄρτος^{nams} ἐσθίω^{vppanms} μήτε^{c} οἶνος^{nams} πίνω^{vppanms} καί^{c} λέγω^{vipa2p} δαιμόνιον^{nans} ἔχω^{vipa3s}. **v.34** ἔρχομαι^{vixa3s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} ἐσθίω^{vppanms} καί^{c} πίνω^{vppanms} καί^{c} λέγω^{vipa2p} ἰδού^{vdaa2s} ἄνθρωπος^{nnms} φάγος^{nnms} καί^{c} οἰνοπότης^{nnms} τελώνης^{ngmp} φίλος^{anmsn} καί^{c} ἁμαρτωλός^{agmpn}. **v.35** καί^{c} δικαιόω^{viap3s} ὁ^{dnfs} σοφία^{nnfs} ἀπό^{p} ὁ^{dgnp} τέκνον^{ngnp} αὐτός^{rpgfs} πᾶς^{agnpn}. **v.36** ἐρωτάω^{viia3s} δέ^{c} τι-σρινμσ αὐτός^{rpams} ὁ^{dgmp} Φαρισαῖος^{ngmp} ἵνα^{c} ἐσθίω^{vsaa3s} μετά^{p} αὐτός^{rpgms} καί^{c} εἰσέρχομαι^{vpaanms} εἰς^{p} ὁ^{dafs} οἰκία^{nafs} ὁ^{dgms} Φαρισαῖος^{ngms} ἀνακλίνω^{viap3s}. **v.37** καί^{c} ἰδού^{vdaa2s} γυνή^{nnfs} ἐν^{p} ὁ^{ddfs} πόλις^{ndfs} ὅστις^{rrnfs} εἰμί^{viix3s} ἁμαρτωλός^{anfsn} ἐπιγινώσκω^{vpaanfs} ὅτι^{c} ἀνάκειμαι^{vipn3s} ἐν^{p} ὁ^{ddfs} οἰκία^{ndfs} ὁ^{dgms} Φαρισαῖος^{ngms} κομίζω^{vpaanfs} ἀλάβαστρος^{nans} μύρον^{ngns}.

πόδας αὐτοῦ ὀπίσω κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐ-
τοῦ τοῖς δάκρυσι, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε,
καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ, καὶ ἤλειφε τῷ μύρῳ. ἰδὼν δὲ 39
ὁ Φαρισαῖος ὁ καλέσας αὐτὸν εἶπεν ἐν ἑαυτῷ λέγων, Οὗτος, εἰ
ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ ἥτις ἅπτε-
ται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστι. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε 40
πρὸς αὐτόν, Σίμων, ἔχω σοί τι εἰπεῖν. ὁ δέ φησι, Διδάσκαλε,
εἰπέ. Δύο χρεωφειλέται ἦσαν δανειστῇ τινί, ὁ εἷς ὤφειλε δηνά- 41
ρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα. μὴ ἐχόντων δὲ αὐτῶν 42
ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο. τίς οὖν αὐτῶν, εἶπέ, πλεῖον
αὐτὸν ἀγαπήσει· ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπεν, Ὑπολαμβάνω 43
ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο. ὁ δὲ εἶπεν αὐτῷ, Ὀρθῶς ἔκρινας.
καὶ στραφεὶς πρὸς τὴν γυναῖκα, τῷ Σίμωνι ἔφη, Βλέπεις ταύ- 44
την τὴν γυναῖκα· εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ ἐπὶ τοὺς
πόδας μου οὐκ ἔδωκας, αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς
πόδας, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμαξε. φίλημά μοι 45
οὐκ ἔδωκας, αὕτη δέ, ἀφ᾽ ἧς εἰσῆλθον, οὐ διέλιπε καταφιλοῦ-
σά μου τοὺς πόδας. ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας, 46
αὕτη δὲ μύρῳ ἤλειψέ μου τοὺς πόδας. οὗ χάριν, λέγω σοι, 47
ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησε πολύ, ᾧ δὲ

---

v.38 καί^{c} ἵστημι^{vpaanfs} παρά^{p} ὁ^{damp} πούς^{namp} αὐτός^{rpgms} ὀπίσω^{bo} κλαίω^{vppanfs} ἄρχω^{viad3s} βρέχω^{vnpa} ὁ^{damp} πούς^{namp} αὐτός^{rpgms} ὁ^{ddnp} δάκρυον^{ndnp} καί^{c} ὁ^{ddfp} θρίξ^{ndfp} ὁ^{dgfs} κεφαλή^{ngfs} αὐτός^{rpgfs} ἐκμάσσω^{viia3s} καί^{c} καταφιλέω^{viia3s} ὁ^{damp} πούς^{namp} αὐτός^{rpgms} καί^{c} ἀλείφω^{viia3s} ὁ^{ddns} μύρον^{ndns}. **v.39** ὁράω^{vpaanms} δέ^{c} ὁ^{dnms} Φαρισαῖος^{nnms} ὁ^{dnms} καλέω^{vpaanms} αὐτός^{rpams} λέγω^{viaa3s} ἐν^{p} ἑαυτοῦ^{rxdms} λέγω^{vppanms} οὗτος^{rdnms} εἰ^{qo} εἰμί^{viix3s} προφήτης^{nnms} γινώσκω^{viia3s} ἄν^{xo} τίς^{rqnms} καί^{c} ποταπός^{anfsn} ὁ^{dnfs} γυνή^{nnfs} ὅστις^{rrnfs} ἅπτω^{vipm3s} αὐτός^{rpgms} ὅτι^{c} ἁμαρτωλός^{anfsn} εἰμί^{vipx3s}. **v.40** καί^{c} ἀποκρίνομαι^{vpaonms} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} πρός^{p} αὐτός^{rpams} Σίμων^{nvms} ἔχω^{vipa1s} σύ$^{rpd-s}$ τι-σριανσ λέγω^{vnaa} ὁ^{dnms} δέ^{c} φημί^{vipx3s} διδάσκαλος^{nvms} λέγω^{vdaa2s}. **v.41** δύο^{tn} χρεοφειλέτης^{nnmp} εἰμί^{viix3p} δανιστής^{ndms} τι-σριδμσ ὁ^{dnms} εἷς^{nnms} ὀφείλω^{viia3s} δηνάριον^{nanp} πεντακόσιοι^{nanp} ὁ^{dnms} δέ^{c} ἕτερος^{anmsn} πεντήκοντα^{tn}. **v.42** μή^{xo} ἔχω^{vppagmp} δέ^{c} αὐτός^{rpgmp} ἀποδίδωμι^{vnaa} ἀμφότεροι^{admpn} χαρίζομαι^{viad3s} τίς^{rqnms} οὖν^{c} αὐτός^{rpgmp} λέγω^{vdaa2s} πολύς^{aansc} αὐτός^{rpams} ἀγαπάω^{vifa3s}. **v.43** ἀποκρίνομαι^{vpaonms} δέ^{c} ὁ^{dnms} Σίμων^{nnms} λέγω^{viaa3s} ὑπολαμβάνω^{vipa1s} ὅτι^{c} ὅς^{rrdms} ὁ^{dans} πολύς^{aansc} χαρίζομαι^{viad3s} ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} ὀρθῶς^{bo} κρίνω^{viaa2s}. **v.44** καί^{c} στρέφω^{vpapnms} πρός^{p} ὁ^{dafs} γυνή^{nafs} ὁ^{ddms} Σίμων^{ndms} φημί^{viix3s} βλέπω^{vipa2s} οὗτος^{rdafs} ὁ^{dafs} γυνή^{nafs} εἰσέρχομαι^{viaa1s} σύ$^{rpg-s}$ εἰς^{p} ὁ^{dafs} οἰκία^{nafs} ὕδωρ^{nans} ἐπί^{p} ὁ^{damp} πούς^{namp} ἐγώ$^{rpg-s}$ οὐ^{xo} δίδωμι^{viaa2s} οὗτος^{rpnfs} δέ^{c} ὁ^{ddnp} δάκρυον^{ndnp} βρέχω^{viaa3s} ἐγώ$^{rpg-s}$ ὁ^{damp} πούς^{namp} καί^{c} ὁ^{ddfp} θρίξ^{ndfp} ὁ^{dgfs} κεφαλή^{ngfs} αὐτός^{rpgfs} ἐκμάσσω^{viaa3s}. **v.45** φίλημα^{nans} ἐγώ$^{rpd-s}$ οὐ^{xo} δίδωμι^{viaa2s} οὗτος^{rpnfs} δέ^{c} ἀπό^{p} ὅς^{rrgfs} εἰσέρχομαι^{viaa1s} οὐ^{xo} διαλείπω^{viaa3s} καταφιλέω^{vppanfs} ἐγώ$^{rpg-s}$ ὁ^{damp} πούς^{namp}. **v.46** ἔλαιον^{ndns} ὁ^{dafs} κεφαλή^{nafs} ἐγώ$^{rpg-s}$ οὐ^{xo} ἀλείφω^{viaa2s} οὗτος^{rpnfs} δέ^{c} μύρον^{ndns} ἀλείφω^{viaa3s} ἐγώ$^{rpg-s}$ ὁ^{damp} πούς^{namp}.

48 ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ. εἶπε δὲ αὐτῇ, Ἀφέωνταί σου αἱ
49 ἁμαρτίαι. καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς,
50 Τίς οὗτός ἐστιν ὃς καὶ ἁμαρτίας ἀφίησιν· εἶπε δὲ πρὸς τὴν
γυναῖκα, Ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην.

8 Καὶ ἐγένετο ἐν τῷ καθεξῆς, καὶ αὐτὸς διώδευε κατὰ πόλιν
καὶ κώμην, κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ
2 Θεοῦ, καὶ οἱ δώδεκα σὺν αὐτῷ, καὶ γυναῖκές τινες αἳ ἦσαν τε-
θεραπευμέναι ἀπὸ πνευμάτων πονηρῶν καὶ ἀσθενειῶν, Μαρία
ἡ καλουμένη Μαγδαληνή, ἀφ᾽ ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει,
3 καὶ Ἰωάννα γυνὴ Χουζᾶ ἐπιτρόπου Ἡρώδου, καὶ Σουσάννα,
καὶ ἕτεραι πολλαί, αἵτινες διηκόνουν αὐτῷ ἀπὸ τῶν ὑπαρχόν-
4 των αὐταῖς. Συνιόντος δὲ ὄχλου πολλοῦ, καὶ τῶν κατὰ πόλιν
5 ἐπιπορευομένων πρὸς αὐτόν, εἶπε διὰ παραβολῆς, Ἐξῆλθεν
ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ, καὶ ἐν τῷ σπείρειν
αὐτόν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδόν, καὶ κατεπατήθη, καὶ τὰ
6 πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτό. καὶ ἕτερον ἔπεσεν ἐ-
πὶ τὴν πέτραν, καὶ φυὲν ἐξηράνθη, διὰ τὸ μὴ ἔχειν ἰκμάδα.
7 καὶ ἕτερον ἔπεσεν ἐν μέσῳ τῶν ἀκανθῶν, καὶ συμφυεῖσαι αἱ
8 ἄκανθαι ἀπέπνιξαν αὐτό. καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν γῆν τὴν
ἀγαθήν, καὶ φυὲν ἐποίησε καρπὸν ἑκατονταπλασίονα. ταῦτα

---

v.47 ὅς[rrgns] χάριν[bo] λέγω[vipa1s] σύ[rpd-s] ἀφίημι[vixp3p] ὁ[dnfp] ἁμαρτία[nnfp] αὐτός[rpgfs] ὁ[dnfp] πολύς[anfpn] ὅτι[c] ἀγαπάω[viaa3s] πολύς[aansn] ὅς[rrdms] δέ[c] ὀλίγος[aansn] ἀφίημι[vipp3s] ὀλίγος[aansn] ἀγαπάω[vipa3s]. **v.48** λέγω[viaa3s] δέ[c] αὐτός[rpdfs] ἀφίημι[vixp3p] σύ[rpg-s] ὁ[dnfp] ἁμαρτία[nnfp]. **v.49** καί[c] ἄρχω[viad3p] ὁ[dnmp] συνανάκειμαι[vppnnmp] λέγω[vnpa] ἐν[p] ἑαυτοῦ[rxdmp] τίς[rqnms] οὗτος[rdnms] εἰμί[vipx3s] ὅς[rrnms] καί[c] ἁμαρτία[nafp] ἀφίημι[vipa3s]. **v.50** λέγω[viaa3s] δέ[c] πρός[p] ὁ[dafs] γυνή[nafs] ὁ[dnfs] πίστις[nnfs] σύ[rpg-s] σῴζω[vixa3s] σύ[rpa-s] πορεύομαι[vdpn2s] εἰς[p] εἰρήνη[nafs].
8. v.1 καί[c] γίνομαι[viad3s] ἐν[p] ὁ[ddms] καθεξῆς[bo] καί[c] αὐτός[rpnms] διοδεύω[viia3s] κατά[p] πόλις[nafs] καί[c] κώμη[nafs] κηρύσσω[vppanms] καί[c] εὐαγγελίζω[vppmnms] ὁ[dafs] βασιλεία[nafs] ὁ[dgms] θεός[ngms] καί[c] ὁ[dnmp] δώδεκα[tn] σύν[p] αὐτός[rpdms]. **v.2** καί[c] γυνή[nnfp] τι-σρινφπ ὅς[rrnfp] εἰμί[viix3p] θεραπεύω[vpxpnfp] ἀπό[p] πνεῦμα[ngnp] πονηρός[agnpn] καί[c] ἀσθένεια[ngfp] Μαρία[nnfs] ὁ[dnfs] καλέω[vppnfs] Μαγδαληνή[nnfs] ἀπό[p] ὅς[rrgfs] δαιμόνιον[nnnp] ἑπτά[tn] ἐξέρχομαι[viya3s].
v.3 καί[c] Ἰωάννα[ngfs] γυνή[nnfs] Χουζᾶς[ngms] ἐπίτροπος[ngms] Ἡρῴδης[ngms] καί[c] Σουσάννα[nnfs] καί[c] ἕτερος[anfpn] πολύς[anfpn] ὅστις[rrnfp] διακονέω[viia3p] αὐτός[rpdms] ἀπό[p] ὁ[dgnp] ὑπάρχω[vppagnp] αὐτός[rpdfp]. **v.4** σύνειμι[vppxgms] δέ[c] ὄχλος[ngms] πολύς[agmsn] καί[c] ὁ[dgmp] κατά[p] πόλις[nafs] ἐπιπορεύομαι[vppngmp] πρός[p] αὐτός[rpams] λέγω[viaa3s] διά[p] παραβολή[ngfs]. **v.5** ἐξέρχομαι[viaa3s] ὁ[dnms] σπείρω[vppanms] ὁ[dgms] σπείρω[vnaa] ὁ[dams] σπόρος[nams] αὐτός[rpgms] καί[c] ἐν[p] ὁ[ddms] σπείρω[vnpa] αὐτός[rpams] ὅς[rrnns] μέν[xo] πίπτω[viaa3s] παρά[p] ὁ[dafs] ὁδός[nafs] καί[c] καταπατέω[viap3s] καί[c] ὁ[dnnp] πετεινός[nnnp] ὁ[dgms] οὐρανός[ngms] κατεσθίω[viaa3s] αὐτός[rpans]. **v.6** καί[c] ἕτερος[annsn] πίπτω[viaa3s] ἐπί[p] ὁ[dafs] πέτρα[nafs] καί[c] φύω[vpapnns] ξηραίνω[viap3s] διά[p] ὁ[dans] μή[xo] ἔχω[vnpa] ἰκμάς[nafs]. **v.7** καί[c] ἕτερος[annsn] πίπτω[viaa3s] ἐν[p] μέσος[adnsn] ὁ[dgfp] ἄκανθα[ngfp] καί[c] συμφύω[vpapnfp] ὁ[dnfp] ἄκανθα[nnfp] ἀποπνίγω[viaa3p] αὐτός[rpans].

λέγων ἐφώνει, Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω. Ἐπηρώτων δὲ 9
αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες, Τίς εἴη ἡ παραβολὴ αὕτη.
ὁ δὲ εἶπεν, Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ 10
Θεοῦ, τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς, ἵνα βλέποντες μὴ βλέ-
πωσι, καὶ ἀκούοντες μὴ συνιῶσιν. ἔστι δὲ αὕτη ἡ παραβολή, 11
ὁ σπόρος ἐστὶν ὁ λόγος τοῦ Θεοῦ. οἱ δὲ παρὰ τὴν ὁδὸν εἰσὶν 12
οἱ ἀκούοντες, εἶτα ἔρχεται ὁ διάβολος καὶ αἴρει τὸν λόγον ἀπὸ
τῆς καρδίας αὐτῶν, ἵνα μὴ πιστεύσαντες σωθῶσιν. οἱ δὲ ἐπὶ 13
τῆς πέτρας οἵ, ὅταν ἀκούσωσι, μετὰ χαρᾶς δέχονται τὸν λόγον,
καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν, οἳ πρὸς καιρὸν πιστεύουσι, καὶ ἐν
καιρῷ πειρασμοῦ ἀφίστανται. τὸ δὲ εἰς τὰς ἀκάνθας πεσόν, 14
οὗτοί εἰσιν οἱ ἀκούσαντες, καὶ ὑπὸ μεριμνῶν καὶ πλούτου καὶ
ἡδονῶν τοῦ βίου πορευόμενοι συμπνίγονται, καὶ οὐ τελεσφο-
ροῦσι. τὸ δὲ ἐν τῇ καλῇ γῇ, οὗτοί εἰσιν οἵτινες ἐν καρδίᾳ καλῇ 15
καὶ ἀγαθῇ, ἀκούσαντες τὸν λόγον κατέχουσι, καὶ καρποφο-
ροῦσιν ἐν ὑπομονῇ. Οὐδεὶς δὲ λύχνον ἅψας, καλύπτει αὐτὸν 16
σκεύει, ἢ ὑποκάτω κλίνης τίθησιν, ἀλλ᾽ ἐπὶ λυχνίας ἐπιτίθησιν,
γὰρ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσωπον
πάσης τῆς γῆς. ἀγρυπνεῖτε οὖν ἐν παντὶ καιρῷ δεόμενοι, ἵνα 36
καταξιωθῆτε ἐκφυγεῖν ταῦτα πάντα τὰ μέλλοντα γίνεσθαι, καὶ
σταθῆναι ἔμπροσθεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Ἦν δὲ τὰς ἡμέ- 37
ρας ἐν τῷ ἱερῷ διδάσκων, τὰς δὲ νύκτας ἐξερχόμενος ηὐλίζετο
εἰς τὸ ὄρος τὸ καλούμενον ἐλαιῶν. καὶ πᾶς ὁ λαὸς ὤρθριζε 38
πρὸς αὐτὸν ἐν τῷ ἱερῷ ἀκούειν αὐτοῦ.

Ἤγγιζε δὲ ἡ ἑορτὴ τῶν ἀζύμων, ἡ λεγομένη πάσχα. καὶ **22**, 2
ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὸ πῶς ἀνέλωσιν αὐτόν,
ἐφοβοῦντο γὰρ τὸν λαόν. Εἰσῆλθε δὲ ὁ Σατανᾶς εἰς Ἰούδαν τὸν 3
ἐπικαλούμενον Ἰσκαριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα.
καὶ ἀπελθὼν συνελάλησε τοῖς ἀρχιερεῦσι καὶ τοῖς στρατηγοῖς τὸ 4

---

v.29 καί^{c} λέγω^{viaa3s} παραβολή^{nafs} αὐτός^{rpdmp} ὁράω^{vdaa2p} ὁ^{dafs} συκῆ^{nafs} καί^{c} πᾶς^{aanpn} ὁ^{danp} δένδρον^{nanp}. **v.30** ὅταν^{c} προβάλλω^{vsaa3p} ἤδη^{bo} βλέπω^{vppanmp} ἀπό^{p} ἑαυτοῦ^{rxgmp} γινώσκω^{vipa2p} ὅτι^{c} ἤδη^{bo} ἐγγύς^{bo} ὁ^{dnns} θέρος^{nnns} εἰμί^{vipx3s}. **v.31** οὕτω^{bo} καί^{c} σύ$^{rpn-p}$ ὅταν^{c} ὁράω^{vsaa2p} οὗτος^{rdanp} γίνομαι^{vppnanp} γινώσκω^{vdpa2p} ὅτι^{c} ἐγγύς^{bo} εἰμί^{vipx3s} ὁ^{dnfs} βασιλεία^{nnfs} ὁ^{dgms} θεός^{ngms}. **v.32** ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-p}$ ὅτι^{c} οὐ^{xo} μή^{xo} παρέρχομαι^{vsaa3s} ὁ^{dnfs} γενεά^{nnfs} οὗτος^{rdnfs} ἕως^{c} ἄν^{xo} πᾶς^{aanpn} γίνομαι^{vsad3s}. **v.33** ὁ^{dnms} οὐρανός^{nnms} καί^{c} ὁ^{dnfs} γῆ^{nnfs} παρέρχομαι^{vifd3p} ὁ^{dnmp} δέ^{c} λόγος^{nnmp} ἐγώ$^{rpg-s}$ οὐ^{xo} μή^{xo} παρέρχομαι^{vsaa3p}. **v.34** προσέχω^{vdpa2p} δέ^{c} ἑαυτοῦ^{rxdmp} μήποτε^{bo} βαρύνω^{vsap3p} σύ$^{rpg-p}$ ὁ^{dnfp} καρδία^{nnfp} ἐν^{p} κραιπάλη^{ndfs} καί^{c} μέθη^{ndfs} καί^{c} μέριμνα^{ndfp} βιωτικός^{adfpn} καί^{c} αἰφνίδιος^{anmsn} ἐπί^{p} σύ$^{rpa-p}$ ἐφίστημι^{vsaa3s} ὁ^{dnfs} ἡμέρα^{nnfs} ἐκεῖνος^{rdnfs}. **v.35** ὡς^{bo} παγίς^{nnfs} γάρ^{c} ἐπέρχομαι^{vifd3s} ἐπί^{p} πᾶς^{aampn} ὁ^{damp} κάθημαι^{vppnamp} ἐπί^{p} πρόσωπον^{nans} πᾶς^{agfsn} ὁ^{dgfs} γῆ^{ngfs}. **v.36** ἀγρυπνέω^{vdpa2p} οὖν^{c} ἐν^{p} πᾶς^{admsn} καιρός^{ndms} δέομαι^{vppnmp} ἵνα^{c} καταξιόω^{vsap2p} ἐκφεύγω^{vnaa} οὗτος^{rdanp} πᾶς^{aanpn} ὁ^{danp} μέλλω^{vppaanp} γίνομαι^{vnpn} καί^{c} ἵστημι^{vnap} ἔμπροσθεν^{p} ὁ^{dgms} υἱός^{ngms} ὁ^{dgms} ἄνθρωπος^{ngms}. **v.37** εἰμί^{viix3s} δέ^{c} ὁ^{dafp} ἡμέρα^{nafp} ἐν^{p} ὁ^{ddns} ἱερόν^{ndns} διδάσκω^{vppanms} ὁ^{dafp} δέ^{c} νύξ^{nafp} ἐξέρχομαι^{vppnnms} αὐλίζομαι^{viin3s} εἰς^{p} ὁ^{dans} ὄρος^{nans} ὁ^{dans} καλέω^{vpppans} ἐλαία^{ngfp}. **v.38** καί^{c} πᾶς^{anmsn} ὁ^{dnms} λαός^{nnms} ὀρθρίζω^{viia3s} πρός^{p} αὐτός^{rpams} ἐν^{p} ὁ^{ddns} ἱερόν^{ndns} ἀκούω^{vnpa} αὐτός^{rpgms}. **22. v.1** ἐγγίζω^{viia3s} δέ^{c} ὁ^{dnfs} ἑορτή^{nnfs} ὁ^{dgnp} ἄζυμος^{agnpn} ὁ^{dnfs} λέγω^{vpppnfs} πάσχα^{ta}. **v.2** καί^{c} ζητέω^{viia3p} ὁ^{dnmp} ἀρχιερεύς^{nnmp} καί^{c} ὁ^{dnmp} γραμματεύς^{nnmp} ὁ^{dans} πῶς^{bo} ἀναιρέω^{vsaa3p} αὐτός^{rpams} φοβέομαι^{viin3p} γάρ^{c} ὁ^{dams} λαός^{nams}. **v.3** εἰσέρχομαι^{viaa3s} δέ^{c} ὁ^{dnms} Σατανᾶς^{nnms} εἰς^{p} Ἰούδας^{nams} ὁ^{dams} ἐπικαλέω^{vpppams} Ἰσκαριώθ^{nams} εἰμί^{vppxams} ἐκ^{p} ὁ^{dgms} ἀριθμός^{ngms} ὁ^{dgmp} δώδεκα^{tn}.

5 πῶς αὐτὸν παραδῷ αὐτοῖς. καὶ ἐχάρησαν, καὶ συνέθεντο αὐτῷ
6 ἀργύριον δοῦναι. καὶ ἐξωμολόγησε, καὶ ἐζήτει εὐκαιρίαν τοῦ
7 παραδοῦναι αὐτὸν αὐτοῖς ἄτερ ὄχλου. Ἦλθε δὲ ἡ ἡμέρα τῶν
8 ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα. καὶ ἀπέστειλε Πέτρον
καὶ Ἰωάννην, εἰπών, Πορευθέντες ἑτοιμάσατε ἡμῖν τὸ πάσχα,
9, 10 ἵνα φάγωμεν. οἱ δὲ εἶπον αὐτῷ, Ποῦ θέλεις ἑτοιμάσωμεν· ὁ δὲ
εἶπεν αὐτοῖς, Ἰδού, εἰσελθόντων ὑμῶν εἰς τὴν πόλιν, συναντή-
σει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων, ἀκολουθήσατε
11 αὐτῷ εἰς τὴν οἰκίαν οὗ εἰσπορεύεται. καὶ ἐρεῖτε τῷ οἰκοδεσπό-
τῃ τῆς οἰκίας, Λέγει σοι ὁ διδάσκαλος, Ποῦ ἐστι τὸ κατάλυμα,
12 ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω· κἀκεῖνος ὑμῖν
13 δείξει ἀνώγεον μέγα ἐστρωμένον, ἐκεῖ ἑτοιμάσατε. ἀπελθόντες
14 δὲ εὗρον καθὼς εἴρηκεν αὐτοῖς, καὶ ἡτοίμασαν τὸ πάσχα. Καὶ
ὅτε ἐγένετο ἡ ὥρα, ἀνέπεσε, καὶ οἱ δώδεκα ἀπόστολοι σὺν αὐτῷ.
15 καὶ εἶπε πρὸς αὐτούς, Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα
16 φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν, λέγω γὰρ ὑμῖν ὅτι οὐκέτι
οὐ μὴ φάγω ἐξ αὐτοῦ, ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ
17 Θεοῦ. καὶ δεξάμενος ποτήριον, εὐχαριστήσας εἶπε, Λάβετε
18 τοῦτο, καὶ διαμερίσατε ἑαυτοῖς, λέγω γὰρ ὑμῖν ὅτι οὐ μὴ πίω
ἀπὸ τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως ὅτου ἡ βασιλεία τοῦ Θε-

---

v.4 καί^{c} ἀπέρχομαι^{vpaanms} συλλαλέω^{viaa3s} ὁ^{ddmp} ἀρχιερεύς^{ndmp} καί^{c} ὁ^{ddmp} στρατηγός^{ndmp} ὁ^{dans} πῶς^{bo} αὐτός^{rpams} παραδίδωμι^{vsaa3s} αὐτός^{rpdmp}. **v.5** καί^{c} χαίρω^{viao3p} καί^{c} συντίθημι^{viam3p} αὐτός^{rpdms} ἀργύριον^{nans} δίδωμι^{vnaa}. **v.6** καί^{c} ἐξομολογέω^{viaa3s} καί^{c} ζητέω^{viia3s} εὐκαιρία^{nafs} ὁ^{dgms} παραδίδωμι^{vnaa} αὐτός^{rpams} αὐτός^{rpdmp} ἄτερ^{p} ὄχλος^{ngms}. **v.7** ἔρχομαι^{viaa3s} δέ^{c} ὁ^{dnfs} ἡμέρα^{nnfs} ὁ^{dgnp} ἄζυμος^{agnpn} ἐν^{p} ὅς^{rrdfs} δεῖ^{viiq3s} θύω^{vnpp} ὁ^{dnns} πάσχα^{ta}. **v.8** καί^{c} ἀποστέλλω^{viaa3s} Πέτρος^{nams} καί^{c} Ἰωάννης^{nams} λέγω^{vpaanms} πορεύομαι^{vpaonmp} ἑτοιμάζω^{vdaa2p} ἐγώ$^{rpd-p}$ ὁ^{dans} πάσχα^{ta} ἵνα^{c} ἐσθίω^{vsaa1p}. **v.9** ὁ^{dnmp} δέ^{c} λέγω^{viaa3p} αὐτός^{rpdms} ποῦ^{xo} θέλω^{vipa2s} ἑτοιμάζω^{vsaa1p}. **v.10** ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} αὐτός^{rpdmp} ἰδού^{vdaa2s} εἰσέρχομαι^{vpaagmp} σύ$^{rpg-p}$ εἰς^{p} ὁ^{dafs} πόλις^{nafs} συναντάω^{vifa3s} σύ$^{rpd-p}$ ἄνθρωπος^{nnms} κεράμιον^{nans} ὕδωρ^{ngns} βαστάζω^{vppanms} ἀκολουθέω^{vdaa2p} αὐτός^{rpdms} εἰς^{p} ὁ^{dafs} οἰκία^{nafs} οὗ^{bo} εἰσπορεύομαι^{vipn3s}. **v.11** καί^{c} λέγω^{vifa2p} ὁ^{ddms} οἰκοδεσπότης^{ndms} ὁ^{dgfs} οἰκία^{ngfs} λέγω^{vipa3s} σύ$^{rpd-s}$ ὁ^{dnms} διδάσκαλος^{nnms} ποῦ^{xo} εἰμί^{vipx3s} ὁ^{dnns} κατάλυμα^{nnns} ὅπου^{bo} ὁ^{dans} πάσχα^{ta} μετά^{p} ὁ^{dgmp} μαθητής^{ngmp} ἐγώ$^{rpg-s}$ ἐσθίω^{vsaa1s}. **v.12** κἀκεῖνος^{rdnms} σύ$^{rpd-p}$ δείκνυμι^{vifa3s} ἀνάγαιον^{nans} μέγας^{aansn} στρωννύω^{vpxpans} ἐκεῖ^{bo} ἑτοιμάζω^{vdaa2p}. **v.13** ἀπέρχομαι^{vpaanmp} δέ^{c} εὑρίσκω^{viaa3p} καθώς^{bo} λέγω^{vixa3s} αὐτός^{rpdmp} καί^{c} ἑτοιμάζω^{viaa3p} ὁ^{dans} πάσχα^{ta}. **v.14** καί^{c} ὅτε^{bo} γίνομαι^{viad3s} ὁ^{dnfs} ὥρα^{nnfs} ἀναπίπτω^{viaa3s} καί^{c} ὁ^{dnmp} δώδεκα^{tn} ἀπόστολος^{nnmp} σύν^{p} αὐτός^{rpdms}. **v.15** καί^{c} λέγω^{viaa3s} πρός^{p} αὐτός^{rpamp} ἐπιθυμία^{ndfs} ἐπιθυμέω^{viaa1s} οὗτος^{rdans} ὁ^{dans} πάσχα^{ta} ἐσθίω^{vnaa} μετά^{p} σύ$^{rpg-p}$ πρό^{p} ὁ^{dgms} ἐγώ$^{rpa-s}$ πάσχω^{vnaa}. **v.16** λέγω^{vipa1s} γάρ^{c} σύ$^{rpd-p}$ ὅτι^{c} οὐκέτι^{bo} οὐ^{xo} μή^{xo} ἐσθίω^{vsaa1s} ἐκ^{p} αὐτός^{rpgns} ἕως^{c} ὅστις^{rrgns} πληρόω^{vsap3s} ἐν^{p} ὁ^{ddfs} βασιλεία^{ndfs} ὁ^{dgms} θεός^{ngms}. **v.17** καί^{c} δέχομαι^{vpadnms} ποτήριον^{nans} εὐχαριστέω^{vpaanms} λέγω^{viaa3s} λαμβάνω^{vdaa2p} οὗτος^{rdans} καί^{c} διαμερίζω^{vdaa2p} ἑαυτοῦ^{rxdmp}.

οῦ ἔλθῃ. καὶ λαβὼν ἄρτον, εὐχαριστήσας ἔκλασε, καὶ ἔδωκεν 19
αὐτοῖς, λέγων, Τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν διδόμε-
νον, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὡσαύτως καὶ τὸ 20
ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων, Τοῦτο τὸ ποτήριον ἡ καινὴ
διαθήκη ἐν τῷ αἵματί μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον. πλὴν 21
ἰδού, ἡ χεὶρ τοῦ παραδιδόντος με μετ᾽ ἐμοῦ ἐπὶ τῆς τραπέζης.
καὶ ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου πορεύεται κατὰ τὸ ὡρισμένον, 22
πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ δι᾽ οὗ παραδίδοται. καὶ αὐτοὶ 23
ἤρξαντο συζητεῖν πρὸς ἑαυτοὺς τὸ τίς ἄρα εἴη ἐξ αὐτῶν ὁ τοῦτο
μέλλων πράσσειν. Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς τὸ τίς 24
αὐτῶν δοκεῖ εἶναι μείζων. ὁ δὲ εἶπεν αὐτοῖς, Οἱ βασιλεῖς τῶν ἐ- 25
θνῶν κυριεύουσιν αὐτῶν, καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται
καλοῦνται. ὑμεῖς δὲ οὐχ οὕτως, ἀλλ᾽ ὁ μείζων ἐν ὑμῖν γενέ- 26
σθω ὡς ὁ νεώτερος, καὶ ὁ ἡγούμενος ὡς ὁ διακονῶν. τίς γὰρ 27
μείζων, ὁ ἀνακείμενος ἢ ὁ διακονῶν· οὐχὶ ὁ ἀνακείμενος· ἐγὼ
δέ εἰμι ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν. ὑμεῖς δέ ἐστε οἱ διαμε- 28
μενηκότες μετ᾽ ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου, κἀγὼ διατίθεμαι 29
ὑμῖν, καθὼς διέθετό μοι ὁ πατήρ μου, βασιλείαν, ἵνα ἐσθίητε 30
καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου, καὶ κα-

---

v.18 λέγω^{vipa1s} γάρ^{c} σύ$^{rpd-p}$ ὅτι^{c} οὐ^{xo} μή^{xo} πίνω^{vsaa1s} ἀπό^{p} ὁ^{dgns} γέννημα^{ngns} ὁ^{dgfs} ἄμπελος^{ngfs} ἕως^{c} ὅστις^{rrgns} ὁ^{dnfs} βασιλεία^{nnfs} ὁ^{dgms} θεός^{ngms} ἔρχομαι^{vsaa3s}. **v.19** καί^{c} λαμβάνω^{vpaanms} ἄρτος^{nams} εὐχαριστέω^{vpaanms} κλάω^{viaa3s} καί^{c} δίδωμι^{viaa3s} αὐτός^{rpdmp} λέγω^{vppanms} οὗτος^{rdnns} εἰμί^{vipx3s} ὁ^{dnns} σῶμα^{nnns} ἐγώ$^{rpg-s}$ ὁ^{dnns} ὑπέρ^{p} σύ$^{rpg-p}$ δίδωμι^{vpppnns} οὗτος^{rdans} ποιέω^{vdpa2p} εἰς^{p} ὁ^{dafs} ἐμός^{rsafs} ἀνάμνησις^{nafs}. **v.20** ὡσαύτως^{bo} καί^{c} ὁ^{dnns} ποτήριον^{nnns} μετά^{p} ὁ^{dans} δειπνέω^{vnaa} λέγω^{vppanms} οὗτος^{rdnns} ὁ^{dnns} ποτήριον^{nnns} ὁ^{dnfs} καινός^{anfsn} διαθήκη^{nnfs} ἐν^{p} ὁ^{ddns} αἷμα^{ndns} ἐγώ$^{rpg-s}$ ὁ^{dnns} ὑπέρ^{p} σύ$^{rpg-p}$ ἐκχέω^{vpppnns}. **v.21** πλήν^{bo} ἰδού^{vdaa2s} ὁ^{dnfs} χείρ^{nnfs} ὁ^{dgms} παραδίδωμι^{vppagms} ἐγώ$^{rpa-s}$ μετά^{p} ἐγώ$^{rpg-s}$ ἐπί^{p} ὁ^{dgfs} τράπεζα^{ngfs}. **v.22** καί^{c} ὁ^{dnms} μέν^{xo} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} πορεύομαι^{vipn3s} κατά^{p} ὁ^{dans} ὁρίζω^{vpxpans} πλήν^{bo} οὐαί^{i} ὁ^{ddms} ἄνθρωπος^{ndms} ἐκεῖνος^{rddms} διά^{p} ὅς^{rrgms} παραδίδωμι^{vipp3s}. **v.23** καί^{c} αὐτός^{rpnmp} ἄρχω^{viad3p} συζητέω^{vnpa} πρός^{p} ἑαυτοῦ^{rxamp} ὁ^{dans} τίς^{rqnms} ἄρα^{xo} εἰμί^{vopx3s} ἐκ^{p} αὐτός^{rpgmp} ὁ^{dnms} οὗτος^{rdans} μέλλω^{vppanms} πράσσω^{vnpa}. **v.24** γίνομαι^{viad3s} δέ^{c} καί^{c} φιλονεικία^{nnfs} ἐν^{p} αὐτός^{rpdmp} ὁ^{dnns} τίς^{rqnms} αὐτός^{rpgmp} δοκέω^{vipa3s} εἰμί^{vnpx} μέγας^{anmsc}. **v.25** ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} αὐτός^{rpdmp} ὁ^{dnmp} βασιλεύς^{nnmp} ὁ^{dgnp} ἔθνος^{ngnp} κυριεύω^{vipa3p} αὐτός^{rpgnp} καί^{c} ὁ^{dnmp} ἐξουσιάζω^{vppanmp} αὐτός^{rpgnp} εὐεργέτης^{nnmp} καλέω^{vipp3p}. **v.26** σύ$^{rpn-p}$ δέ^{c} οὐ^{xo} οὕτω^{bo} ἀλλά^{c} ὁ^{dnms} μέγας^{anmsc} ἐν^{p} σύ$^{rpd-p}$ γίνομαι^{vdad3s} ὡς^{bo} ὁ^{dnms} νέος^{anmsc} καί^{c} ὁ^{dnms} ἡγέομαι^{vppnnms} ὡς^{bo} ὁ^{dnms} διακονέω^{vppanms}. **v.27** τίς^{rqnms} γάρ^{c} μέγας^{anmsc} ὁ^{dnms} ἀνάκειμαι^{vppnnms} ἤ^{xo} ὁ^{dnms} διακονέω^{vppanms} οὐχί^{xo} ὁ^{dnms} ἀνάκειμαι^{vppnnms} ἐγώ$^{rpn-s}$ δέ^{c} εἰμί^{vipx1s} ἐν^{p} μέσος^{adnsn} σύ$^{rpg-p}$ ὡς^{bo} ὁ^{dnms} διακονέω^{vppanms}. **v.28** σύ$^{rpn-p}$ δέ^{c} εἰμί^{vipx2p} ὁ^{dnmp} διαμένω^{vpxanmp} μετά^{p} ἐγώ$^{rpg-s}$ ἐν^{p} ὁ^{ddmp} πειρασμός^{ndmp} ἐγώ$^{rpg-s}$. **v.29** κἀγώ$^{rpn-s}$ διατίθημι^{vipm1s} σύ$^{rpd-p}$ καθώς^{bo} διατίθημι^{viam3s} ἐγώ$^{rpd-s}$ ὁ^{dnms} πατήρ^{nnms} ἐγώ$^{rpg-s}$ βασιλεία^{nafs}.

θίσησθε ἐπὶ θρόνων, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.
31 εἶπε δὲ ὁ Κύριος, Σίμων Σίμων, ἰδού, ὁ Σατανᾶς ἐξῃτήσατο ὑ-
32 μᾶς, τοῦ σινιάσαι ὡς τὸν σῖτον, ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα
μὴ ἐκλείπῃ ἡ πίστις σου, καὶ σύ ποτε ἐπιστρέψας στήριξον τοὺς
33 ἀδελφούς σου. ὁ δὲ εἶπεν αὐτῷ, Κύριε, μετὰ σοῦ ἕτοιμός εἰμι
34 καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι. ὁ δὲ εἶπε, Λέγω
σοι, Πέτρε, οὐ μὴ φωνήσει σήμερον ἀλέκτωρ, πρὶν ἢ τρὶς ἀπαρ-
35 νήσῃ μὴ εἰδέναι με. Καὶ εἶπεν αὐτοῖς, Ὅτε ἀπέστειλα ὑμᾶς
ἄτερ βαλαντίου καὶ πήρας καὶ ὑποδημάτων, μή τινος ὑστερή-
36 σατε· οἱ δὲ εἶπον, Οὐδενός. εἶπεν οὖν αὐτοῖς, Ἀλλὰ νῦν ὁ ἔχων
βαλάντιον ἀράτω, ὁμοίως καὶ πήραν, καὶ ὁ μὴ ἔχων, πωλησάτω
37 τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν. λέγω γὰρ ὑμῖν
ὅτι ἔτι τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι ἐν ἐμοί, τὸ Καὶ
38 μετὰ ἀνόμων ἐλογίσθη, καὶ γὰρ τὰ περὶ ἐμοῦ τέλος ἔχει. οἱ δὲ
εἶπον, Κύριε, ἰδού, μάχαιραι ὧδε δύο. ὁ δὲ εἶπεν αὐτοῖς, Ἱκα-
39 νόν ἐστι. Καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος τῶν
40 ἐλαιῶν, ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταί αὐτοῦ. γενόμε-
νος δὲ ἐπὶ τοῦ τόπου, εἶπεν αὐτοῖς, Προσεύχεσθε μὴ εἰσελθεῖν
41 εἰς πειρασμόν. καὶ αὐτὸς ἀπεσπάσθη ἀπ᾽ αὐτῶν ὡσεὶ λίθου
42 βολήν, καὶ θεὶς τὰ γόνατα προσηύχετο, λέγων, Πάτερ, εἰ βού-

---

v.30 ἵνα^{c} ἐσθίω^{vspa2p} καί^{c} πίνω^{vspa2p} ἐπί^{p} ὁ^{dgfs} τράπεζα^{ngfs} ἐγώ$^{rpg\text{-}s}$ ἐν^{p} ὁ^{ddfs} βασιλεία^{ndfs} ἐγώ$^{rpg\text{-}s}$ καί^{c} καθίζω^{vsad2p} ἐπί^{p} θρόνος^{ngmp} κρίνω^{vppanmp} ὁ^{dafp} δώδεκα^{tn} φυλή^{nafp} ὁ^{dgms} Ἰσραήλ^{tp}. **v.31** λέγω^{viaa3s} δέ^{c} ὁ^{dnms} κύριος^{nnms} Σίμων^{nvms} Σίμων^{nvms} ἰδού^{vdaa2s} ὁ^{dnms} Σατανᾶς^{nnms} ἐξαιτέω^{viam3s} σύ$^{rpa\text{-}p}$ ὁ^{dgms} σινιάζω^{vnaa} ὡς^{bo} ὁ^{dams} σῖτος^{nams}. **v.32** ἐγώ$^{rpn\text{-}s}$ δέ^{c} δέομαι^{viap1s} περί^{p} σύ$^{rpg\text{-}s}$ ἵνα^{c} μή^{xo} ἐκλείπω^{vspa3s} ὁ^{dnfs} πίστις^{nnfs} σύ$^{rpg\text{-}s}$ καί^{c} σύ$^{rpn\text{-}s}$ ποτέ^{xo} ἐπιστρέφω^{vpaanms} στηρίζω^{vdaa2s} ὁ^{damp} ἀδελφός^{namp} σύ$^{rpg\text{-}s}$. **v.33** ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} κύριος^{nvms} μετά^{p} σύ$^{rpg\text{-}s}$ ἕτοιμος^{anmsn} εἰμί^{vipx1s} καί^{c} εἰς^{p} φυλακή^{nafs} καί^{c} εἰς^{p} θάνατος^{nams} πορεύομαι^{vnpn}. **v.34** ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} λέγω^{vipa1s} σύ$^{rpd\text{-}s}$ Πέτρος^{nvms} οὐ^{xo} μή^{xo} φωνέω^{vifa3s} σήμερον^{bo} ἀλέκτωρ^{nnms} πρίν^{bo} ἤ^{xo} τρίς^{bo} ἀπαρνέομαι^{vifd2s} μή^{xo} οἶδα^{vnxa} ἐγώ$^{rpa\text{-}s}$. **v.35** καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdmp} ὅτε^{bo} ἀποστέλλω^{viaa1s} σύ$^{rpa\text{-}p}$ ἄτερ^{p} βαλλάντιον^{ngns} καί^{c} πήρα^{ngfs} καί^{c} ὑπόδημα^{ngnp} μή^{xo} τι-σριγνσ ὑστερέω^{viaa2p} ὁ^{dnmp} δέ^{c} λέγω^{viaa3p} οὐδείς^{agnsn}. **v.36** λέγω^{viaa3s} οὖν^{c} αὐτός^{rpdmp} ἀλλά^{c} νῦν^{bo} ὁ^{dnms} ἔχω^{vppanms} βαλλάντιον^{nans} αἴρω^{vdaa3s} ὁμοίως^{bo} καί^{c} πήρα^{nafs} καί^{c} ὁ^{dnms} μή^{xo} ἔχω^{vppanms} πωλέω^{vdaa3s} ὁ^{dans} ἱμάτιον^{nans} αὐτός^{rpgms} καί^{c} ἀγοράζω^{vdaa3s} μάχαιρα^{nafs}. **v.37** λέγω^{vipa1s} γάρ^{c} σύ$^{rpd\text{-}p}$ ὅτι^{c} ἔτι^{bo} οὗτος^{rdans} ὁ^{dans} γράφω^{vpxpans} δεῖ^{vipq3s} τελέω^{vnap} ἐν^{p} ἐγώ$^{rpd\text{-}s}$ ὁ^{dans} καί^{c} μετά^{p} ἄνομος^{agmpn} λογίζομαι^{viap3s} καί^{c} γάρ^{c} ὁ^{dnnp} περί^{p} ἐγώ$^{rpg\text{-}s}$ τέλος^{nans} ἔχω^{vipa3s}. **v.38** ὁ^{dnmp} δέ^{c} λέγω^{viaa3p} κύριος^{nvms} ἰδού^{vdaa2s} μάχαιρα^{nnfp} ὧδε^{bo} δύο^{tn} ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} αὐτός^{rpdmp} ἱκανός^{annsn} εἰμί^{vipx3s}. **v.39** καί^{c} ἐξέρχομαι^{vpaanms} πορεύομαι^{viao3s} κατά^{p} ὁ^{dans} ἔθος^{nans} εἰς^{p} ὁ^{dans} ὄρος^{nans} ὁ^{dgfp} ἐλαία^{ngfp} ἀκολουθέω^{viaa3p} δέ^{c} αὐτός^{rpdms} καί^{c} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms}. **v.40** γίνομαι^{vpadnms} δέ^{c} ἐπί^{p} ὁ^{dgms} τόπος^{ngms} λέγω^{viaa3s} αὐτός^{rpdmp} προσεύχομαι^{vdpn2p} μή^{xo} εἰσέρχομαι^{vnaa} εἰς^{p} πειρασμός^{nams}. **v.41** καί^{c} αὐτός^{rpnms} ἀποσπάω^{viap3s} ἀπό^{p} αὐτός^{rpgmp} ὡσεί^{bo} λίθος^{ngms} βολή^{nafs} καί^{c} τίθημι^{vpaanms} ὁ^{danp} γόνυ^{nanp} προσεύχομαι^{viin3s}.

λει παρένεγκε τὸ ποτήριον τοῦτο ἀπ᾽ ἐμοῦ, πλὴν μὴ τὸ θέλημά
μου, ἀλλὰ τὸ σὸν γενέσθω. ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ᾽ οὐρα- 43
νοῦ ἐνισχύων αὐτόν. καὶ γενόμενος ἐν ἀγωνίᾳ, ἐκτενέστερον 44
προσηύχετο. ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος
καταβαίνοντες ἐπὶ τὴν γῆν. καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς, 45
ἐλθὼν πρὸς τοὺς μαθητὰς αὐτοῦ, εὗρεν αὐτοὺς κοιμωμένους
ἀπὸ τῆς λύπης, καὶ εἶπεν αὐτοῖς, Τί καθεύδετε· ἀναστάντες 46
προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. Ἔτι δέ αὐτοῦ 47
λαλοῦντος, ἰδού, ὄχλος, καὶ ὁ λεγόμενος Ἰούδας, εἷς τῶν δώ-
δεκα, προήρχετο αὐτῶν, καὶ ἤγγισε τῷ Ἰησοῦ φιλῆσαι αὐτόν.
ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώ- 48
που παραδίδως· ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσόμενον εἶπον 49
αὐτῷ, Κύριε, εἰ πατάξομεν ἐν μαχαίρᾳ· καὶ ἐπάταξεν εἷς τις ἐξ 50
αὐτῶν τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ ἀφεῖλεν αὐτοῦ τὸ οὖς τὸ
δεξιόν. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν, Ἐᾶτε ἕως τούτου. καὶ 51
ἁψάμενος τοῦ ὠτίου, αὐτοῦ, ἰάσατο αὐτόν. εἶπε δὲ ὁ Ἰησοῦς 52
πρὸς τοὺς παραγενομένους ἐπ᾽ αὐτὸν ἀρχιερεῖς καὶ στρατηγοὺς
τοῦ ἱεροῦ καὶ πρεσβυτέρους, Ὡς ἐπὶ λῃστὴν ἐξεληλύθατε μετὰ
μαχαιρῶν καὶ ξύλων· καθ᾽ ἡμέραν ὄντος μου μεθ᾽ ὑμῶν ἐν τῷ 53
ἱερῷ, οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ᾽ ἐμέ. ἀλλ᾽ αὕτη ὑμῶν ἐστιν

---

v.42 λέγω^{vppanms} πατήρ^{nvms} εἰ^{qo} βούλομαι^{vipn2s} παραφέρω^{vdaa2s} ὁ^{dans} ποτήριον^{nans} οὗτος^{rdans} ἀπό^{p} ἐγώ$^{rpg-s}$ πλήν^{bo} μή^{xo} ὁ^{dnns} θέλημα^{nnns} ἐγώ$^{rpg-s}$ ἀλλά^{c} ὁ^{dnns} σός^{rsnns} γίνομαι^{vdad3s}. **v.43** ὁράω^{viap3s} δέ^{c} αὐτός^{rpdms} ἄγγελος^{nnms} ἀπό^{p} οὐρανός^{ngms} ἐνισχύω^{vppanms} αὐτός^{rpams}. **v.44** καί^{c} γίνομαι^{vpadnms} ἐν^{p} ἀγωνία^{ndfs} ἐκτενής^{bo} προσεύχομαι^{viin3s} γίνομαι^{viad3s} δέ^{c} ὁ^{dnms} ἱδρώς^{nnms} αὐτός^{rpgms} ὡσεί^{bo} θρόμβος^{nnmp} αἷμα^{ngns} καταβαίνω^{vppanmp} ἐπί^{p} ὁ^{dafs} γῆ^{nafs}. **v.45** καί^{c} ἀνίστημι^{vpaanms} ἀπό^{p} ὁ^{dgfs} προσευχή^{ngfs} ἔρχομαι^{vpaanms} πρός^{p} ὁ^{damp} μαθητής^{namp} αὐτός^{rpgms} εὑρίσκω^{viaa3s} αὐτός^{rpamp} κοιμάομαι^{vpppamp} ἀπό^{p} ὁ^{dgfs} λύπη^{ngfs}. **v.46** καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdmp} τίς^{rqans} καθεύδω^{vipa2p} ἀνίστημι^{vpaanmp} προσεύχομαι^{vdpn2p} ἵνα^{c} μή^{xo} εἰσέρχομαι^{vsaa2p} εἰς^{p} πειρασμός^{nams}. **v.47** ἔτι^{bo} δέ^{c} αὐτός^{rpgms} λαλέω^{vppagms} ἰδού^{vdaa2s} ὄχλος^{nnms} καί^{c} ὁ^{dnms} λέγω^{vpppnms} Ἰούδας^{nnms} εἷς^{nnms} ὁ^{dgmp} δώδεκα^{tn} προέρχομαι^{viin3s} αὐτός^{rpgmp} καί^{c} ἐγγίζω^{viaa3s} ὁ^{ddms} Ἰησοῦς^{ndms} φιλέω^{vnaa} αὐτός^{rpams}. **v.48** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} αὐτός^{rpdms} Ἰούδας^{nvms} φίλημα^{ndns} ὁ^{dams} υἱός^{nams} ὁ^{dgms} ἄνθρωπος^{ngms} παραδίδωμι^{vipa2s}. **v.49** ὁράω^{vpaanmp} δέ^{c} ὁ^{dnmp} περί^{p} αὐτός^{rpams} ὁ^{dans} εἰμί^{vpfxans} λέγω^{viaa3p} αὐτός^{rpdms} κύριος^{nvms} εἰ^{qo} πατάσσω^{vifa1p} ἐν^{p} μάχαιρα^{ndfs}. **v.50** καί^{c} πατάσσω^{viaa3s} εἷς^{nnms} τι-σ-ρινμσ ἐκ^{p} αὐτός^{rpgmp} ὁ^{dams} δοῦλος^{nams} ὁ^{dgms} ἀρχιερεύς^{ngms} καί^{c} ἀφαιρέω^{viaa3s} αὐτός^{rpgms} ὁ^{dans} οὖς^{nans} ὁ^{dans} δεξιός^{aansn}. **v.51** ἀποκρίνομαι^{vpaonms} δέ^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} ἐάω^{vdpa2p} ἕως^{c} οὗτος^{rdgns} καί^{c} ἅπτω^{vpamnms} ὁ^{dgns} ὠτίον^{ngns} αὐτός^{rpgms} ἰάομαι^{viad3s} αὐτός^{rpams}. **v.52** λέγω^{viaa3s} δέ^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} πρός^{p} ὁ^{damp} παραγίνομαι^{vpadamp} ἐπί^{p} αὐτός^{rpams} ἀρχιερεύς^{namp} καί^{c} στρατηγός^{namp} ὁ^{dgns} ἱερόν^{ngns} καί^{c} πρεσβύτερος^{aampn} ὡς^{bo} ἐπί^{p} λῃστής^{nams} ἐξέρχομαι^{vixa2p} μετά^{p} μάχαιρα^{ngfp} καί^{c} ξύλον^{ngnp}.

54 ἡ ὥρα, καὶ ἡ ἐξουσία τοῦ σκότους. Συλλαβόντες δὲ αὐτὸν ἤ-
55 γαγον, καὶ εἰσήγαγον αὐτὸν εἰς τὸν οἶκον τοῦ ἀρχιερέως. ὁ δὲ
Πέτρος ἠκολούθει μακρόθεν. ἁψάντων δὲ πῦρ ἐν μέσῳ τῆς
56 αὐλῆς, καὶ συγκαθισάντων αὐτῶν, ἐκάθητο ὁ Πέτρος ἐν μέσῳ
57 αὐτῶν. ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθήμενον πρὸς τὸ φῶς,
καὶ ἀτενίσασα αὐτῷ, εἶπε, Καὶ οὗτος σὺν αὐτῷ ἦν. ὁ δὲ ἠρ-
58 νήσατο αὐτόν, λέγων, Γύναι, οὐκ οἶδα αὐτόν. καὶ μετὰ βραχὺ
ἕτερος ἰδὼν αὐτὸν ἔφη, Καὶ σὺ ἐξ αὐτῶν εἶ. ὁ δὲ Πέτρος εἶπεν,
59 Ἄνθρωπε, οὐκ εἰμί. καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς, ἄλλος
τις διϊσχυρίζετο, λέγων, Ἐπ᾽ ἀληθείας καὶ οὗτος μετ᾽ αὐτοῦ ἦν,
60 καὶ γὰρ Γαλιλαῖός ἐστιν. εἶπε δὲ ὁ Πέτρος, Ἄνθρωπε, οὐκ
οἶδα ὃ λέγεις. καὶ παραχρῆμα, ἔτι λαλοῦντος αὐτοῦ, ἐφώνη-
61 σεν ὁ ἀλέκτωρ. καὶ στραφεὶς ὁ Κύριος ἐνέβλεψε τῷ Πέτρῳ.
καὶ ὑπεμνήσθη ὁ Πέτρος τοῦ λόγου τοῦ Κυρίου, ὡς εἶπεν αὐτῷ
62 ὅτι Πρὶν ἀλέκτορα φωνῆσαι, ἀπαρνήσῃ με τρίς. καὶ ἐξελθὼν
63 ἔξω ὁ Πέτρος ἔκλαυσε πικρῶς. Καὶ οἱ ἄνδρες οἱ συνέχοντες
64 τὸν Ἰησοῦν ἐνέπαιζον αὐτῷ, δέροντες. καὶ περικαλύψαντες
αὐτόν, ἔτυπτον αὐτοῦ τὸ πρόσωπον, καὶ ἐπηρώτων αὐτόν, λέ-
65 γοντες, Προφήτευσον, τίς ἐστιν ὁ παίσας σε· καὶ ἕτερα πολλὰ

---

v.53 κατάᵖ ἡμέραⁿᵃᶠˢ εἰμίᵛᵖᵖˣᵍᵐˢ ἐγώʳᵖᵍ⁻ˢ μετάᵖ σύʳᵖᵍ⁻ᵖ ἐνᵖ ὁᵈᵈⁿˢ ἱερόνⁿᵈⁿˢ οὐˣᵒ ἐκτείνωᵛⁱᵃᵃ²ᵖ ὁᵈᵃᶠᵖ χείρⁿᵃᶠᵖ ἐπίᵖ ἐγώʳᵖᵃ⁻ˢ ἀλλάᶜ οὗτοςʳᵈⁿᶠˢ σύʳᵖᵍ⁻ᵖ εἰμίᵛⁱᵖˣ³ˢ ὁᵈⁿᶠˢ ὥραⁿⁿᶠˢ καίᶜ ὁᵈⁿᶠˢ ἐξουσίαⁿⁿᶠˢ ὁᵈᵍⁿˢ σκότοςⁿᵍⁿˢ. **v.54** συλλαμβάνωᵛᵖᵃᵃⁿᵐᵖ δέᶜ αὐτόςʳᵖᵃᵐˢ ἄγωᵛⁱᵃᵃ³ᵖ καίᶜ εἰσάγωᵛⁱᵃᵃ³ᵖ αὐτόςʳᵖᵃᵐˢ εἰςᵖ ὁᵈᵃᵐˢ οἶκοςⁿᵃᵐˢ ὁᵈᵍᵐˢ ἀρχιερεύςⁿᵍᵐˢ ὁᵈⁿᵐˢ δέᶜ Πέτροςⁿⁿᵐˢ ἀκολουθέωᵛⁱⁱᵃ³ˢ μακρόθενᵇᵒ. **v.55** ἅπτωᵛᵖᵃᵃᵍᵐᵖ δέᶜ πῦρⁿᵃⁿˢ ἐνᵖ μέσοςᵃᵈⁿˢⁿ ὁᵈᵍᶠˢ αὐλήⁿᵍᶠˢ καίᶜ συγκαθίζωᵛᵖᵃᵃᵍᵐᵖ αὐτόςʳᵖᵍᵐᵖ κάθημαιᵛⁱⁱⁿ³ˢ ὁᵈⁿᵐˢ Πέτροςⁿⁿᵐˢ ἐνᵖ μέσοςᵃᵈⁿˢⁿ αὐτόςʳᵖᵍᵐᵖ. **v.56** ὁράωᵛᵖᵃᵃⁿᶠˢ δέᶜ αὐτόςʳᵖᵃᵐˢ παιδίσκηⁿⁿᶠˢ τι-σρινφσ κάθημαιᵛᵖᵖⁿᵃᵐˢ πρόςᵖ ὁᵈᵃⁿˢ φῶςⁿᵃⁿˢ καίᶜ ἀτενίζωᵛᵖᵃᵃⁿᶠˢ αὐτόςʳᵖᵈᵐˢ λέγωᵛⁱᵃᵃ³ˢ καίᶜ οὗτοςʳᵈⁿᵐˢ σύνᵖ αὐτόςʳᵖᵈᵐˢ εἰμίᵛⁱⁱˣ³ˢ. **v.57** ὁᵈⁿᵐˢ δέᶜ ἀρνέομαιᵛⁱᵃᵈ³ˢ αὐτόςʳᵖᵃᵐˢ λέγωᵛᵖᵖᵃⁿᵐˢ γυνήⁿᵛᶠˢ οὐˣᵒ οἶδαᵛⁱˣᵃ¹ˢ αὐτόςʳᵖᵃᵐˢ. **v.58** καίᶜ μετάᵖ βραχύςᵃᵃⁿˢⁿ ἕτεροςᵃⁿᵐˢⁿ ὁράωᵛᵖᵃᵃⁿᵐˢ αὐτόςʳᵖᵃᵐˢ φημίᵛⁱˣ³ˢ καίᶜ σύʳᵖⁿ⁻ˢ ἐκᵖ αὐτόςʳᵖᵍᵐᵖ εἰμίᵛⁱᵖˣ²ˢ ὁᵈⁿᵐˢ δέᶜ Πέτροςⁿⁿᵐˢ λέγωᵛⁱᵃᵃ³ˢ ἄνθρωποςⁿᵛᵐˢ οὐˣᵒ εἰμίᵛⁱᵖˣ¹ˢ. **v.59** καίᶜ διΐστημιᵛᵖᵃᵃᵍᶠˢ ὡσείᵇᵒ ὥραⁿᵍᶠˢ εἷςⁿᵍᶠˢ ἄλλοςᵃⁿᵐˢⁿ τι-σρινμσ διϊσχυρίζομαιᵛⁱⁱⁿ³ˢ λέγωᵛᵖᵖᵃⁿᵐˢ ἐπίᵖ ἀλήθειαⁿᵍᶠˢ καίᶜ οὗτοςʳᵈⁿᵐˢ μετάᵖ αὐτόςʳᵖᵍᵐˢ εἰμίᵛⁱⁱˣ³ˢ καίᶜ γάρᶜ Γαλιλαῖοςⁿⁿᵐˢ εἰμίᵛⁱᵖˣ³ˢ. **v.60** λέγωᵛⁱᵃᵃ³ˢ δέᶜ ὁᵈⁿᵐˢ Πέτροςⁿⁿᵐˢ ἄνθρωποςⁿᵛᵐˢ οὐˣᵒ οἶδαᵛⁱˣᵃ¹ˢ ὅςʳʳᵃⁿˢ λέγωᵛⁱᵖᵃ²ˢ καίᶜ παραχρῆμαᵇᵒ ἔτιᵇᵒ λαλέωᵛᵖᵖᵃᵍᵐˢ αὐτόςʳᵖᵍᵐˢ φωνέωᵛⁱᵃᵃ³ˢ ὁᵈⁿᵐˢ ἀλέκτωρⁿⁿᵐˢ. **v.61** καίᶜ στρέφωᵛᵖᵃᵖⁿᵐˢ ὁᵈⁿᵐˢ κύριοςⁿⁿᵐˢ ἐμβλέπωᵛⁱᵃᵃ³ˢ ὁᵈᵈᵐˢ Πέτροςⁿᵈᵐˢ καίᶜ ὑπομιμνήσκωᵛⁱᵃᵃ³ˢ ὁᵈⁿᵐˢ Πέτροςⁿⁿᵐˢ ὁᵈᵍᵐˢ λόγοςⁿᵍᵐˢ ὁᵈᵍᵐˢ κύριοςⁿᵍᵐˢ ὡςᵇᵒ λέγωᵛⁱᵃᵃ³ˢ αὐτόςʳᵖᵈᵐˢ ὅτιᶜ πρίνᵇᵒ ἀλέκτωρⁿᵃᵐˢ φωνέώᵛⁿᵃᵃ ἀπαρνέομαιᵛⁱᶠᵈ²ˢ ἐγώʳᵖᵃ⁻ˢ τρίςᵇᵒ. **v.62** καίᶜ ἐξέρχομαιᵛᵖᵃᵃⁿᵐˢ ἔξωᵇᵒ ὁᵈⁿᵐˢ Πέτροςⁿⁿᵐˢ κλαίωᵛⁱᵃᵃ³ˢ πικρῶςᵇᵒ. **v.63** καίᶜ ὁᵈⁿᵐᵖ ἀνήρⁿⁿᵐᵖ ὁᵈⁿᵐᵖ συνέχωᵛᵖᵖᵃⁿᵐᵖ ὁᵈᵃᵐˢ Ἰησοῦςⁿᵃᵐˢ ἐμπαίζωᵛⁱⁱᵃ³ᵖ αὐτόςʳᵖᵈᵐˢ δέρωᵛᵖᵖᵃⁿᵐᵖ. **v.64** καίᶜ περικαλύπτωᵛᵖᵃᵃⁿᵐᵖ αὐτόςʳᵖᵃᵐˢ τύπτωᵛⁱⁱᵃ³ᵖ αὐτόςʳᵖᵍᵐˢ ὁᵈᵃⁿˢ πρόσωπονⁿᵃⁿˢ καίᶜ ἐπερωτάωᵛⁱⁱᵃ³ᵖ αὐτόςʳᵖᵃᵐˢ λέγωᵛᵖᵖᵃⁿᵐᵖ προφητεύωᵛᵈᵃᵃ²ˢ τίςʳᵠⁿᵐˢ εἰμίᵛⁱᵖˣ³ˢ ὁᵈⁿᵐˢ παίωᵛᵖᵃᵃⁿᵐˢ σύʳᵖᵃ⁻ˢ.

βλασφημοῦντες ἔλεγον εἰς αὐτόν. Καὶ ὡς ἐγένετο ἡμέρα, συν- 66
ήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, ἀρχιερεῖς τε καὶ γραμματεῖς,
καὶ ἀνήγαγον αὐτὸν εἰς τὸ συνέδριον ἑαυτῶν, λέγοντες, Εἰ σὺ 67
εἶ ὁ Χριστός, εἰπὲ ἡμῖν. εἶπε δὲ αὐτοῖς, Ἐὰν ὑμῖν εἴπω, οὐ μὴ
πιστεύσητε, ἐὰν δὲ καὶ ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτέ μοι, ἢ ἀ- 68
πολύσητε. ἀπὸ τοῦ νῦν ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος 69
ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Θεοῦ. εἶπον δὲ πάντες, Σὺ οὖν εἶ 70
ὁ υἱὸς τοῦ Θεοῦ· ὁ δὲ πρὸς αὐτοὺς ἔφη, Ὑμεῖς λέγετε ὅτι ἐγώ
εἰμι. οἱ δὲ εἶπον, Τί ἔτι χρείαν ἔχομεν μαρτυρίας· αὐτοὶ γὰρ 71
ἠκούσαμεν ἀπὸ τοῦ στόματος αὐτοῦ.

Καὶ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν, ἦγαγεν αὐτὸν ἐπὶ τὸν **23**
Πιλάτον. ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ, λέγοντες, Τοῦτον εὕ- 2
ρομεν διαστρέφοντα τὸ ἔθνος, καὶ κωλύοντα Καίσαρι φόρους
διδόναι, λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι. ὁ δὲ Πιλάτος 3
ἐπηρώτησεν αὐτόν, λέγων, Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων· ὁ
δὲ ἀποκριθεὶς αὐτῷ ἔφη, Σὺ λέγεις. ὁ δὲ Πιλάτος εἶπε πρὸς 4
τοὺς ἀρχιερεῖς καὶ τοὺς ὄχλους, Οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ
ἀνθρώπῳ τούτῳ. οἱ δὲ ἐπίσχυον, λέγοντες ὅτι Ἀνασείει τὸν 5
λαόν, διδάσκων καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενος ἀπὸ τῆς
Γαλιλαίας ἕως ὧδε. Πιλάτος δὲ ἀκούσας Γαλιλαίαν ἐπηρώ- 6

---

v.65 καί^{c} ἕτερος^{aanpn} πολύς^{aanpn} βλασφημέω^{vppanmp} λέγω^{viia3p} εἰς^{p} αὐτός^{rpams}. **v.66** καί^{c} ὡς^{bo} γίνομαι^{viad3s} ἡμέρα^{nnfs} συνάγω^{viap3s} ὁ^{dnns} πρεσβυτέριον^{nnns} ὁ^{dgms} λαός^{ngms} ἀρχιερεύς^{nnmp} τέ^{xo} καί^{c} γραμματεύς^{nnmp} καί^{c} ἀνάγω^{viaa3p} αὐτός^{rpams} εἰς^{p} ὁ^{dans} συνέδριον^{nans} ἑαυτοῦ^{rxgmp} λέγω^{vppanmp}. **v.67** εἰ^{qo} σύ$^{rpn-s}$ εἰμί^{vipx2s} ὁ^{dnms} Χριστός^{nnms} λέγω^{vdaa2s} ἐγώ$^{rpd-p}$ λέγω^{viaa3s} δέ^{c} αὐτός^{rpdmp} ἐάν^{qo} σύ$^{rpd-p}$ λέγω^{vsaa1s} οὐ^{xo} μή^{xo} πιστεύω^{vsaa2p}. **v.68** ἐάν^{qo} δέ^{c} καί^{c} ἐρωτάω^{vsaa1s} οὐ^{xo} μή^{xo} ἀποκρίνομαι^{vdao2p} ἐγώ$^{rpd-s}$ ἤ^{xo} ἀπολύω^{vsaa2p}. **v.69** ἀπό^{p} ὁ^{dgms} νῦν^{bo} εἰμί^{vifx3s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} κάθημαι^{vppnnms} ἐκ^{p} δεξιός^{agmpn} ὁ^{dgfs} δύναμις^{ngfs} ὁ^{dgms} θεός^{ngms}. **v.70** λέγω^{viaa3p} δέ^{c} πᾶς^{anmpn} σύ$^{rpn-s}$ οὖν^{c} εἰμί^{vipx2s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} θεός^{ngms} ὁ^{dnms} δέ^{c} πρός^{p} αὐτός^{rpamp} φημί^{viix3s} σύ$^{rpn-p}$ λέγω^{vipa2p} ὅτι^{c} ἐγώ$^{rpn-s}$ εἰμί^{vipx1s}. **v.71** ὁ^{dnmp} δέ^{c} λέγω^{viaa3p} τίς^{rqans} ἔτι^{bo} χρεία^{nafs} ἔχω^{vipa1p} μαρτυρία^{ngfs} αὐτός^{rpnmp} γάρ^{c} ἀκούω^{viaa1p} ἀπό^{p} ὁ^{dgns} στόμα^{ngns} αὐτός^{rpgms}. **23. v.1** καί^{c} ἀνίστημι^{vpaanns} ἅπας^{annsn} ὁ^{dnns} πλῆθος^{nnns} αὐτός^{rpgmp} ἄγω^{viaa3s} αὐτός^{rpams} ἐπί^{p} ὁ^{dams} Πιλᾶτος^{nams}. **v.2** ἄρχω^{viad3p} δέ^{c} κατηγορέω^{vnpa} αὐτός^{rpgms} λέγω^{vppanmp} οὗτος^{rdams} εὑρίσκω^{viaa1p} διαστρέφω^{vppaams} ὁ^{dans} ἔθνος^{nans} καί^{c} κωλύω^{vppaams} Καῖσαρ^{ndms} φόρος^{namp} δίδωμι^{vnpa} λέγω^{vppaams} ἑαυτοῦ^{rxams} Χριστός^{nams} βασιλεύς^{nams} εἰμί^{vnpx}. **v.3** ὁ^{dnms} δέ^{c} Πιλᾶτος^{nnms} ἐπερωτάω^{viaa3s} αὐτός^{rpams} λέγω^{vppanms} σύ$^{rpn-s}$ εἰμί^{vipx2s} ὁ^{dnms} βασιλεύς^{nnms} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} ὁ^{dnms} δέ^{c} ἀποκρίνομαι^{vpaonms} αὐτός^{rpdms} φημί^{viix3s} σύ$^{rpn-s}$ λέγω^{vipa2s}. **v.4** ὁ^{dnms} δέ^{c} Πιλᾶτος^{nnms} λέγω^{viaa3s} πρός^{p} ὁ^{damp} ἀρχιερεύς^{namp} καί^{c} ὁ^{damp} ὄχλος^{namp} οὐδείς^{aansn} εὑρίσκω^{vipa1s} αἴτιος^{aansn} ἐν^{p} ὁ^{ddms} ἄνθρωπος^{ndms} οὗτος^{rddms}. **v.5** ὁ^{dnmp} δέ^{c} ἐπισχύω^{viia3p} λέγω^{vppanmp} ὅτι^{c} ἀνασείω^{vipa3s} ὁ^{dams} λαός^{nams} διδάσκω^{vppanms} κατά^{p} ὅλος^{agfsn} ὁ^{dgfs} Ἰουδαία^{ngfs} ἄρχω^{vpamnms} ἀπό^{p} ὁ^{dgfs} Γαλιλαία^{ngfs} ἕως^{c} ὧδε^{bo}.

7 τησεν εἰ ὁ ἄνθρωπος Γαλιλαῖός ἐστι. καὶ ἐπιγνοὺς ὅτι ἐκ τῆς
ἐξουσίας Ἡρῴδου ἐστὶν, ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρῴδην, ὄντα
8 καὶ αὐτὸν ἐν Ἰεροσολύμοις ἐν ταύταις ταῖς ἡμέραις. Ὁ δὲ
Ἡρῴδης ἰδὼν τὸν Ἰησοῦν ἐχάρη λίαν, ἦν γὰρ θέλων ἐξ ἱκανοῦ
ἰδεῖν αὐτόν, διὰ τὸ ἀκούειν πολλὰ περὶ αὐτοῦ, καὶ ἤλπιζέ τι
9 σημεῖον ἰδεῖν ὑπ' αὐτοῦ γινόμενον. ἐπηρώτα δὲ αὐτὸν ἐν λό-
10 γοις ἱκανοῖς, αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ. εἱστήκεισαν
δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, εὐτόνως κατηγοροῦντες αὐ-
11 τοῦ. ἐξουθενήσας δὲ αὐτὸν ὁ Ἡρῴδης σὺν τοῖς στρατεύμασιν
αὐτοῦ, καὶ ἐμπαίξας, περιβαλὼν αὐτὸν ἐσθῆτα λαμπράν, ἀνέ-
12 πεμψεν αὐτὸν τῷ Πιλάτῳ. ἐγένοντο δὲ φίλοι ὅ τε Πιλάτος καὶ
ὁ Ἡρῴδης ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ' ἀλλήλων, προϋπῆρχον γὰρ ἐν
13 ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς. Πιλᾶτος δὲ συγκαλεσάμενος τοὺς
14 ἀρχιερεῖς καὶ τοὺς ἄρχοντας καὶ τὸν λαόν, εἶπε πρὸς αὐτούς,
Προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦτον, ὡς ἀποστρέφοντα τὸν
λαόν, καὶ ἰδού, ἐγὼ ἐνώπιον ὑμῶν ἀνακρίνας οὐδὲν εὗρον ἐν
15 τῷ ἀνθρώπῳ τούτῳ αἴτιον, ὧν κατηγορεῖτε κατ' αὐτοῦ, ἀλλ' οὐ-
δὲ Ἡρῴδης, ἀνέπεμψα γὰρ ὑμᾶς πρὸς αὐτόν, καὶ ἰδού, οὐδὲν,
16 ἄξιον θανάτου ἐστὶ πεπραγμένον αὐτῷ. παιδεύσας οὖν αὐ-
17 τὸν ἀπολύσω. ἀνάγκην δὲ εἶχεν ἀπολύειν αὐτοῖς κατὰ ἑορτὴν

---

v.6 Πιλᾶτος^{nnms} δέ^{c} ἀκούω^{vpaanms} Γαλιλαία^{nafs} ἐπερωτάω^{viaa3s} εἰ^{qo} ὁ^{dnms} ἄνθρωπος^{nnms} Γαλιλαῖος^{nnms} εἰμί^{vipx3s}. **v.7** καί^{c} ἐπιγινώσκω^{vpaanms} ὅτι^{c} ἐκ^{p} ὁ^{dgfs} ἐξουσία^{ngfs} Ἡρῴδης^{ngms} εἰμί^{vipx3s} ἀναπέμπω^{viaa3s} αὐτός^{rpams} πρός^{p} Ἡρῴδης^{nams} εἰμί^{vppxams} καί^{c} αὐτός^{rpams} ἐν^{p} Ἰεροσόλυμα^{ndnp} ἐν^{p} οὗτος^{rddfp} ὁ^{ddfp} ἡμέρα^{ndfp}. **v.8** ὁ^{dnms} δέ^{c} Ἡρῴδης^{nnms} ὁράω^{vpaanms} ὁ^{dams} Ἰησοῦς^{nams} χαίρω^{viao3s} λίαν^{bo} εἰμί^{viix3s} γάρ^{c} θέλω^{vppanms} ἐκ^{p} ἱκανός^{agmsn} ὁράω^{vnaa} αὐτός^{rpams} διά^{p} ὁ^{dans} ἀκούω^{vnpa} πολύς^{aanpn} περί^{p} αὐτός^{rpgms} καί^{c} ἐλπίζω^{viia3s} τι-σριανσ σημεῖον^{nans} ὁράω^{vnaa} ὑπό^{p} αὐτός^{rpgms} γίνομαι^{vppnans}. **v.9** ἐπερωτάω^{viia3s} δέ^{c} αὐτός^{rpams} ἐν^{p} λόγος^{ndmp} ἱκανός^{admpn} αὐτός^{rpnms} δέ^{c} οὐδείς^{aansn} ἀποκρίνομαι^{viad3s} αὐτός^{rpdms}. **v.10** ἵστημι^{viya3p} δέ^{c} ὁ^{dnmp} ἀρχιερεύς^{nnmp} καί^{c} ὁ^{dnmp} γραμματεύς^{nnmp} εὐτόνως^{bo} κατηγορέω^{vppanmp} αὐτός^{rpgms}. **v.11** ἐξουθενέω^{vpaanms} δέ^{c} αὐτός^{rpams} ὁ^{dnms} Ἡρῴδης^{nnms} σύν^{p} ὁ^{ddnp} στράτευμα^{ndnp} αὐτός^{rpgms} καί^{c} ἐμπαίζω^{vpaanms} περιβάλλω^{vpaanms} αὐτός^{rpams} ἐσθής^{nafs} λαμπρός^{aafsn} ἀναπέμπω^{viaa3s} αὐτός^{rpams} ὁ^{ddms} Πιλᾶτος^{ndms}. **v.12** γίνομαι^{viad3p} δέ^{c} φίλος^{annmpn} ὁ^{dnms} τέ^{xo} Πιλᾶτος^{nnms} καί^{c} ὁ^{dnms} Ἡρῴδης^{nnms} ἐν^{p} αὐτός^{rpdfs} ὁ^{ddfs} ἡμέρα^{ndfs} μετά^{p} ἀλλήλων^{regmp} προϋπάρχω^{viia3p} γάρ^{c} ἐν^{p} ἔχθρα^{ndfs} εἰμί^{vppxnmp} πρός^{p} ἑαυτοῦ^{rxamp}. **v.13** Πιλᾶτος^{nnms} δέ^{c} συγκαλέω^{vpamnms} ὁ^{damp} ἀρχιερεύς^{namp} καί^{c} ὁ^{damp} ἄρχων^{namp} καί^{c} ὁ^{dams} λαός^{nams}. **v.14** λέγω^{viaa3s} πρός^{p} αὐτός^{rpamp} προσφέρω^{viaa2p} ἐγώ$^{rpd-s}$ ὁ^{dams} ἄνθρωπος^{nams} οὗτος^{rdams} ὡς^{bo} ἀποστρέφω^{vppaamp} ὁ^{dams} λαός^{nams} καί^{c} ἰδού^{vdaa2s} ἐγώ$^{rpn-s}$ ἐνώπιον^{bo} σύ$^{rpg-p}$ ἀνακρίνω^{vpaanms} οὐδείς^{aansn} εὑρίσκω^{viaa1s} ἐν^{p} ὁ^{ddms} ἄνθρωπος^{ndms} οὗτος^{rddms} αἴτιος^{aansn} ὅς^{rrgnp} κατηγορέω^{vipa2p} κατά^{p} αὐτός^{rpgms}. **v.15** ἀλλά^{c} οὐδέ^{bo} Ἡρῴδης^{nnms} ἀναπέμπω^{viaa1s} γάρ^{c} σύ$^{rpa-p}$ πρός^{p} αὐτός^{rpams} καί^{c} ἰδού^{vdaa2s} οὐδείς^{annsn} ἄξιος^{aannsn} θάνατος^{ngms} εἰμί^{vipx3s} πράσσω^{vpxpnns} αὐτός^{rpdms}. **v.16** παιδεύω^{vpaanms} οὖν^{c} αὐτός^{rpams} ἀπολύω^{vifa1s}.

ἕνα. ἀνέκραξαν δὲ παμπληθεί λέγοντες, Αἶρε τοῦτον, ἀπόλυ- 18
σον δὲ ἡμῖν τὸν Βαραββᾶν, ὅστις ἦν διὰ στάσιν τινὰ γενομένην 19
ἐν τῇ πόλει καὶ φόνον, βεβλημένος εἰς φυλακήν. πάλιν οὖν 20
ὁ Πιλᾶτος προσεφώνησε, θέλων ἀπολῦσαι τὸν Ἰησοῦν. οἱ δὲ 21
ἐπεφώνουν, λέγοντες, Σταύρωσον, σταύρωσον αὐτόν. ὁ δὲ τρί- 22
τον εἶπε πρὸς αὐτούς, Τί γὰρ κακὸν ἐποίησεν οὗτος· οὐδὲν
αἴτιον θανάτου εὗρον ἐν αὐτῷ, παιδεύσας οὖν αὐτὸν ἀπολύσω.
οἱ δὲ ἐπέκειντο φωναῖς μεγάλαις, αἰτούμενοι αὐτὸν σταυρωθῆ- 23
ναι, καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν καὶ τῶν ἀρχιερέων. ὁ δὲ 24
Πιλᾶτος ἐπέκρινε γενέσθαι τὸ αἴτημα αὐτῶν. ἀπέλυσε δὲ αὐ- 25
τοῖς τὸν διὰ στάσιν καὶ φόνον βεβλημένον εἰς τὴν φυλακήν, ὃν
ᾐτοῦντο, τὸν δὲ Ἰησοῦν παρέδωκε τῷ θελήματι αὐτῶν. Καὶ ὡς 26
ἀπήγαγον αὐτόν, ἐπιλαβόμενοι Σίμωνος τινος Κυρηναίου τοῦ
ἐρχομένου ἀπ᾽ ἀγροῦ, ἐπέθηκαν αὐτῷ τὸν σταυρόν, φέρειν ὄπι-
σθεν τοῦ Ἰησοῦ. Ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ, 27
καὶ γυναικῶν αἳ καὶ ἐκόπτοντο καὶ ἐθρήνουν αὐτόν. στρα- 28
φεὶς δὲ πρὸς αὐτὰς ὁ Ἰησοῦς εἶπε, Θυγατέρες Ἰερουσαλήμ, μὴ
κλαίετε ἐπ᾽ ἐμέ, πλὴν ἐφ᾽ ἑαυτὰς κλαίετε καὶ ἐπὶ τὰ τέκνα ὑ-
μῶν. ὅτι ἰδού, ἔρχονται ἡμέραι ἐν αἷς ἐροῦσι, Μακάριαι αἱ 29
στεῖραι, καὶ κοιλίαι αἳ οὐκ ἐγέννησαν, καὶ μαστοὶ οἳ οὐκ ἔθή-

---

v.17 ἀνάγκη^{nafs} δέ^{c} ἔχω^{viia3s} ἀπολύω^{vnpa} αὐτός^{rpdmp} κατά^{p} ἑορτή^{nafs} εἷς^{nams}. **v.18** ἀνακράζω^{viaa3p} δέ^{c} παμπληθεί^{bo} λέγω^{vppanmp} αἴρω^{vdpa2s} οὗτος^{rdams} ἀπολύω^{vdaa2s} δέ^{c} ἐγώ$^{rpd-p}$ ὁ^{dams} Βαραββᾶς^{nams}. **v.19** ὅστις^{rrnms} εἰμί^{viix3s} διά^{p} στάσις^{nafs} τι-σρι-αφσ γίνομαι^{vpadafs} ἐν^{p} ὁ^{ddfs} πόλις^{ndfs} καί^{c} φόνος^{nams} βάλλω^{vpxpnms} εἰς^{p} φυλακή^{nafs}. **v.20** πάλιν^{bo} οὖν^{c} ὁ^{dnms} Πιλᾶτος^{nnms} προσφωνέω^{viaa3s} θέλω^{vppanms} ἀπολύω^{vnaa} ὁ^{dams} Ἰησοῦς^{nams}. **v.21** ὁ^{dnmp} δέ^{c} ἐπιφωνέω^{viia3p} λέγω^{vppanmp} σταυρόω^{vdaa2s} σταυρόω^{vdaa2s} αὐτός^{rpams}. **v.22** ὁ^{dnms} δέ^{c} τρίτος^{aansn} λέγω^{viaa3s} πρός^{p} αὐτός^{rpamp} τίς^{rqans} γάρ^{c} κακός^{aansn} ποιέω^{viaa3s} οὗτος^{rdnms} οὐδείς^{aansn} αἴτιος^{aansn} θάνατος^{ngms} εὑρίσκω^{viaa1s} ἐν^{p} αὐτός^{rpdms} παιδεύω^{vpaanms} οὖν^{c} αὐτός^{rpams} ἀπολύω^{vifa1s}. **v.23** ὁ^{dnmp} δέ^{c} ἐπίκειμαι^{viin3p} φωνή^{ndfp} μέγας^{adfpn} αἰτέω^{vppmnmp} αὐτός^{rpams} σταυρόω^{vnap} καί^{c} κατισχύω^{viia3p} ὁ^{dnfp} φωνή^{nnfp} αὐτός^{rpgmp} καί^{c} ὁ^{dgmp} ἀρχιερεύς^{ngmp}. **v.24** ὁ^{dnms} δέ^{c} Πιλᾶτος^{nnms} ἐπικρίνω^{viaa3s} γίνομαι^{vnad} ὁ^{dnns} αἴτημα^{nnns} αὐτός^{rpgmp}. **v.25** ἀπολύω^{viaa3s} δέ^{c} αὐτός^{rpdmp} ὁ^{dams} διά^{p} στάσις^{nafs} καί^{c} φόνος^{nams} βάλλω^{vpxpams} εἰς^{p} ὁ^{dafs} φυλακή^{nafs} ὅς^{rrams} αἰτέω^{viim3p} ὁ^{dams} δέ^{c} Ἰησοῦς^{nams} παραδίδωμι^{viaa3s} ὁ^{ddns} θέλημα^{ndns} αὐτός^{rpgmp}. **v.26** καί^{c} ὡς^{bo} ἀπάγω^{viaa3p} αὐτός^{rpams} ἐπιλαμβάνομαι^{vpadnmp} Σίμων^{ngms} τίς^{rigms} Κυρηναῖος^{ngms} ὁ^{dgms} ἔρχομαι^{vppngms} ἀπό^{p} ἀγρός^{ngms} ἐπιτίθημι^{viaa3p} αὐτός^{rpdms} ὁ^{dams} σταυρός^{nams} φέρω^{vnpa} ὄπισθεν^{bo} ὁ^{dgms} Ἰησοῦς^{ngms}. **v.27** ἀκολουθέω^{viia3s} δέ^{c} αὐτός^{rpdms} πολύς^{annsn} πλῆθος^{nnns} ὁ^{dgms} λαός^{ngms} καί^{c} γυνή^{ngfp} ὅς^{rrnfp} καί^{c} κόπτω^{viim3p} καί^{c} θρηνέω^{viia3p} αὐτός^{rpams}. **v.28** στρέφω^{vpapnms} δέ^{c} πρός^{p} αὐτός^{rpafp} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} θυγάτηρ^{nvfp} Ἰερουσαλήμ^{tp} μή^{xo} κλαίω^{vdpa2p} ἐπί^{p} ἐγώ$^{rpa-s}$ πλήν^{bo} ἐπί^{p} ἑαυτοῦ^{rxafp} κλαίω^{vdpa2p} καί^{c} ἐπί^{p} ὁ^{danp} τέκνον^{nanp} σύ$^{rpg-p}$.

30 λασαν. τότε ἄρξονται λέγειν τοῖς ὄρεσι, Πέσετε ἐφ᾽ ἡμᾶς, καὶ
31 τοῖς βουνοῖς, Καλύψατε ἡμᾶς. ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα
32 ποιοῦσιν, ἐν τῷ ξηρῷ τί γένηται· Ἤγοντο δὲ καὶ ἕτεροι δύο
33 κακοῦργοι σὺν αὐτῷ ἀναιρεθῆναι. Καὶ ὅτε ἀπῆλθον ἐπὶ τὸν
τόπον τὸν καλούμενον Κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτόν, καὶ
34 τοὺς κακούργους, ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν. ὁ δὲ
Ἰησοῦς ἔλεγε, Πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσι.
35 διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ, ἔβαλον κλῆρον. καὶ εἱ-
στήκει ὁ λαὸς θεωρῶν. ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν
αὐτοῖς, λέγοντες, Ἄλλους ἔσωσε, σωσάτω ἑαυτόν, εἰ οὗτός ἐστιν
36 ὁ Χριστός, ὁ τοῦ Θεοῦ ἐκλεκτός. ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ
37 στρατιῶται, προσερχόμενοι καὶ ὄξος προσφέροντες αὐτῷ, καὶ
λέγοντες, Εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν.
38 ἦν δὲ καὶ ἐπιγραφὴ γεγραμμένη ἐπ᾽ αὐτῷ γράμμασιν Ἑλληνι-
κοῖς καὶ Ρωμαϊκοῖς καὶ Ἑβραϊκοῖς, Οὗτός ἐστιν ὁ βασιλεὺς τῶν
39 Ἰουδαίων. Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει
40 αὐτόν, λέγων, Εἰ σὺ εἶ ὁ Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς. ἀ-
ποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα αὐτῷ, λέγων, Οὐδὲ φοβῇ σὺ τὸν
41 Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ· καὶ ἡμεῖς μὲν δικαίως, ἄξια
γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν, οὗτος δὲ οὐδὲν ἄτοπον ἔ-

---

v.29 ὅτι^{c} ἰδού^{vdaa2s} ἔρχομαι^{vipn3p} ἡμέρα^{nnfp} ἐν^{p} ὅς^{rrdfp} λέγω^{vifa3p} μακάριος^{anfpn} ὁ^{dnfp} στεῖρα^{nnfp} καί^{c} κοιλία^{nnfp} ὁ^{rrnfp} οὐ^{xo} γεννάω^{viaa3p} καί^{c} μαστός^{nnmp} ὅς^{rrnmp} οὐ^{xo} θηλάζω^{viaa3p}. **v.30** τότε^{bo} ἄρχω^{vifm3p} λέγω^{vnpa} ὁ^{ddnp} ὄρος^{ndnp} πίπτω^{vdaa2p} ἐπί^{p} ἐγώ$^{rpa-p}$ καί^{c} ὁ^{ddmp} βουνός^{ndmp} καλύπτω^{vdaa2p} ἐγώ$^{rpa-p}$. **v.31** ὅτι^{c} εἰ^{qo} ἐν^{p} ὁ^{ddns} ὑγρός^{adnsn} ξύλον^{ndns} οὗτος^{rdanp} ποιέω^{vipa3p} ἐν^{p} ὁ^{ddns} ξηρός^{adnsn} τίς^{rqnns} γίνομαι^{vsad3s}. **v.32** ἄγω^{viip3p} δέ^{c} καί^{c} ἕτερος^{anmpn} δύο^{tn} κακοῦργος^{anmpn} σύν^{p} αὐτός^{rpdms} ἀναιρέω^{vnap}. **v.33** καί^{c} ὅτε^{bo} ἀπέρχομαι^{viaa3p} ἐπί^{p} ὁ^{dams} τόπος^{nams} ὁ^{dams} καλέω^{vpppams} κρανίον^{nans} ἐκεῖ^{bo} σταυρόω^{viaa3p} αὐτός^{rpams} καί^{c} ὁ^{damp} κακοῦργος^{aampn} ὅς^{rrams} μέν^{xo} ἐκ^{p} δεξιός^{agmpn} ὅς^{rrams} δέ^{c} ἐκ^{p} ἀριστερός^{agmpn}. **v.34** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} λέγω^{viia3s} πατήρ^{nvms} ἀφίημι^{vdaa2s} αὐτός^{rpdmp} οὐ^{xo} γάρ^{c} οἶδα^{vixa3p} τίς^{rqans} ποιέω^{vipa3p} διαμερίζω^{vppmnmp} δέ^{c} ὁ^{danp} ἱμάτιον^{nanp} αὐτός^{rpgms} βάλλω^{viaa3p} κλῆρος^{nams}. **v.35** καί^{c} ἵστημι^{viya3s} ὁ^{dnms} λαός^{nnms} θεωρέω^{vppanms} ἐκμυκτηρίζω^{viia3p} δέ^{c} καί^{c} ὁ^{dnmp} ἄρχων^{nnmp} σύν^{p} αὐτός^{rpdmp} λέγω^{vppanmp} ἄλλος^{aampn} σῴζω^{viaa3s} σῴζω^{vdaa3s} ἑαυτοῦ^{rxams} εἰ^{qo} οὗτος^{rdnms} εἰμί^{vipx3s} ὁ^{dnms} Χριστός^{nnms} ὁ^{dnms} ὁ^{dgms} θεός^{ngms} ἐκλεκτός^{anmsn}. **v.36** ἐμπαίζω^{viia3p} δέ^{c} αὐτός^{rpdms} καί^{c} ὁ^{dnmp} στρατιώτης^{nnmp} προσέρχομαι^{vppnnmp} καί^{c} ὄξος^{nans} προσφέρω^{vppanmp} αὐτός^{rpdms}. **v.37** καί^{c} λέγω^{vppanmp} εἰ^{qo} σύ$^{rpn-s}$ εἰμί^{vipx2s} ὁ^{dnms} βασιλεύς^{nnms} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} σῴζω^{vdaa2s} σεαυτοῦ^{rxams}. **v.38** εἰμί^{viix3s} δέ^{c} καί^{c} ἐπιγραφή^{nnfs} γράφω^{vpxpnfs} ἐπί^{p} αὐτός^{rpdms} γράμμα^{ndnp} Ἑλληνικός^{adnpn} καί^{c} Ῥωμαϊκός^{adnpn} καί^{c} Ἑβραϊκός^{adnpn} οὗτος^{rdnms} εἰμί^{vipx3s} ὁ^{dnms} βασιλεύς^{nnms} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn}. **v.39** εἷς^{nnms} δέ^{c} ὁ^{dgmp} κρεμάννυμι^{vpapgmp} κακοῦργος^{agmpn} βλασφημέω^{viia3s} αὐτός^{rpams} λέγω^{vppanms} εἰμί^{qo} σύ$^{rpn-s}$ εἰμί^{vipx2s} ὁ^{dnms} Χριστός^{nnms} σῴζω^{vdaa2s} σεαυτοῦ^{rxams} καί^{c} ἐγώ$^{rpa-p}$. **v.40** ἀποκρίνομαι^{vpaonms} δέ^{c} ὁ^{dnms} ἕτερος^{anmsn} ἐπιτιμάω^{viia3s} αὐτός^{rpdms} λέγω^{vppanms} οὐδέ^{bo} φοβέομαι^{vipn2s} σύ$^{rpn-s}$ ὁ^{dams} θεός^{nams} ὅτι^{c} ἐν^{p} ὁ^{ddns} αὐτός^{rpdns} κρίμα^{ndns} εἰμί^{vipx2s}.

πραξε. καὶ ἔλεγε τῷ Ἰησοῦ, Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς 42
ἔν τῃ˜. βασιλείᾳ σου. καὶ εἶπεν αὐτῷ, ὁ Ἰησοῦς, Ἀμὴν λέγω 43
σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. Ἦν δὲ ὡσεὶ ὥρα 44
ἕκτη, καὶ σκότος ἐγένετο ἐφ ὅλην τὴν γῆν ἕως ὥρας ἐννάτης.
καὶ ἐσκοτίσθη ὁ ἥλιος, καί ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ 45
μέσον. καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς εἶπε, Πάτερ, εἰς 46
χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου, καὶ ταῦτα εἰπὼν ἐξέ-
πνευσεν. ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γενόμενον, ἐδόξασεν τὸν 47
Θεόν, λέγων, Ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν. καὶ πάντες 48
οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωροῦν-
τες τὰ γενόμενα, τύπτοντες ἑαυτῶν τὰ στήθη ὑπέστρεφον. εἱ- 49
στήκεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ μακρόθεν, καὶ γυναῖκες
αἱ συνακολουθήσασαι αὐτῷ ἀπὸ τῆς Γαλιλαίας, ὁρῶσαι ταῦτα.
Καὶ ἰδού, ἀνὴρ ὀνόματι Ἰωσήφ, βουλευτὴς ὑπάρχων, ἀνὴρ ἀ- 50
γαθὸς καὶ δίκαιος. οὗτος οὐκ ἦν συγκατατεθειμένος τῇ βουλῇ 51
καὶ τῇ πράξει αὐτῶν, ἀπὸ Ἁριμαθαίας πόλεως τῶν Ἰουδαίων,
ὃς καὶ προσεδέχετο καὶ αὐτὸς τὴν βασιλείαν τοῦ Θεοῦ, οὗτος 52
προσελθὼν τῷ Πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. καὶ καθε- 53
λὼν αὐτὸ ἐνετύλιξεν αὐτὸ σινδόνι, καὶ ἔθηκεν αὐτὸ ἐν μνήματι

---

v.41 καί^{c} ἐγώ$^{rpn\text{-}p}$ μέν^{xo} δικαίως^{bo} ἄξιος^{aanpn} γάρ^{c} ὅς^{rrgnp} πράσσω^{viaa1p} ἀπολαμβάνω^{vipa1p} οὗτος^{rdnms} δέ^{c} οὐδείς^{aansn} ἄτοπος^{aansn} πράσσω^{viaa3s}. **v.42** καί^{c} λέγω^{viia3s} ὁ^{ddms} Ἰησοῦς^{ndms} μιμνήσκομαι^{vdap2s} ἐγώ$^{rpg\text{-}s}$ κύριος^{nvms} ὅταν^{c} ἔρχομαι^{vsaa2s} ἐν^{p} ὁ^{ddfs} βασιλεία^{ndfs} σύ$^{rpg\text{-}s}$. **v.43** καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd\text{-}s}$ σήμερον^{bo} μετά^{p} ἐγώ$^{rpg\text{-}s}$ εἰμί^{vifx2s} ἐν^{p} ὁ^{ddms} παράδεισος^{ndms}. **v.44** εἰμί^{viix3s} δέ^{c} ὡσεί^{bo} ὥρα^{nnfs} ἕκτος^{anfsn} καί^{c} σκότος^{nnns} γίνομαι^{viad3s} ἐπί^{p} ὅλος^{aafsn} ὁ^{dafs} γῆ^{nafs} ἕως^{c} ὥρα^{ngfs} ἔνατος^{agfsn}. **v.45** καί^{c} σκοτίζω^{viap3s} ὁ^{dnms} ἥλιος^{nnms} καί^{c} σχίζω^{viap3s} ὁ^{dnns} καταπέτασμα^{nnns} ὁ^{dgms} ναός^{ngms} μέσος^{aansn}. **v.46** καί^{c} φωνέω^{vpaanms} φωνή^{ndfs} μέγας^{adfsn} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} πατήρ^{nvms} εἰς^{p} χείρ^{nafp} σύ$^{rpg\text{-}s}$ παρατίθημι^{vifd1s} ὁ^{dans} πνεῦμα^{nans} ἐγώ$^{rpg\text{-}s}$ καί^{c} οὗτος^{rdanp} λέγω^{vpaanms} ἐκπνέω^{viaa3s}. **v.47** ὁράω^{vpaanms} δέ^{c} ὁ^{dnms} ἑκατοντάρχης^{nnms} ὁ^{dans} γίνομαι^{vpadans} δοξάζω^{viaa3s} ὁ^{dams} θεός^{nams} λέγω^{vppanms} ὄντως^{bo} ὁ^{dnms} ἄνθρωπος^{nnms} οὗτος^{rdnms} δίκαιος^{anmsn} εἰμί^{viix3s}. **v.48** καί^{c} πᾶς^{anmpn} ὁ^{dnmp} συμπαραγίνομαι^{vpadnmp} ὄχλος^{nnmp} ἐπί^{p} ὁ^{dafs} θεωρία^{nafs} οὗτος^{rdafs} θεωρέω^{vppanmp} ὁ^{danp} γίνομαι^{vpadanp} τύπτω^{vppanmp} ἑαυτοῦ^{rxgmp} ὁ^{danp} στῆθος^{nanp} ὑποστρέφω^{viia3p}. **v.49** ἵστημι^{viya3p} δέ^{c} πᾶς^{anmpn} ὁ^{dnmp} γνωστός^{anmpn} αὐτός^{rpgms} μακρόθεν^{bo} καί^{c} γυνή^{nnfp} ὁ^{dnfp} συνακολουθέω^{vpaanfp} αὐτός^{rpdms} ἀπό^{p} ὁ^{dgfs} Γαλιλαία^{ngfs} ὁράω^{vppanfp} οὗτος^{rdanp}. **v.50** καί^{c} ἰδού^{vdaa2s} ἀνήρ^{nnms} ὄνομα^{ndns} Ἰωσήφ^{tp} βουλευτής^{nnms} ὑπάρχω^{vppanms} ἀνήρ^{nnms} ἀγαθός^{anmsn} καί^{c} δίκαιος^{anmsn}. **v.51** οὗτος^{rdnms} οὐ^{xo} εἰμί^{viix3s} συγκατατίθεμαι^{vpxnnms} ὁ^{ddfs} βουλή^{ndfs} καί^{c} ὁ^{ddfs} πρᾶξις^{ndfs} αὐτός^{rpgmp} ἀπό^{p} Ἁριμαθαία^{ngfs} πόλις^{ngfs} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} ὅς^{rrnms} καί^{c} προσδέχομαι^{viin3s} καί^{c} αὐτός^{rpnms} ὁ^{dafs} βασιλεία^{nafs} ὁ^{dgms} θεός^{ngms}. **v.52** οὗτος^{rdnms} προσέρχομαι^{vpaanms} ὁ^{ddms} Πιλᾶτος^{ndms} αἰτέω^{viam3s} ὁ^{dans} σῶμα^{nans} ὁ^{dgms} Ἰησοῦς^{ngms}.

54 λαξευτῷ, οὗ οὐκ ἦν οὐδέπω οὐδεὶς κείμενος. καὶ ἡμέρα ἦν
55 Παρασκευή, καὶ σάββατον ἐπέφωσκε. κατακολουθήσασαι δὲ
καὶ γυναῖκες, αἵτινες ἦσαν συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς Γαλι-
λαίας, ἐθεάσαντο τὸ μνημεῖον, καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ.
56 ὑποστρέψασαι δὲ ἡτοίμασαν ἀρώματα καὶ μύρα. Καὶ τὸ μὲν
σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν.

24 τῇ δὲ μιᾷ τῶν σαββάτων, ὄρθρου βαθέος, ἦλθον ἐπὶ τὸ μνῆμα,
2 φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα, καί τινες σὺν αὐταῖς. εὗρον
3 δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου. καὶ εἰσελ-
4 θοῦσαι οὐχ εὗρον τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ. καὶ ἐγένετο
ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τούτου, καὶ ἰδού, δύο ἄνδρες
5 ἐπέστησαν αὐταῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις, ἐμφόβων δὲ
γενομένων αὐτῶν, καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν γῆν, εἶ-
6 πον πρὸς αὐτάς, Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν· οὐκ
ἔστιν ὧδε, ἀλλ᾽ ἠγέρθη, μνήσθητε ὡς ἐλάλησεν ὑμῖν, ἔτι ὢν ἐν
7 τῇ Γαλιλαίᾳ, λέγων, ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆ-
ναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆναι, καὶ τῇ
8 τρίτῃ ἡμέρᾳ ἀναστῆναι. καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ,
9 καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου, ἀπήγγειλαν ταῦτα πάντα
10 τοῖς ἕνδεκα καὶ πᾶσι τοῖς λοιποῖς. ἦσαν δὲ ἡ Μαγδαληνὴ Μα-
ρία καὶ Ἰωάννα καὶ Μαρία Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν αὐταῖς,

---

v.53 καί^{c} καθαιρέω^{vpaanms} αὐτός^{rpans} ἐντυλίσσω^{viaa3s} αὐτός^{rpans} σινδών^{ndfs} καί^{c} τίθημι^{viaa3s} αὐτός^{rpans} ἐν^{p} μνῆμα^{ndns} λαξευτός^{adnsn} ὅς^{rrgns} οὐ^{xo} εἰμί^{viix3s} οὐδέπω^{bo} οὐδείς^{anfsn} κεῖμαι^{vppnnms}. **v.54** καί^{c} ἡμέρα^{nnfs} εἰμί^{viix3s} παρασκευή^{nnfs} καί^{c} σάββατον^{nnns} ἐπιφώσκω^{viia3s}. **v.55** κατακολουθέω^{vpaanfp} δέ^{c} καί^{c} γυνή^{nnfp} ὅστις^{rrnfp} εἰμί^{viix3p} συνέρχομαι^{vpxanfp} αὐτός^{rpdms} ἐκ^{p} ὁ^{dgfs} Γαλιλαία^{ngfs} θεάομαι^{viad3p} ὁ^{dans} μνημεῖον^{nans} καί^{c} ὡς^{bo} τίθημι^{viap3s} ὁ^{dnns} σῶμα^{nnns} αὐτός^{rpgms}. **v.56** ὑποστρέφω^{vpaanfp} δέ^{c} ἑτοιμάζω^{viaa3p} ἄρωμα^{nanp} καί^{c} μύρον^{nanp} καί^{c} ὁ^{dans} μέν^{xo} σάββατον^{nans} ἡσυχάζω^{viaa3p} κατά^{p} ὁ^{dafs} ἐντολή^{nafs}. **24. v.1** ὁ^{ddfs} δέ^{c} εἷς^{ndfs} ὁ^{dgnp} σάββατον^{ngnp} ὄρθρος^{ngms} βαθύς^{agmsn} ἔρχομαι^{viaa3p} ἐπί^{p} ὁ^{dans} μνῆμα^{nans} φέρω^{vppanfp} ὅς^{rranp} ἑτοιμάζω^{viaa3p} ἄρωμα^{nanp} καί^{c} τίς^{rinfp} σύν^{p} αὐτός^{rpdfp}. **v.2** εὑρίσκω^{viaa3p} δέ^{c} ὁ^{dams} λίθος^{nams} ἀποκυλίω^{vpxpams} ἀπό^{p} ὁ^{dgns} μνημεῖον^{ngns}. **v.3** καί^{c} εἰσέρχομαι^{vpaanfp} οὐ^{xo} εὑρίσκω^{viaa3p} ὁ^{dans} σῶμα^{nans} ὁ^{dgms} κύριος^{ngms} Ἰησοῦς^{ngms}. **v.4** καί^{c} γίνομαι^{viad3s} ἐν^{p} ὁ^{ddms} διαπορέω^{vnpp} αὐτός^{rpafp} περί^{p} οὗτος^{rdgns} καί^{c} ἰδού^{vdaa2s} δύο^{tn} ἀνήρ^{nnmp} ἐφίστημι^{viaa3p} αὐτός^{rpdfp} ἐν^{p} ἐσθής^{ndfp} ἀστράπτω^{vppadfp}. **v.5** ἔμφοβος^{agmpn} δέ^{c} γίνομαι^{vpadgfp} αὐτός^{rpgfp} καί^{c} κλίνω^{vppagfp} ὁ^{dans} πρόσωπον^{nans} εἰς^{p} ὁ^{dafs} γῆ^{nafs} λέγω^{viaa3p} πρός^{p} αὐτός^{rpafp} τίς^{rqans} ζητέω^{vipa2p} ὁ^{dams} ζάω^{vppaams} μετά^{p} ὁ^{dgmp} νεκρός^{agmpn}. **v.6** οὐ^{xo} εἰμί^{vipx3s} ὧδε^{bo} ἀλλά^{c} ἐγείρω^{viap3s} μιμνήσκομαι^{vdap2p} ὡς^{bo} λαλέω^{viaa3s} σύ$^{rpd-p}$ ἔτι^{bo} εἰμί^{vppxnms} ἐν^{p} ὁ^{ddfs} Γαλιλαία^{ndfs}. **v.7** λέγω^{vppanms} ὅτι^{c} δεῖ^{vipq3s} ὁ^{dams} υἱός^{nams} ὁ^{dgms} ἄνθρωπος^{ngms} παραδίδωμι^{vnap} εἰς^{p} χείρ^{nafp} ἄνθρωπος^{ngmp} ἁμαρτωλός^{agmpn} καί^{c} σταυρόω^{vnap} καί^{c} ὁ^{ddfs} τρίτος^{adfsn} ἡμέρα^{ndfs} ἀνίστημι^{vnaa}. **v.8** καί^{c} μιμνήσκομαι^{viap3p} ὁ^{dgnp} ῥῆμα^{ngnp} αὐτός^{rpgms}. **v.9** καί^{c} ὑποστρέφω^{vpaanfp} ἀπό^{p} ὁ^{dgns} μνημεῖον^{ngns} ἀπαγγέλλω^{viaa3p} οὗτος^{rdanp} πᾶς^{aanpn} ὁ^{ddmp} ἕνδεκα^{tn} καί^{c} πᾶς^{admpn} ὁ^{ddmp} λοιπός^{admpn}.

αἵ ἔλεγον πρὸς τοὺς ἀποστόλους ταῦτα. καὶ ἐφάνησαν ἐνώ- 11
πιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς.
ὁ δὲ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας 12
βλέπει τὰ ὀθόνια κείμενα μόνα, καὶ ἀπῆλθε, πρὸς ἑαυτὸν θαυ-
μάζων τὸ γεγονός. Καὶ ἰδού, δύο ἐξ αὐτῶν ἦσαν πορευόμενοι 13
ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς κώμην ἀπέχουσαν σταδίους ἑξήκοντα ἀ-
πὸ Ἰερουσαλήμ, ᾗ ὄνομα Ἐμμαούς. καὶ αὐτοὶ ὡμίλουν πρὸς 14
ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων. καὶ ἐγέ- 15
νετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν, καὶ αὐτὸς ὁ Ἰησοῦς
ἐγγίσας συνεπορεύετο αὐτοῖς. οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρα- 16
τοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν. εἶπε δὲ πρὸς αὐτούς, Τίνες 17
οἱ λόγοι οὗτοι οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες,
καὶ ἐστὲ σκυθρωποί· ἀποκριθεὶς δὲ ὁ εἷς ᾧ ὄνομα Κλεόπας, 18
εἶπε πρὸς αὐτόν, Σὺ μόνος παροικεῖς ἐν Ἰερουσαλήμ, καὶ οὐκ
ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις· καὶ εἶ- 19
πεν αὐτοῖς, Ποῖα· οἱ δὲ εἶπον αὐτῷ, Τὰ περὶ Ἰησοῦ τοῦ Ναζω-
ραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ
ἐναντίον τοῦ Θεοῦ καὶ παντὸς τοῦ λαοῦ, ὅπως τε παρέδωκαν 20
αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρίμα θανάτου,
καὶ ἐσταύρωσαν αὐτόν. ἡμεῖς δὲ ἠλπίζομεν ὅτι αὐτός ἐστιν ὁ 21

---

v.10 εἰμί^{viix3p} δέ^{c} ὁ^{dnfs} Μαγδαληνή^{nnfs} Μαρία^{nnfs} καί^{c} Ἰωάννα^{nnfs} καί^{c} Μαρία^{nnfs} Ἰάκωβος^{ngms} καί^{c} ὁ^{dnfp} λοιπός^{anfpn} σύν^{p} αὐτός^{rpdfp} ὅς^{rrnfp} λέγω^{viia3p} πρός^{p} ὁ^{damp} ἀπόστολος^{namp} οὗτος^{rdanp}. **v.11** καί^{c} φαίνω^{viap3p} ἐνώπιον^{bo} αὐτός^{rpgmp} ὡσεί^{bo} λῆρος^{nnms} ὁ^{dnnp} ῥῆμα^{nnnp} αὐτός^{rpgfp} καί^{c} ἀπιστέω^{viia3p} αὐτός^{rpdfp}. **v.12** ὁ^{dnms} δέ^{c} Πέτρος^{nnms} ἀνίστημι^{vpaanms} τρέχω^{viaa3s} ἐπί^{p} ὁ^{dans} μνημεῖον^{nans} καί^{c} παρακύπτω^{vpaanms} βλέπω^{vipa3s} ὁ^{danp} ὀθόνιον^{nanp} κεῖμαι^{vppnanp} μόνος^{aanpn} καί^{c} ἀπέρχομαι^{viaa3s} πρός^{p} ἑαυτοῦ^{rxams} θαυμάζω^{vppanms} ὁ^{dans} γίνομαι^{vpxaans}. **v.13** καί^{c} ἰδού^{vdaa2s} δύο^{tn} ἐκ^{p} αὐτός^{rpgmp} εἰμί^{viix3p} πορεύομαι^{vppnnmp} ἐν^{p} αὐτός^{rpdfs} ὁ^{ddfs} ἡμέρα^{ndfs} εἰς^{p} κώμη^{nafs} ἀπέχω^{vppaafs} στάδιος^{nanp} ἑξήκοντα^{tn} ἀπό^{p} Ἰερουσαλήμ^{tp} ὅς^{rrdfs} ὄνομα^{nnns} Ἐμμαούς^{tp}. **v.14** καί^{c} αὐτός^{rpnmp} ὁμιλέω^{viia3p} πρός^{p} ἀλλήλων^{reamp} περί^{p} πᾶς^{agnpn} ὁ^{dgnp} συμβαίνω^{vpxagnp} οὗτος^{rdgnp}. **v.15** καί^{c} γίνομαι^{viad3s} ἐν^{p} ὁ^{ddms} ὁμιλέω^{vnpa} αὐτός^{rpamp} καί^{c} συζητέω^{vnpa} καί^{c} αὐτός^{rpnms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἐγγίζω^{vpaanms} συμπορεύομαι^{viin3s} αὐτός^{rpdmp}. **v.16** ὁ^{dnmp} δέ^{c} ὀφθαλμός^{nnmp} αὐτός^{rpgmp} κρατέω^{viip3p} ὁ^{dgms} μή^{xo} ἐπιγινώσκω^{vnaa} αὐτός^{rpams}. **v.17** λέγω^{viaa3s} δέ^{c} πρός^{p} αὐτός^{rpamp} τίς^{rqnmp} ὁ^{dnmp} λόγος^{nnmp} οὗτος^{rdnmp} ὅς^{rramp} ἀντιβάλλω^{vipa2p} πρός^{p} ἀλλήλων^{reamp} περιπατέω^{vppanmp} καί^{c} εἰμί^{vipx2p} σκυθρωπός^{anmpn}. **v.18** ἀποκρίνομαι^{vpaonms} δέ^{c} ὁ^{dnms} εἷς^{nnms} ὅς^{rrdms} ὄνομα^{nnns} Κλεοπᾶς^{nnms} λέγω^{viaa3s} πρός^{p} αὐτός^{rpams} σύ$^{rpn-s}$ μόνος^{anmsn} παροικέω^{vipa2s} ἐν^{p} Ἰερουσαλήμ^{tp} καί^{c} οὐ^{xo} γινώσκω^{viaa2s} ὁ^{danp} γίνομαι^{vpadanp} ἐν^{p} αὐτός^{rpdfs} ἐν^{p} ὁ^{ddfp} ἡμέρα^{ndfp} οὗτος^{rddfp}. **v.19** καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdmp} ποῖος^{rqnfs} ὁ^{dnmp} δέ^{c} λέγω^{viaa3p} αὐτός^{rpdms} ὁ^{danp} περί^{p} Ἰησοῦς^{ngms} ὁ^{dgms} Ναζωραῖος^{ngms} ὅς^{rrnms} γίνομαι^{viad3s} ἀνήρ^{nnms} προφήτης^{nnms} δυνατός^{anmsn} ἐν^{p} ἔργον^{ndns} καί^{c} λόγος^{ndms} ἐναντίον^{bo} ὁ^{dgms} θεός^{ngms} καί^{c} πᾶς^{agmsn} ὁ^{dgms} λαός^{ngms}. **v.20** ὅπως^{bo} τέ^{xo} παραδίδωμι^{viaa3p} αὐτός^{rpams} ὁ^{dnmp} ἀρχιερεύς^{nnmp} καί^{c} ὁ^{dnmp} ἄρχων^{nnmp} ἐγώ$^{rpg-p}$ εἰς^{p} κρίμα^{nans} θάνατος^{ngms} καί^{c} σταυρόω^{viaa3p} αὐτός^{rpams}.

μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ. ἀλλά γε σὺν πᾶσι τούτοις τρί-
22 την ταύτην ἡμέραν ἄγει σήμερον ἀφ᾽ οὗ ταῦτα ἐγένετο. ἀλλὰ
καὶ γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενόμεναι ὀρθρι-
23 αὶ ἐπὶ τὸ μνημεῖον, καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ, ἦλθον
λέγουσαι καὶ ὀπτασίαν ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐ-
24 τὸν ζῆν. καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον,
καὶ εὗρον οὕτω καθὼς καὶ αἱ γυναῖκες εἶπον, αὐτὸν δὲ οὐκ
25 εἶδον. καὶ αὐτὸς εἶπε πρὸς αὐτούς, Ὦ ἀνόητοι καὶ βραδεῖς
τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν οἷς ἐλάλησαν οἱ προφῆται,
26 οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστόν, καὶ εἰσελθεῖν εἰς τὴν δό-
27 ξαν αὐτοῦ· καὶ ἀρξάμενος ἀπὸ Μωσέως καὶ ἀπὸ πάντων τῶν
προφητῶν, διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς γραφαῖς τὰ περὶ
28 ἑαυτοῦ. καὶ ἤγγισαν εἰς τὴν κώμην οὗ ἐπορεύοντο, καὶ αὐ-
29 τὸς προσεποιεῖτο πορρωτέρω πορεύεσθαι. καὶ παρεβιάσαντο
αὐτόν, λέγοντες, Μεῖνον μεθ᾽ ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστί, καὶ
30 κέκλικεν ἡ ἡμέρα. καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς. καὶ
ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ᾽ αὐτῶν, λαβὼν τὸν ἄρτον
31 εὐλόγησε, καὶ κλάσας ἐπεδίδου αὐτοῖς. αὐτῶν δὲ διηνοίχθη-
σαν οἱ ὀφθαλμοί, καὶ ἐπέγνωσαν αὐτόν, καὶ αὐτὸς ἄφαντος
32 ἐγένετο ἀπ᾽ αὐτῶν. καὶ εἶπον πρὸς ἀλλήλους, Οὐχὶ ἡ καρδία
ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ ὡς

---

45 τὸν πέμψαντά με, καὶ ὁ θεωρῶν ἐμέ, θεωρεῖ τὸν πέμψαντά με.
46 ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμέ,
47 ἐν τῇ σκοτίᾳ μὴ μείνῃ. καὶ ἐάν τις μου ἀκούσῃ τῶν ῥημάτων
καὶ μὴ πιστεύσῃ, ἐγὼ οὐ κρίνω αὐτόν, οὐ γὰρ ἦλθον ἵνα κρίνω
48 τὸν κόσμον, ἀλλ᾽ ἵνα σώσω τὸν κόσμον. ὁ ἀθετῶν ἐμὲ καὶ μὴ
λαμβάνων τὰ ῥήματά μου, ἔχει τὸν κρίνοντα αὐτόν, ὁ λόγος ὃν
49 ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. ὅτι ἐγὼ
ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα, ἀλλ᾽ ὁ πέμψας με πατήρ, αὐτός μοι
50 ἐντολὴν ἔδωκε, τί εἴπω καὶ τί λαλήσω. καὶ οἶδα ὅτι ἡ ἐντολὴ
αὐτοῦ ζωὴ αἰώνιός ἐστιν, ἃ οὖν λαλῶ ἐγώ, καθὼς εἴρηκέ μοι ὁ
πατήρ, οὕτω λαλῶ.

13 Πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα, εἰδὼς ὁ Ἰησοῦς ὅτι ἐλήλυ-
θεν αὐτοῦ ἡ ὥρα ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν
πατέρα, ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ, εἰς τέλος ἠ-
2 γάπησεν αὐτούς. καὶ δείπνου γενομένου, τοῦ διαβόλου ἤδη
βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα Σίμωνος Ἰσκαριώτου ἵνα αὐ-
3 τὸν παραδῷ, εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα δέδωκεν αὐτῷ ὁ πατὴρ
εἰς τὰς χεῖρας, καὶ ὅτι ἀπὸ Θεοῦ ἐξῆλθε καὶ πρὸς τὸν Θεὸν ὑπά-
4 γει, ἐγείρεται ἐκ τοῦ δείπνου, καὶ τίθησι τὰ ἱμάτια, καὶ λαβὼν
5 λέντιον διέζωσεν ἑαυτόν. εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα, καὶ

---

v.44 Ἰησοῦς^{nnms} δέ^{c} κράζω^{viaa3s} καί^{c} λέγω^{viaa3s} ὁ^{dnms} πιστεύω^{vppanms} εἰς^{p} ἐγώ$^{rpa\text{-}s}$ οὐ^{xo} πιστεύω^{vipa3s} εἰς^{p} ἐγώ$^{rpa\text{-}s}$ ἀλλά^{c} εἰς^{p} ὁ^{dams} πέμπω^{vpaaams} ἐγώ$^{rpa\text{-}s}$. **v.45** καί^{c} ὁ^{dnms} θεωρέω^{vppanms} ἐγώ$^{rpa\text{-}s}$ θεωρέω^{vipa3s} ὁ^{dams} πέμπω^{vpaaams} ἐγώ$^{rpa\text{-}s}$. **v.46** ἐγώ$^{rpn\text{-}s}$ φῶς^{nans} εἰς^{p} ὁ^{dams} κόσμος^{nams} ἔρχομαι^{vixa1s} ἵνα^{c} πᾶς^{anmsn} ὁ^{dnms} πιστεύω^{vppanms} εἰς^{p} ἐγώ$^{rpa\text{-}s}$ ἐν^{p} ὁ^{ddfs} σκοτία^{ndfs} μή^{xo} μένω^{vsaa3s}. **v.47** καί^{c} ἐάν^{qo} τίς^{rinms} ἐγώ$^{rpg\text{-}s}$ ἀκούω^{vsaa3s} ὁ^{dgnp} ῥῆμα^{ngnp} καί^{c} μή^{xo} πιστεύω^{vsaa3s} ἐγώ$^{rpn\text{-}s}$ οὐ^{xo} κρίνω^{vifa1s} αὐτός^{rpams} οὐ^{xo} γάρ^{c} ἔρχομαι^{viaa1s} ἵνα^{c} κρίνω^{vspa1s} ὁ^{dams} κόσμος^{nams} ἀλλά^{c} ἵνα^{c} σῴζω^{vsaa1s} ὁ^{dams} κόσμος^{nams}. **v.48** ὁ^{dnms} ἀθετέω^{vppanms} ἐγώ$^{rpa\text{-}s}$ καί^{c} μή^{xo} λαμβάνω^{vppanms} ὁ^{danp} ῥῆμα^{nanp} ἐγώ$^{rpg\text{-}s}$ ἔχω^{vipa3s} ὁ^{dams} κρίνω^{vppaams} αὐτός^{rpams} ὁ^{dnms} λόγος^{nnms} ὅς^{rrams} λαλέω^{viaa1s} ἐκεῖνος^{rdnms} κρίνω^{vifa3s} αὐτός^{rpams} ἐν^{p} ὁ^{ddfs} ἔσχατος^{adfsn} ἡμέρα^{ndfs}. **v.49** ὅτι^{c} ἐγώ$^{rpn\text{-}s}$ ἐκ^{p} ἐμαυτοῦ^{rxgms} οὐ^{xo} λαλέω^{viaa1s} ἀλλά^{c} ὁ^{dnms} πέμπω^{vpaanms} ἐγώ$^{rpa\text{-}s}$ πατήρ^{nnms} αὐτός^{rpnms} ἐγώ$^{rpd\text{-}s}$ ἐντολή^{nafs} δίδωμι^{viaa3s} τίς^{rqans} λέγω^{vsaa1s} καί^{c} τίς^{rqans} λαλέω^{vsaa1s}. **v.50** καί^{c} οἶδα^{vixa1s} ὅτι^{c} ὁ^{dnfs} ἐντολή^{nnfs} αὐτός^{rpgms} ζωή^{nnfs} αἰώνιος^{anfsn} εἰμί^{vipx3s} ὅς^{rranp} οὖν^{c} λαλέω^{vipa1s} ἐγώ$^{rpn\text{-}s}$ καθώς^{bo} λέγω^{vixa3s} ἐγώ$^{rpd\text{-}s}$ ὁ^{dnms} πατήρ^{nnms} οὕτω^{bo} λαλέω^{vipa1s}. **13. v.1** πρό^{p} δέ^{c} ὁ^{dgfs} ἑορτή^{ngfs} ὁ^{dgms} πάσχα^{ta} οἶδα^{vpxanms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὅτι^{c} ἔρχομαι^{vixa3s} αὐτός^{rpgms} ὁ^{dnfs} ὥρα^{nnfs} ἵνα^{c} μεταβαίνω^{vsaa3s} ἐκ^{p} ὁ^{dgms} κόσμος^{ngms} οὗτος^{rdgms} πρός^{p} ὁ^{dams} πατήρ^{nams} ἀγαπάω^{vpaanms} ὁ^{damp} ἴδιος^{aampn} ὁ^{damp} ἐν^{p} ὁ^{ddms} κόσμος^{ndms} εἰς^{p} τέλος^{nans} ἀγαπάω^{viaa3s} αὐτός^{rpamp}. **v.2** καί^{c} δεῖπνον^{ngns} γίνομαι^{vpadgns} ὁ^{dgms} διάβολος^{agmsn} ἤδη^{bo} βάλλω^{vpxagms} εἰς^{p} ὁ^{dafs} καρδία^{nafs} Ἰούδας^{ngms} Σίμων^{ngms} Ἰσκαριώθ^{ngms} ἵνα^{c} αὐτός^{rpams} παραδίδωμι^{vsaa3s}. **v.3** οἶδα^{vpxanms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὅτι^{c} πᾶς^{aanpn} δίδωμι^{vixa3s} αὐτός^{rpdms} ὁ^{dnms} πατήρ^{nnms} εἰς^{p} ὁ^{dafp} χείρ^{nafp} καί^{c} ὅτι^{c} ἀπό^{p} θεός^{ngms} ἐξέρχομαι^{viaa3s} καί^{c} πρός^{p} ὁ^{dams} θεός^{nams} ὑπάγω^{vipa3s}. **v.4** ἐγείρω^{vipp3s} ἐκ^{p} ὁ^{dgns} δεῖπνον^{ngns} καί^{c} τίθημι^{vipa3s} ὁ^{danp} ἱμάτιον^{nanp} καί^{c} λαμβάνω^{vpaanms} λέντιον^{nans} διαζώννυμι^{viaa3s} ἑαυτοῦ^{rxams}.

ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν, καὶ ἐκμάσσειν τῷ λεν-
τίῳ ᾧ ἦν διεζωσμένος. ἔρχεται οὖν πρὸς Σίμωνα Πέτρον, καὶ 6
λέγει αὐτῷ ἐκεῖνος, Κύριε, σύ μου νίπτεις τοὺς πόδας· ἀπε- 7
κρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Ὃ ἐγὼ ποιῶ, σὺ οὐκ οἶδας ἄρτι,
γνώσῃ δὲ μετὰ ταῦτα. λέγει αὐτῷ Πέτρος, Οὐ μὴ νίψῃς τοὺς 8
πόδας μου εἰς τὸν αἰῶνα. ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς, Ἐὰν μὴ
νίψω σε, οὐκ ἔχεις μέρος μετ᾽ ἐμοῦ. λέγει αὐτῷ Σίμων Πέτρος, 9
Κύριε, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν
κεφαλήν. λέγει αὐτῷ ὁ Ἰησοῦς, Ὁ λελουμένος οὐ χρείαν ἔ- 10
χει ἢ τοὺς πόδας νίψασθαι, ἀλλ᾽ ἔστι καθαρὸς ὅλος, καὶ ὑμεῖς
καθαροί ἐστε, ἀλλ᾽ οὐχὶ πάντες. ᾔδει γὰρ τὸν παραδιδόντα 11
αὐτόν, διὰ τοῦτο εἶπεν, Οὐχὶ πάντες καθαροί ἐστε. Ὅτε οὖν 12
ἔνιψε τοὺς πόδας αὐτῶν, καὶ ἔλαβε τὰ ἱμάτια αὐτοῦ, ἀναπε-
σὼν πάλιν, εἶπεν αὐτοῖς, Γινώσκετε τί πεποίηκα ὑμῖν· ὑμεῖς 13
φωνεῖτέ με, Ὁ διδάσκαλος, καὶ Ὁ κύριος, καὶ καλῶς λέγετε,
εἰμὶ γάρ. εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας, ὁ κύριος καὶ ὁ 14
διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας.
ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν καὶ 15
ὑμεῖς ποιῆτε. ἀμὴν ἀμὴν λέγω ὑμῖν, Οὐκ ἔστι δοῦλος μείζων 16
τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐ-

---

v.5 εἶτα^{bo} βάλλω^{vipa3s} ὕδωρ^{nans} εἰς^{p} ὁ^{dams} νιπτήρ^{nams} καί^{c} ἄρχω^{viad3s} νίπτω^{vnpa} ὁ^{damp} πούς^{namp} ὁ^{dgmp} μαθητής^{ngmp} καί^{c} ἐκμάσσω^{vnpa} ὁ^{ddns} λέντιον^{ndns} ὅς^{rrdns} εἰμί^{viix3s} διαζώννυμι^{vpxpnms}. **v.6** ἔρχομαι^{vipn3s} οὖν^{c} πρός^{p} Σίμων^{nams} Πέτρος^{nams} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdms} ἐκεῖνος^{rdnms} κύριος^{nvms} σύ$^{rpn-s}$ ἐγώ$^{rpg-s}$ νίπτω^{vipa2s} ὁ^{damp} πούς^{namp}. **v.7** ἀποκρίνομαι^{viad3s} Ἰησοῦς^{nnms} καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} ὅς^{rrans} ἐγώ$^{rpn-s}$ ποιέω^{vipa1s} σύ$^{rpn-s}$ οὐ^{xo} οἶδα^{vixa2s} ἄρτι^{bo} γινώσκω^{vifd2s} δέ^{c} μετά^{p} οὗτος^{rdanp}. **v.8** λέγω^{vipa3s} αὐτός^{rpdms} Πέτρος^{nnms} οὐ^{xo} μή^{xo} νίπτω^{vsaa2s} ὁ^{damp} πούς^{namp} ἐγώ$^{rpg-s}$ εἰς^{p} ὁ^{dams} αἰών^{nams} ἀποκρίνομαι^{viad3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἐάν^{qo} μή^{xo} νίπτω^{vsaa1s} σύ$^{rpa-s}$ οὐ^{xo} ἔχω^{vipa2s} μέρος^{nans} μετά^{p} ἐγώ$^{rpg-s}$. **v.9** λέγω^{vipa3s} αὐτός^{rpdms} Σίμων^{nnms} Πέτρος^{nnms} κύριος^{nvms} μή^{xo} ὁ^{damp} πούς^{namp} ἐγώ$^{rpg-s}$ μόνος^{bo} ἀλλά^{c} καί^{c} ὁ^{dafp} χείρ^{nafp} καί^{c} ὁ^{dafs} κεφαλή^{nafs}. **v.10** λέγω^{vipa3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{dnms} λούω^{vpxpnms} ὅς^{xo} χρεία^{nafs} ἔχω^{vipa3s} ἤ^{xo} ὁ^{damp} πούς^{namp} νίπτω^{vnam} ἀλλά^{c} εἰμί^{vipx3s} καθαρός^{anmsn} ὅλος^{anmsn} καί^{c} σύ$^{rpn-p}$ καθαρός^{anmpn} εἰμί^{vipx2p} ἀλλά^{c} οὐχί^{xo} πᾶς^{anmpn}. **v.11** οἶδα^{viya3s} γάρ^{c} ὁ^{dams} παραδίδωμι^{vppaams} αὐτός^{rpams} διά^{p} οὗτος^{rdans} λέγω^{viaa3s} οὐχί^{xo} πᾶς^{anmpn} καθαρός^{anmpn} εἰμί^{vipx2p}. **v.12** ὅτε^{bo} οὖν^{c} νίπτω^{viaa3s} ὁ^{damp} πούς^{namp} αὐτός^{rpgmp} καί^{c} λαμβάνω^{viaa3s} ὁ^{danp} ἱμάτιον^{nanp} αὐτός^{rpgms} ἀναπίπτω^{vpaanms} πάλιν^{bo} λέγω^{viaa3s} αὐτός^{rpdmp} γινώσκω^{vipa2p} τίς^{rqans} ποιέω^{vixa1s} σύ$^{rpd-p}$. **v.13** σύ$^{rpn-p}$ φωνέω^{vipa2p} ἐγώ$^{rpa-s}$ ὁ^{dnms} διδάσκαλος^{nnms} καί^{c} ὁ^{dnms} κύριος^{nnms} καί^{c} καλῶς^{bo} λέγω^{vipa2p} εἰμί^{vipx1s} γάρ^{c}. **v.14** εἰ^{qo} οὖν^{c} ἐγώ$^{rpn-s}$ νίπτω^{viaa1s} σύ$^{rpg-p}$ ὁ^{damp} πούς^{namp} ὁ^{dnms} κύριος^{nnms} καί^{c} ὁ^{dnms} διδάσκαλος^{nnms} καί^{c} σύ$^{rpn-p}$ ὀφείλω^{vipa2p} ἀλλήλων^{regmp} νίπτω^{vnpa} ὁ^{damp} πούς^{namp}. **v.15** ὑπόδειγμα^{nans} γάρ^{c} δίδωμι^{viaa1s} σύ$^{rpd-p}$ ἵνα^{c} καθώς^{bo} ἐγώ$^{rpn-s}$ ποιέω^{viaa1s} σύ$^{rpd-p}$ καί^{c} σύ$^{rpn-p}$ ποιέω^{vspa2p}.

17, 18 τόν. εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά. οὐ περὶ
πάντων ὑμῶν λέγω, ἐγὼ οἶδα οὕς ἐξελεξάμην, ἀλλ᾽ ἵνα ἡ γραφὴ
πληρωθῇ, Ὁ τρώγων μετ᾽ ἐμοῦ τὸν ἄρτον ἐπῆρεν ἐπ᾽ ἐμὲ τὴν
19 πτέρναν αὐτοῦ. ἀπ᾽ ἄρτι λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα, ὅ-
20 ταν γένηται, πιστεύσητε ὅτι ἐγώ εἰμι. ἀμὴν ἀμὴν λέγω ὑμῖν, Ὁ
λαμβάνων ἐάν τινα πέμψω, ἐμὲ λαμβάνει, ὁ δὲ ἐμὲ λαμβάνων,
21 λαμβάνει τὸν πέμψαντά με. Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐταράχθη
τῷ πνεύματι, καὶ ἐμαρτύρησε καὶ εἶπεν, Ἀμὴν ἀμὴν λέγω ὑμῖν
22 ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. ἔβλεπον οὖν εἰς ἀλλήλους οἱ
23 μαθηταί, ἀπορούμενοι περὶ τίνος λέγει. ἦν δέ ἀνακείμενος
εἷς τῶν μαθητῶν αὐτοῦ ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ, ὃν ἠγάπα ὁ Ἰη-
24 σοῦς, νεύει οὖν τούτῳ Σίμων Πέτρος πυθέσθαι τίς ἂν εἴη περὶ
25 οὗ λέγει. ἐπιπεσὼν δὲ ἐκεῖνος ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ, λέγει
26 αὐτῷ, Κύριε, τίς ἐστιν· ἀποκρίνεται ὁ Ἰησοῦς, Ἐκεῖνός ἐστιν
ᾧ ἐγὼ βάψας τὸ ψωμίον ἐπιδώσω. καὶ ἐμβάψας τὸ ψωμίον,
27 δίδωσιν Ἰούδα Σίμωνος Ἰσκαριώτη. καὶ μετὰ τὸ ψωμίον, τότε
εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς. λέγει οὖν αὐτῷ ὁ Ἰησοῦς, Ὃ
28 ποιεῖς, ποίησον τάχιον. τοῦτο δὲ οὐδεὶς ἔγνω τῶν ἀνακειμένων
29 πρὸς τί εἶπεν αὐτῷ. τινὲς γὰρ ἐδόκουν, ἐπεὶ τὸ γλωσσόκομον

---

v.16 ἀμήνth ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-p}$ οὐ^{xo} εἰμί^{vipx3s} δοῦλος^{nnms} μέγας^{anmsc} ὁ^{dgms} κύριος^{ngms} αὐτός^{rpgms} οὐδέ^{bo} ἀπόστολος^{nnms} μέγας^{anmsc} ὁ^{dgms} πέμπω^{vpaagms} αὐτός^{rpams}. **v.17** εἰ^{qo} οὗτος^{rdanp} οἶδα^{vixa2p} μακάριος^{anmpn} εἰμί^{vipx2p} ἐάν^{qo} ποιέω^{vspa2p} αὐτός^{rpanp}. **v.18** οὐ^{xo} περί^{p} πᾶς^{agmpn} σύ$^{rpg-p}$ λέγω^{vipa1s} ἐγώ$^{rpn-s}$ οἶδα^{vixa1s} ὅς^{rramp} ἐκλέγω^{viam1s} ἀλλά^{c} ἵνα^{c} ὁ^{dnfs} γραφή^{nnfs} πληρόω^{vsap3s} ὁ^{dnms} τρώγω^{vppanms} μετά^{p} ἐγώ$^{rpg-s}$ ὁ^{dams} ἄρτος^{nams} ἐπαίρω^{viaa3s} ἐπί^{p} ἐγώ$^{rpa-s}$ ὁ^{dafs} πτέρνα^{nafs} αὐτός^{rpgms}. **v.19** ἀπό^{p} ἄρτι^{bo} λέγω^{vipa1s} σύ$^{rpd-p}$ πρό^{p} ὁ^{dgms} γίνομαι^{vnad} ἵνα^{c} ὅταν^{c} γίνομαι^{vsad3s} πιστεύω^{vsaa2p} ὅτι^{c} ἐγώ$^{rpn-s}$ εἰμί^{vipx1s}. **v.20** ἀμήνth ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-p}$ ὁ^{dnms} λαμβάνω^{vppanms} ἐάν^{qo} τι-σριαμσ πέμπω^{vsaa1s} ἐγώ$^{rpa-s}$ λαμβάνω^{vipa3s} ὁ^{dnms} δέ^{c} ἐγώ$^{rpa-s}$ λαμβάνω^{vppanms} λαμβάνω^{vipa3s} ὁ^{dams} πέμπω^{vpaaams} ἐγώ$^{rpa-s}$. **v.21** οὗτος^{rdanp} λέγω^{vpaanms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ταράσσω^{viap3s} ὁ^{ddns} πνεῦμα^{ndns} καί^{c} μαρτυρέω^{viaa3s} καί^{c} λέγω^{viaa3s} ἀμήνth ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-p}$ ὅτι^{c} εἷς^{nnms} ἐκ^{p} σύ$^{rpg-p}$ παραδίδωμι^{vifa3s} ἐγώ$^{rpa-s}$. **v.22** βλέπω^{viia3p} οὖν^{c} εἰς^{p} ἀλλήλων^{reamp} ὁ^{dnmp} μαθητής^{nnmp} ἀπορέω^{vppmnmp} περί^{p} τίς^{rqgms} λέγω^{vipa3s}. **v.23** εἰμί^{viix3s} δέ^{c} ἀνάκειμαι^{vppnnms} εἷς^{nnms} ὁ^{dgmp} μαθητής^{ngmp} αὐτός^{rpgms} ἐν^{p} ὁ^{ddms} κόλπος^{ndms} ὁ^{dgms} Ἰησοῦς^{ngms} ὅς^{rrams} ἀγαπάω^{viia3s} ὁ^{dnms} Ἰησοῦς^{nnms}. **v.24** νεύω^{vipa3s} οὖν^{c} οὗτος^{rddms} Σίμων^{nnms} Πέτρος^{nnms} πυνθάνομαι^{vnad} τίς^{rqnms} ἄν^{xo} εἰμί^{vopx3s} περί^{p} ὅς^{rrgms} λέγω^{vipa3s}. **v.25** ἐπιπίπτω^{vpaanms} δέ^{c} ἐκεῖνος^{rdnms} ἐπί^{p} ὁ^{dans} στῆθος^{nans} ὁ^{dgms} Ἰησοῦς^{ngms} λέγω^{vipa3s} αὐτός^{rpdms} κύριος^{nvms} τίς^{rqnms} εἰμί^{vipx3s}. **v.26** ἀποκρίνομαι^{vipn3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἐκεῖνος^{rdnms} εἰμί^{vipx3s} ὅς^{rrdms} ἐγώ$^{rpn-s}$ βάπτω^{vpaanms} ὁ^{dans} ψωμίον^{nans} ἐπιδίδωμι^{vifa1s} καί^{c} ἐμβάπτω^{vpaanms} ὁ^{dans} ψωμίον^{nans} δίδωμι^{vipa3s} Ἰούδας^{ndms} Σίμων^{ngms} Ἰσκαριώθ^{ndms}. **v.27** καί^{c} μετά^{p} ὁ^{dans} ψωμίον^{nans} τότε^{bo} εἰσέρχομαι^{viaa3s} εἰς^{p} ἐκεῖνος^{rdams} ὁ^{dnms} Σατανᾶς^{nnms} λέγω^{vipa3s} οὖν^{c} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὅς^{rrans} ποιέω^{vipa2s} ποιέω^{vdaa2s} ταχύς^{bo}. **v.28** οὗτος^{rdans} δέ^{c} οὐδείς^{anfsn} γινώσκω^{viaa3s} ὁ^{dgmp} ἀνάκειμαι^{vppngmp} πρός^{p} τίς^{rqans} λέγω^{viaa3s} αὐτός^{rpdms}.

εἶχεν ὁ Ἰούδας, ὅτι λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἀγόρασον ὧν χρείαν
ἔχομεν εἰς τὴν ἑορτήν, ἢ τοῖς πτωχοῖς ἵνα τι δῷ. λαβὼν οὖν 30
τὸ ψωμίον ἐκεῖνος, εὐθέως ἐξῆλθεν, ἦν δὲ νύξ. Ὅτε οὖν ἐξ- 31
ῆλθε. λέγει ὁ Ἰησοῦς, Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ
ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ. εἰ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ, καὶ 32
ὁ Θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ, καὶ εὐθὺς δοξάσει αὐτόν. τε- 33
κνία, ἔτι μικρὸν μεθ' ὑμῶν εἰμι. ζητήσετέ με, καὶ καθὼς εἶπον
τοῖς Ἰουδαίοις ὅτι Ὅπου ὑπάγω ἐγώ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν,
καὶ ὑμῖν λέγω ἄρτι. ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε 34
ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς, ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλ-
λήλους. ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν 35
ἀγάπην ἔχητε ἐν ἀλλήλοις. Λέγει αὐτῷ Σίμων Πέτρος, Κύ- 36
ριε, ποῦ ὑπάγεις· ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς, Ὅπου ὑπάγω, οὐ
δύνασαί μοι νῦν ἀκολουθῆσαι, ὕστερον δὲ ἀκολουθήσεις μοι.
λέγει αὐτῷ ὁ Πέτρος, Κύριε, διατί οὐ δύναμαί σοι ἀκολουθῆ- 37
σαι ἄρτι· τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω. ἀπεκρίθη αὐτῷ ὁ 38
Ἰησοῦς, Τὴν ψυχήν σου ὑπὲρ ἐμοῦ θήσεις· ἀμὴν ἀμὴν λέγω
σοι, οὐ μὴ ἀλέκτωρ φωνήσει ἕως οὗ ἀπαρνήσῃ με τρίς.

Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία, πιστεύετε εἰς τὸν Θεόν, καὶ **14**
εἰς ἐμὲ πιστεύετε. ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί 2

---

v.29 τι-σρινμπ γάρ[c] δοκέω[viia3p] ἐπεί[c] ὁ[dans] γλωσσόκομον[nans] ἔχω[viia3s] ὁ[dnms] Ἰούδας[nnms] ὅτι[c] λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ἀγοράζω[vdaa2s] ὅς[rrgnp] χρεία[nafs] ἔχω[vipa1p] εἰς[p] ὁ[dafs] ἑορτή[nafs] ἤ[xo] ὁ[ddmp] πτωχός[admpn] ἵνα[c] τι-σριανσ δίδωμι[vsaa3s]. **v.30** λαμβάνω[vpaanms] οὖν[c] ὁ[dans] ψωμίον[nans] ἐκεῖνος[rdnms] εὐθέως[bo] ἐξέρχομαι[viaa3s] εἰμί[viix3s] δέ[c] νύξ[nnfs]. **v.31** ὅτε[bo] οὖν[c] ἐξέρχομαι[viaa3s] λέγω[vipa3s] ὁ[dnms] Ἰησοῦς[nnms] νῦν[bo] δοξάζω[viap3s] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] καί[c] ὁ[dnms] θεός[nnms] δοξάζω[viap3s] ἐν[p] αὐτός[rpdms]. **v.32** εἰ[qo] ὁ[dnms] θεός[nnms] δοξάζω[viap3s] ἐν[p] αὐτός[rpdms] καί[c] ὁ[dnms] θεός[nnms] δοξάζω[vifa3s] αὐτός[rpams] ἐν[p] ἑαυτοῦ[rxdms] καί[c] εὐθύς[bo] δοξάζω[vifa3s] αὐτός[rpams]. **v.33** τεκνίον[nvnp] ἔτι[bo] μικρός[aansn] μετά[p] σύ[rpg-p] εἰμί[vipx1s] ζητέω[vifa2p] ἐγώ[rpa-s] καί[c] καθώς[bo] λέγω[viaa1s] ὁ[ddmp] Ἰουδαῖος[admpn] ὅτι[c] ὅπου[bo] ὑπάγω[vipa1s] ἐγώ[rpn-s] σύ[rpn-p] οὐ[xo] δύναμαι[vipn2p] ἔρχομαι[vnaa] καί[c] σύ[rpd-p] λέγω[vipa1s] ἄρτι[bo]. **v.34** ἐντολή[nafs] καινός[aafsn] δίδωμι[vipa1s] σύ[rpd-p] ἵνα[c] ἀγαπάω[vspa2p] ἀλλήλων[reamp] καθώς[bo] ἀγαπάω[viaa1s] σύ[rpa-p] ἵνα[c] καί[c] σύ[rpn-p] ἀγαπάω[vspa2p] ἀλλήλων[reamp]. **v.35** ἐν[p] οὗτος[rddns] γινώσκω[vifd3p] πᾶς[anmpn] ὅτι[c] ἐγώ[rpd-s] μαθητής[nnmp] εἰμί[vipx2p] ἐάν[qo] ἀγάπη[nafs] ἔχω[vspa2p] ἐν[p] ἀλλήλων[redmp]. **v.36** λέγω[vipa3s] αὐτός[rpdms] Σίμων[nnms] Πέτρος[nnms] κύριος[nvms] ποῦ[xo] ὑπάγω[vipa2s] ἀποκρίνομαι[viad3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ὅπου[bo] ὑπάγω[vipa1s] οὐ[xo] δύναμαι[vipn2s] ἐγώ[rpd-s] νῦν[bo] ἀκολουθέω[vnaa] ὕστερος[bo] δέ[c] ἀκολουθέω[vifa2s] ἐγώ[rpd-s]. **v.37** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Πέτρος[nnms] κύριος[nvms] διά&τίς[xo] οὐ[xo] δύναμαι[vipn1s] σύ[rpd-s] ἀκολουθέω[vnaa] ἄρτι[bo] ὁ[dafs] ψυχή[nafs] ἐγώ[rpg-s] ὑπέρ[p] σύ[rpg-s] τίθημι[vifa1s]. **v.38** ἀποκρίνομαι[viad3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[dafs] ψυχή[nafs] σύ[rpg-s] ὑπέρ[p] ἐγώ[rpg-s] τίθημι[vifa2s] ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-s] οὐ[xo] μή[xo] ἀλέκτωρ[nnms] φωνέω[vifa3s] ἕως[c] ὅς[bo] ἀπαρνέομαι[vifd2s] ἐγώ[rpa-s] τρίς[bo]. **14. v.1** μή[xo] ταράσσω[vdpp3s] σύ[rpg-p] ὁ[dnfs] καρδία[nnfs] πιστεύω[vipa2p] εἰς[p] ὁ[dams] θεός[nams] καί[c] εἰς[p] ἐγώ[rpa-s] πιστεύω[vdpa2p].

εἰσιν, εἰ δὲ μή, εἶπον ἂν ὑμῖν· πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν.
3 καὶ ἐὰν πορευθῶ καὶ ἑτοιμάσω ὑμῖν τόπον, πάλιν ἔρχομαι καὶ
παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν, ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ ὑ-
4 μεῖς ἦτε. καὶ ὅπου ἐγὼ ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε.
5 λέγει αὐτῷ Θωμᾶς, Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις, καὶ πῶς
6 δυνάμεθα τὴν ὁδὸν εἰδέναι· λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἐγώ εἰμι ἡ
ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή, οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα,
7 εἰ μὴ δι' ἐμοῦ. εἰ ἐγνώκειτέ με· καὶ τὸν πατέρα μου ἐγνώκειτε
8 ἂν, καὶ ἀπ' ἄρτι γινώσκετε αὐτόν, καὶ ἑωράκατε αὐτόν. λέγει
αὐτῷ Φίλιππος, Κύριε, δεῖξον ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ ἡμῖν.
9 λέγει αὐτῷ ὁ Ἰησοῦς, Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ
ἔγνωκάς με, Φίλιππε· ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν πατέρα, καὶ
10 πῶς σὺ λέγεις, Δεῖξον ἡμῖν τὸν πατέρα· οὐ πιστεύεις ὅτι ἐγὼ
ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστι· τὰ ῥήματα ἃ ἐγὼ λαλῶ
ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ μένων, αὐτὸς
11 ποιεῖ τὰ ἔργα. πιστεύετέ μοι ὅτι ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ
12 ἐν ἐμοί, εἰ δὲ μή, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι. ἀμὴν ἀμὴν
λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος
ποιήσει, καὶ μείζονα τούτων ποιήσει, ὅτι ἐγὼ πρὸς τὸν πατέρα
13 μου πορεύομαι. καὶ ὅ τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο

---

v.2 ἐνᵖ ὁᵈᵈᶠˢ οἰκίαⁿᵈᶠˢ ὁᵈᵍᵐˢ πατήρⁿᵍᵐˢ ἐγώʳᵖᵍ⁻ˢ μονήᵃⁿᶠᵖⁿ πολύςᵃⁿᶠᵖⁿ εἰμίᵛⁱᵖˣ³ᵖ εἰᵍᵒ δέᶜ μήˣᵒ λέγωᵛⁱᵃᵃ¹ˢ ἄνˣᵒ σύʳᵖᵈ⁻ᵖ πορεύομαιᵛⁱᵖⁿ¹ˢ ἑτοιμάζωᵛⁿᵃᵃ τόποςⁿᵃᵐˢ σύʳᵖᵈ⁻ᵖ. **v.3** καίᶜ ἐάνᵍᵒ πορεύομαιᵛˢᵃᵒ¹ˢ καίᶜ ἑτοιμάζωᵛˢᵃᵃ¹ˢ σύʳᵖᵈ⁻ᵖ τόποςⁿᵃᵐˢ πάλινᵇᵒ ἔρχομαιᵛⁱᵖⁿ¹ˢ καίᶜ παραλαμβάνωᵛⁱᶠᵈ¹ˢ σύʳᵖᵃ⁻ᵖ πρόςᵖ ἐμαυτοῦʳˣᵃᵐˢ ἵναᶜ ὅπουᵇᵒ εἰμίᵛⁱᵖˣ¹ˢ ἐγώʳᵖⁿ⁻ˢ καίᶜ σύʳᵖⁿ⁻ᵖ εἰμίᵛˢᵖˣ²ᵖ. **v.4** καίᶜ ὅπουᵇᵒ ἐγώʳᵖⁿ⁻ˢ ὑπάγωᵛⁱᵖᵃ¹ˢ οἶδαᵛⁱˣᵃ²ᵖ καίᶜ ὁᵈᵃᶠˢ ὁδόςⁿᵃᶠˢ οἶδαᵛⁱˣᵃ²ᵖ. **v.5** λέγωᵛⁱᵖᵃ³ˢ αὐτόςʳᵖᵈᵐˢ Θωμᾶςⁿⁿᵐˢ κύριοςⁿᵛᵐˢ οὐˣᵒ οἶδαᵛⁱˣᵃ¹ᵖ ποῦˣᵒ ὑπάγωᵛⁱᵖᵃ²ˢ καίᶜ πῶςᵇᵒ δύναμαιᵛⁱᵖⁿ¹ᵖ ὁᵈᵃᶠˢ ὁδόςⁿᵃᶠˢ οἶδαᵛⁿˣᵃ. **v.6** λέγωᵛⁱᵖᵃ³ˢ αὐτόςʳᵖᵈᵐˢ ὁᵈⁿᵐˢ Ἰησοῦςⁿⁿᵐˢ ἐγώʳᵖⁿ⁻ˢ εἰμίᵛⁱᵖˣ¹ˢ ὁᵈⁿᶠˢ ὁδόςⁿⁿᶠˢ καίᶜ ὁᵈⁿᶠˢ ἀλήθειαⁿⁿᶠˢ καίᶜ ὁᵈⁿᶠˢ ζωήⁿⁿᶠˢ οὐδείςᵃⁿᶠˢⁿ ἔρχομαιᵛⁱᵖⁿ³ˢ πρόςᵖ ὁᵈᵃᵐˢ πατήρⁿᵃᵐˢ εἰᵍᵒ μήˣᵒ διάᵖ ἐγώʳᵖᵍ⁻ˢ. **v.7** εἰᵍᵒ γινώσκωᵛⁱᵛᵃ²ᵖ ἐγώʳᵖᵃ⁻ˢ καίᶜ ὁᵈᵃᵐˢ πατήρⁿᵃᵐˢ ἐγώʳᵖᵍ⁻ˢ γινώσκωᵛⁱᵛᵃ²ᵖ ἄνˣᵒ καίᶜ ἀπόᵖ ἄρτιᵇᵒ γινώσκωᵛⁱᵖᵃ²ᵖ αὐτόςʳᵖᵃᵐˢ καίᶜ ὁράωᵛⁱˣᵃ²ᵖ αὐτόςʳᵖᵃᵐˢ. **v.8** λέγωᵛⁱᵖᵃ³ˢ αὐτόςʳᵖᵈᵐˢ Φίλιπποςⁿⁿᵐˢ κύριοςⁿᵛᵐˢ δείκνυμιᵛᵈᵃᵃ²ˢ ἐγώʳᵖᵈ⁻ᵖ ὁᵈᵃᵐˢ πατήρⁿᵃᵐˢ καίᶜ ἀρκέωᵛⁱᵖᵃ³ˢ ἐγώʳᵖᵈ⁻ᵖ. **v.9** λέγωᵛⁱᵖᵃ³ˢ αὐτόςʳᵖᵈᵐˢ ὁᵈⁿᵐˢ Ἰησοῦςⁿⁿᵐˢ τοσοῦτοςʳᵈᵃᵐˢ χρόνοςⁿᵃᵐˢ μετάᵖ σύʳᵖᵍ⁻ᵖ εἰμίᵛⁱᵖˣ¹ˢ καίᶜ οὐˣᵒ γινώσκωᵛⁱᵛᵃ²ˢ ἐγώʳᵖᵃ⁻ˢ Φίλιπποςⁿᵛᵐˢ ὁᵈⁿᵐˢ ὁράωᵛᵖˣᵃⁿᵐˢ ἐγώʳᵖᵃ⁻ˢ ὁράωᵛⁱˣᵃ³ˢ ὁᵈᵃᵐˢ πατήρⁿᵃᵐˢ καίᶜ πῶςᵇᵒ σύʳᵖⁿ⁻ˢ λέγωᵛⁱᵖᵃ²ˢ δείκνυμιᵛᵈᵃᵃ²ˢ ἐγώʳᵖᵈ⁻ᵖ ὁᵈᵃᵐˢ πατήρⁿᵃᵐˢ. **v.10** οὐˣᵒ πιστεύωᵛⁱᵖᵃ²ˢ ὅτιᶜ ἐγώʳᵖⁿ⁻ˢ ἐνᵖ ὁᵈᵈᵐˢ πατήρⁿᵈᵐˢ καίᶜ ὁᵈⁿᵐˢ πατήρⁿⁿᵐˢ ἐνᵖ ἐγώʳᵖᵈ⁻ˢ εἰμίᵛⁱᵖˣ³ˢ ὁᵈᵃⁿᵖ ῥῆμαⁿᵃⁿᵖ ὅςʳʳᵃⁿᵖ ἐγώʳᵖⁿ⁻ˢ λαλέωᵛⁱᵖᵃ¹ˢ σύʳᵖᵈ⁻ᵖ ἀπόᵖ ἐμαυτοῦʳˣᵍᵐˢ οὐˣᵒ λαλέωᵛⁱᵖᵃ¹ˢ ὁᵈⁿᵐˢ δέᶜ πατήρⁿⁿᵐˢ ὁᵈⁿᵐˢ ἐνᵖ ἐγώʳᵖᵈ⁻ˢ μένωᵛᵖᵖᵃⁿᵐˢ αὐτόςʳᵖⁿᵐˢ ποιέωᵛⁱᵖᵃ³ˢ ὁᵈᵃⁿᵖ ἔργονⁿᵃⁿᵖ. **v.11** πιστεύωᵛᵈᵖᵃ²ᵖ ἐγώʳᵖᵈ⁻ˢ ὅτιᶜ ἐγώʳᵖⁿ⁻ˢ ἐνᵖ ὁᵈᵈᵐˢ πατήρⁿᵈᵐˢ καίᶜ ὁᵈⁿᵐˢ πατήρⁿⁿᵐˢ ἐνᵖ ἐγώʳᵖᵈ⁻ˢ εἰᵍᵒ δέᶜ μήˣᵒ διάᵖ ὁᵈᵃⁿᵖ ἔργονⁿᵃⁿᵖ αὐτόςʳᵖᵃⁿᵖ πιστεύωᵛᵈᵖᵃ²ᵖ ἐγώʳᵖᵈ⁻ˢ. **v.12** ἀμὴνᵗʰ ἀμὴνᵗʰ λέγωᵛⁱᵖᵃ¹ˢ σύʳᵖᵈ⁻ᵖ ὁᵈⁿᵐˢ πιστεύωᵛᵖᵖᵃⁿᵐˢ εἰςᵖ ἐγώʳᵖᵃ⁻ˢ ὁᵈᵃⁿᵖ ἔργονⁿᵃⁿᵖ ὅςʳʳᵃⁿᵖ ἐγώʳᵖⁿ⁻ˢ ποιέωᵛⁱᵖᵃ¹ˢ κἀκεῖνοςʳᵈⁿᵐˢ ποιέωᵛⁱᶠᵃ³ˢ καίᶜ μέγαςᵃᵃⁿᵖᶜ οὗτοςʳᵈᵍⁿᵖ ποιέωᵛⁱᶠᵃ³ˢ ὅτιᶜ ἐγώʳᵖⁿ⁻ˢ πρόςᵖ ὁᵈᵃᵐˢ πατήρⁿᵃᵐˢ ἐγώʳᵖᵍ⁻ˢ πορεύομαιᵛⁱᵖⁿ¹ˢ.

ποιήσω, ἵνα δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ. ἐάν τι αἰτήσητε ἐν 14
τῷ ὀνόματί μου, ἐγὼ ποιήσω. ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς 15
τὰς ἐμὰς τηρήσατε. καὶ ἐγὼ ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον 16
παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ 17
πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ
θεωρεῖ αὐτό, οὐδὲ γινώσκει αὐτό. ὑμεῖς δὲ γινώσκετε αὐτό, ὅτι
παρ' ὑμῖν μένει, καὶ ἐν ὑμῖν ἔσται. οὐκ ἀφήσω ὑμᾶς ὀρφα- 18
νούς, ἔρχομαι πρὸς ὑμᾶς. ἔτι μικρὸν καὶ ὁ κόσμος με οὐκ 19
ἔτι θεωρεῖ, ὑμεῖς δὲ θεωρεῖτέ με, ὅτι ἐγὼ ζῶ, καὶ ὑμεῖς ζήσε-
σθε. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς ὅτι ἐγὼ ἐν τῷ πατρί 20
μου, καὶ ὑμεῖς ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. ὁ ἔχων τὰς ἐντολάς μου 21
καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με, ὁ δὲ ἀγαπῶν με,
ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου, καὶ ἐγὼ ἀγαπήσω αὐτόν,
καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν. λέγει αὐτῷ Ἰούδας, οὐχ ὁ Ἰσκα- 22
ριώτης, Κύριε, τί γέγονεν ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτόν,
καὶ οὐχὶ τῷ κόσμῳ· ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Ἐάν 23
τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπή-
σει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ
ποιήσομεν. ὁ μὴ ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ, καὶ 24
ὁ λόγος ὃν ἀκούετε οὐκ ἔστιν ἐμός, ἀλλὰ τοῦ πέμψαντός με

---

v.13 καί^{c} ὅς^{rrans} τι-σριανσ ἄν^{xo} αἰτέω^{vsaa2p} ἐν^{p} ὁ^{ddns} ὄνομα^{ndns} ἐγώ$^{rpg-s}$ οὗτος^{rdans} ποιέω^{vifa1s} ἵνα^{c} δοξάζω^{vsap3s} ὁ^{dnms} πατήρ^{nnms} ἐν^{p} ὁ^{ddms} υἱός^{ndms}. **v.14** ἐάν^{qo} τι-σριανσ αἰτέω^{vspa2p} ἐν^{p} ὁ^{ddns} ὄνομα^{ndns} ἐγώ$^{rpg-s}$ ἐγώ$^{rpn-s}$ ποιέω^{vifa1s}. **v.15** ἐάν^{qo} ἀγαπάω^{vspa2p} ἐγώ$^{rpa-s}$ ὁ^{dafp} ἐντολή^{nafp} ὁ^{dafp} ἐμός^{rsafp} τηρέω^{vdaa2p}. **v.16** καί^{c} ἐγώ$^{rpn-s}$ ἐρωτάω^{vifa1s} ὁ^{dams} πατήρ^{nams} καί^{c} ἄλλος^{aamsn} παράκλητος^{nams} δίδωμι^{vifa3s} σύ$^{rpd-p}$ ἵνα^{c} μένω^{vspa3s} μετά^{p} σύ$^{rpg-p}$ εἰς^{p} ὁ^{dams} αἰών^{nams}. **v.17** ὁ^{dans} πνεῦμα^{nans} ὁ^{dgfs} ἀλήθεια^{ngfs} ὅς^{rrans} ὁ^{dnms} κόσμος^{nnms} οὐ^{xo} δύναμαι^{vipn3s} λαμβάνω^{vnaa} ὅτι^{c} οὐ^{xo} θεωρέω^{vipa3s} αὐτός^{rpans} οὐδέ^{bo} γινώσκω^{vipa3s} αὐτός^{rpans} σύ$^{rpn-p}$ δέ^{c} γινώσκω^{vipa2p} αὐτός^{rpans} ὅτι^{c} παρά^{p} σύ$^{rpd-p}$ μένω^{vipa3s} καί^{c} ἐν^{p} σύ$^{rpd-p}$ εἰμί^{vifx3s}. **v.18** οὐ^{xo} ἀφίημι^{vifa1s} σύ$^{rpa-p}$ ὀρφανός^{aampn} ἔρχομαι^{vipn1s} πρός^{p} σύ$^{rpa-p}$. **v.19** ἔτι^{bo} μικρός^{aansn} καί^{c} ὁ^{dnms} κόσμος^{nnms} ἐγώ$^{rpa-s}$ οὐ^{xo} ἔτι^{bo} θεωρέω^{vipa3s} σύ$^{rpn-p}$ δέ^{c} θεωρέω^{vipa2p} ἐγώ$^{rpa-s}$ ὅτι^{c} ἐγώ$^{rpn-s}$ ζάω^{vipa1s} καί^{c} σύ$^{rpn-p}$ ζάω^{vifd2p}. **v.20** ἐν^{p} ἐκεῖνος^{rddfs} ὁ^{ddfs} ἡμέρα^{ndfs} γινώσκω^{vifd2p} σύ$^{rpn-p}$ ὅτι^{c} ἐγώ$^{rpn-s}$ ἐν^{p} ὁ^{ddms} πατήρ^{ndms} ἐγώ$^{rpg-s}$ καί^{c} σύ$^{rpn-p}$ ἐν^{p} ἐγώ$^{rpd-s}$ κἀγώ$^{rpn-s}$ ἐν^{p} σύ$^{rpd-p}$. **v.21** ὁ^{dnms} ἔχω^{vppanms} ὁ^{dafp} ἐντολή^{nafp} ἐγώ$^{rpg-s}$ καί^{c} τηρέω^{vppanms} αὐτός^{rpafp} ἐκεῖνος^{rdnms} εἰμί^{vipx3s} ὁ^{dnms} ἀγαπάω^{vppanms} ἐγώ$^{rpa-s}$ ὁ^{dnms} δέ^{c} ἀγαπάω^{vppanms} ἐγώ$^{rpa-s}$ ἀγαπάω^{vifp3s} ὑπό^{p} ὁ^{dgms} πατήρ^{ngms} ἐγώ$^{rpg-s}$ καί^{c} ἐγώ$^{rpn-s}$ ἀγαπάω^{vifa1s} αὐτός^{rpams} καί^{c} ἐμφανίζω^{vifa1s} αὐτός^{rpdms} ἐμαυτοῦ^{rxams}. **v.22** λέγω^{vipa3s} αὐτός^{rpdms} Ἰούδας^{nnms} οὐ^{xo} ὁ^{dnms} Ἰσκαριώθ^{nnms} κύριος^{nvms} τίς^{rqnns} γίνομαι^{vixa3s} ὅτι^{c} ἐγώ$^{rpd-p}$ μέλλω^{vipa2s} ἐμφανίζω^{vnpa} σεαυτοῦ^{rxams} καί^{c} οὐχί^{xo} ὁ^{ddms} κόσμος^{ndms}. **v.23** ἀποκρίνομαι^{viad3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} ἐάν^{qo} τι-σριν^{ms} ἀγαπάω^{vspa3s} ἐγώ$^{rpa-s}$ ὁ^{dams} λόγος^{nams} ἐγώ$^{rpg-s}$ τηρέω^{vifa3s} καί^{c} ὁ^{dnms} πατήρ^{nnms} ἐγώ$^{rpg-s}$ ἀγαπάω^{vifa3s} αὐτός^{rpams} καί^{c} πρός^{p} αὐτός^{rpams} ἔρχομαι^{vifd1p} καί^{c} μονή^{nafs} παρά^{p} αὐτός^{rpdms} ποιέω^{vifa1p}.

25, 26 πατρός. Ταῦτα λελάληκα ὑμῖν παρ᾽ ὑμῖν μένων. ὁ δὲ παρά-
κλητος, τὸ Πνεῦμα τὸ Ἅγιον, ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί
μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς πάντα
27 ἃ εἶπον ὑμῖν. εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι
ὑμῖν, οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν. μὴ ται-
28 ρασσέσθω ὑμῶν ἡ καρδία, μηδὲ δειλιάτω. ἠκούσατε ὅτι ἐγὼ
εἶπον ὑμῖν, Ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς. εἰ ἠγαπᾶτέ με,
ἐχάρητε ἄν ὅτι εἶπον, Πορεύομαι πρὸς τὸν πατέρα, ὅτι ὁ πατήρ
29 μου μείζων μού ἐστι. καὶ νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι, ἵνα,
30 ὅταν γένηται, πιστεύσητε. οὐκ ἔτι πολλὰ λαλήσω μεθ᾽ ὑμῶν,
ἔρχεται γὰρ ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔ-
31 χει οὐδέν, ἀλλ᾽ ἵνα γνῷ ὁ κόσμος ὅτι ἀγαπῶ τὸν πατέρα, καὶ
καθὼς ἐνετείλατο μοι ὁ πατήρ, οὕτω ποιῶ. ἐγείρεσθε, ἄγωμεν
ἐντεῦθεν.

15 Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ πατήρ μου ὁ γεωργός
2 ἐστι. πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπόν, αἴρει αὐτό, καὶ
πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτό, ἵνα πλείονα καρπὸν φέ-
3 ρῃ. ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν.
4 μείνατε ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. καθὼς τὸ κλῆμα οὐ δύναται
καρπὸν φέρειν ἀφ᾽ ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ, οὕτως

---

v.24 ὁ^{dnms} μή^{xo} ἀγαπάω^{vppanms} ἐγώ$^{rpa\text{-}s}$ ὁ^{damp} λόγος^{namp} ἐγώ$^{rpg\text{-}s}$ οὐ^{xo} τηρέω^{vipa3s} καί^{c} ὁ^{dnms} λόγος^{nnms} ὅς^{rrams} ἀκούω^{vipa2p} οὐ^{xo} εἰμί^{vipx3s} ἐμός^{rsnms} ἀλλά^{c} ὁ^{dgms} πέμπω^{vpaagms} ἐγώ$^{rpa\text{-}s}$ πατήρ^{ngms}. **v.25** οὗτος^{rdanp} λαλέω^{vixa1s} σύ$^{rpd\text{-}p}$ παρά^{p} σύ$^{rpd\text{-}p}$ μένω^{vppanms}. **v.26** ὁ^{dnms} δέ^{c} παράκλητος^{nnms} ὁ^{dnns} πνεῦμα^{nnns} ὁ^{dnns} ἅγιος^{annsn} ὅς^{rrans} πέμπω^{vifa3s} ὁ^{dnms} πατήρ^{nnms} ἐν^{p} ὁ^{ddns} ὄνομα^{ndns} ἐγώ$^{rpg\text{-}s}$ ἐκεῖνος^{rdnms} σύ$^{rpa\text{-}p}$ διδάσκω^{vifa3s} πᾶς^{aanpn} καί^{c} ὑπομιμνήσκω^{vifa3s} σύ$^{rpa\text{-}p}$ πᾶς^{aanpn} ὅς^{rranp} λέγω^{viaa1s} σύ$^{rpd\text{-}p}$. **v.27** εἰρήνη^{nafs} ἀφίημι^{vipa1s} σύ$^{rpd\text{-}p}$ εἰρήνη^{nafs} ὁ^{dafs} ἐμός^{rsafs} δίδωμι^{vipa1s} σύ$^{rpd\text{-}p}$ οὐ^{xo} καθώς^{bo} ὁ^{dnms} κόσμος^{nnms} δίδωμι^{vipa3s} ἐγώ$^{rpn\text{-}s}$ δίδωμι^{vipa1s} σύ$^{rpd\text{-}p}$ μή^{xo} ταράσσω^{vdpp3s} σύ$^{rpg\text{-}p}$ ὁ^{dnfs} καρδία^{nnfs} μηδέ^{c} δειλιάω^{vdpa3s}. **v.28** ἀκούω^{viaa2p} ὅτι^{c} ἐγώ$^{rpn\text{-}s}$ λέγω^{viaa1s} σύ$^{rpd\text{-}p}$ ὑπάγω^{vipa1s} καί^{c} ἔρχομαι^{vipn1s} πρός^{p} σύ$^{rpa\text{-}p}$ εἰ^{qo} ἀγαπάω^{viia2p} ἐγώ$^{rpa\text{-}s}$ χαίρω^{viao2p} ἄν^{xo} ὅτι^{c} λέγω^{viaa1s} πορεύομαι^{vipn1s} πρός^{p} ὁ^{dams} πατήρ^{nams} ὅτι^{c} ὁ^{dnms} πατήρ^{nnms} ἐγώ$^{rpg\text{-}s}$ μέγας^{anmsc} ἐγώ$^{rpg\text{-}s}$ εἰμί^{vipx3s}. **v.29** καί^{c} νῦν^{bo} λέγω^{vixa1s} σύ$^{rpd\text{-}p}$ πρίν^{bo} γίνομαι^{vnad} ἵνα^{c} ὅταν^{c} γίνομαι^{vsad3s} πιστεύω^{vsaa2p}. **v.30** οὐ^{xo} ἔτι^{bo} πολύς^{aanpn} λαλέω^{vifa1s} μετά^{p} σύ$^{rpg\text{-}p}$ ἔρχομαι^{vipn3s} γάρ^{c} ὁ^{dnms} ὁ^{dgms} κόσμος^{ngms} οὗτος^{rdgms} ἄρχων^{nnms} καί^{c} ἐν^{p} ἐγώ$^{rpd\text{-}s}$ οὐ^{xo} ἔχω^{vipa3s} οὐδείς^{aansn}. **v.31** ἀλλά^{c} ἵνα^{c} γινώσκω^{vsaa3s} ὁ^{dnms} κόσμος^{nnms} ὅτι^{c} ἀγαπάω^{vipa1s} ὁ^{dams} πατήρ^{nams} καί^{c} καθώς^{bo} ἐντέλλομαι^{viad3s} ἐγώ$^{rpd\text{-}s}$ ὁ^{dnms} πατήρ^{nnms} οὕτω^{bo} ποιέω^{vipa1s} ἐγείρω^{vdpe2p} ἄγω^{vspa1p} ἐντεῦθεν^{bo}. **15. v.1** ἐγώ$^{rpn\text{-}s}$ εἰμί^{vipx1s} ὁ^{dnfs} ἄμπελος^{nnfs} ὁ^{dnfs} ἀληθινός^{anfsn} καί^{c} ὁ^{dnms} πατήρ^{nnms} ἐγώ$^{rpg\text{-}s}$ ὁ^{dnms} γεωργός^{nnms} εἰμί^{vipx3s}. **v.2** πᾶς^{aansn} κλῆμα^{nans} ἐν^{p} ἐγώ$^{rpd\text{-}s}$ μή^{xo} φέρω^{vppaans} καρπός^{nams} αἴρω^{vipa3s} αὐτός^{rpans} καί^{c} πᾶς^{aansn} ὁ^{dans} καρπός^{nams} φέρω^{vppaans} καθαίρω^{vipa3s} αὐτός^{rpans} ἵνα^{c} πολύς^{aamsc} καρπός^{nams} φέρω^{vspa3s}. **v.3** ἤδη^{bo} σύ$^{rpn\text{-}p}$ καθαρός^{anmpn} εἰμί^{vipx2p} διά^{p} ὁ^{dams} λόγος^{nams} ὅς^{rrams} λαλέω^{vixa1s} σύ$^{rpd\text{-}p}$.

οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε. ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς 5
τὰ κλήματα. ὁ μένων ἐν ἐμοί, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρ-
πὸν πολύν, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. ἐὰν μή 6
τις μείνῃ ἐν ἐμοί, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα, καὶ ἐξηράνθη, καὶ
συνάγουσιν αὐτὰ καὶ εἰς πῦρ βάλλουσι, καὶ καίεται. ἐὰν μεί- 7
νητε ἐν ἐμοί, καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἐὰν θέλητε
αἰτήσεσθε, καὶ γενήσεται ὑμῖν. ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ 8
μου, ἵνα καρπὸν πολὺν φέρητε, καὶ γενήσεσθε ἐμοὶ μαθηταί.
καθὼς ἠγάπησέ με ὁ πατήρ, κἀγὼ ἠγάπησα ὑμᾶς, μείνατε ἐν 9
τῇ ἀγάπῃ τῇ ἐμῇ. ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ 10
ἀγάπῃ μου, καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα,
καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ 11
χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ. αὕτη 12
ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα
ὑμᾶς. μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν 13
αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. ὑμεῖς φίλοι μου ἐστέ, ἐὰν 14
ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν. οὐκέτι ὑμᾶς λέγω δούλους, 15
ὅτι ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ ὁ κύριος, ὑμᾶς δὲ εἴρηκα
φίλους, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ πατρός μου ἐγνώρισα ὑ-

---

v.4 μένω^{vdaa2p} ἐν^{p} ἐγώ$^{rpd\text{-}s}$ κἀγώ$^{rpn\text{-}s}$ ἐν^{p} σύ$^{rpd\text{-}p}$ καθώς^{bo} ὁ^{dnns} κλῆμα^{nnns} οὐ^{xo} δύναμαι^{vipn3s} καρπός^{nams} φέρω^{vnpa} ἀπό^{p} ἑαυτοῦ^{rxgms} ἐάν^{qo} μή^{xo} μένω^{vsaa3s} ἐν^{p} ὁ^{ddfs} ἄμπελος^{ndfs} οὕτω^{bo} οὐδέ^{bo} σύ$^{rpn\text{-}p}$ ἐάν^{qo} μή^{xo} ἐν^{p} ἐγώ$^{rpd\text{-}s}$ μένω^{vsaa2p}. **v.5** ἐγώ$^{rpn\text{-}s}$ εἰμί^{vipx1s} ὁ^{dnfs} ἄμπελος^{nnfs} σύ$^{rpn\text{-}p}$ ὁ^{dnnp} κλῆμα^{nnnp} ὁ^{dnms} μένω^{vppanms} ἐν^{p} ἐγώ$^{rpd\text{-}s}$ κἀγώ$^{rpn\text{-}s}$ ἐν^{p} αὐτός^{rpdms} οὗτος^{rdnms} φέρω^{vipa3s} καρπός^{nams} πολύς^{aamsn} ὅτι^{c} χωρίς^{bo} ἐγώ$^{rpg\text{-}s}$ οὐ^{xo} δύναμαι^{vipn2p} ποιέω^{vnpa} οὐδείς^{aansn}. **v.6** ἐάν^{qo} μή^{xo} τι-σρινμσ μένω^{vsaa3s} ἐν^{p} ἐγώ$^{rpd\text{-}s}$ βάλλω^{viap3s} ἔξω^{bo} ὡς^{bo} ὁ^{dnns} κλῆμα^{nnns} καί^{c} ξηραίνω^{viap3s} καί^{c} συνάγω^{vipa3p} αὐτός^{rpanp} καί^{c} εἰς^{p} πῦρ^{nans} βάλλω^{vipa3p} καί^{c} καίω^{vipp3s}. **v.7** ἐάν^{qo} μένω^{vsaa2p} ἐν^{p} ἐγώ$^{rpd\text{-}s}$ καί^{c} ὁ^{dnnp} ῥῆμα^{nnnp} ἐγώ$^{rpg\text{-}s}$ ἐν^{p} σύ$^{rpd\text{-}p}$ μένω^{vsaa3s} ὅς^{rrans} ἐάν^{qo} θέλω^{vspa2p} αἰτέω^{vifm2p} καί^{c} γίνομαι^{vifd3s} σύ$^{rpd\text{-}p}$. **v.8** ἐν^{p} οὗτος^{rddns} δοξάζω^{viap3s} ὁ^{dnms} πατήρ^{nnms} ἐγώ$^{rpg\text{-}s}$ ἵνα^{c} καρπός^{nams} πολύς^{aamsn} φέρω^{vspa2p} καί^{c} γίνομαι^{vifd2p} ἐγώ$^{rpd\text{-}s}$ μαθητής^{nnmp}. **v.9** καθώς^{bo} ἀγαπάω^{viaa3s} ἐγώ$^{rpa\text{-}s}$ ὁ^{dnms} πατήρ^{nnms} κἀγώ$^{rpn\text{-}s}$ ἀγαπάω^{viaa1s} σύ$^{rpa\text{-}p}$ μένω^{vdaa2p} ἐν^{p} ὁ^{ddfs} ἀγάπη^{ndfs} ὁ^{ddfs} ἐμός^{rsdfs}. **v.10** ἐάν^{qo} ὁ^{dafp} ἐντολή^{nafp} ἐγώ$^{rpg\text{-}s}$ τηρέω^{vsaa2p} μένω^{vifa2p} ἐν^{p} ὁ^{ddfs} ἀγάπη^{ndfs} ἐγώ$^{rpg\text{-}s}$ καθώς^{bo} ἐγώ$^{rpn\text{-}s}$ ὁ^{dafp} ἐντολή^{nafp} ὁ^{dgms} πατήρ^{ngms} ἐγώ$^{rpg\text{-}s}$ τηρέω^{vixa1s} καί^{c} μένω^{vipa1s} αὐτός^{rpgms} ἐν^{p} ὁ^{ddfs} ἀγάπη^{ndfs}. **v.11** οὗτος^{rdanp} λαλέω^{vixa1s} σύ$^{rpd\text{-}p}$ ἵνα^{c} ὁ^{dnfs} χαρά^{nnfs} ὁ^{dnfs} ἐμός^{rsnfs} ἐν^{p} σύ$^{rpd\text{-}p}$ μένω^{vsaa3s} καί^{c} εἰμί^{dnfs} χαρά^{nnfs} σύ$^{rpg\text{-}p}$ πληρόω^{vsap3s}. **v.12** οὗτος^{rdnfs} εἰμί^{vipx3s} ὁ^{dnfs} ἐντολή^{nnfs} ὁ^{dnfs} ἐμός^{rsnfs} ἵνα^{c} ἀγαπάω^{vspa2p} ἀλλήλων^{reamp} καθώς^{bo} ἀγαπάω^{viaa1s} σύ$^{rpa\text{-}p}$. **v.13** μέγας^{aafsc} οὗτος^{rdgfs} ἀγάπη^{nafs} οὐδείς^{anfsn} ἔχω^{vipa3s} ἵνα^{c} τι-σρινμσ ὁ^{dafs} ψυχή^{nafs} αὐτός^{rpgms} τίθημι^{vsaa3s} ὑπέρ^{p} ὁ^{dgmp} φίλος^{agmpn} αὐτός^{rpgms}. **v.14** σύ$^{rpn\text{-}p}$ φίλος^{anmpn} ἐγώ$^{rpg\text{-}s}$ εἰμί^{vipx2p} ἐάν^{qo} ποιέω^{vspa2p} ὅσος^{rcanp} ἐγώ$^{rpn\text{-}s}$ ἐντέλλομαι^{vipn1s} σύ$^{rpd\text{-}p}$.

16 μῖν. οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς, καὶ
ἔθηκα ὑμᾶς, ἵνα ὑμεῖς ὑπάγητε καὶ καρπὸν φέρητε, καὶ ὁ καρ-
πὸς ὑμῶν μένῃ, ἵνα ὅ τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί
17 μου, δῷ ὑμῖν. ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους.
18 εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν με-
19 μίσηκεν. εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει,
ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ
20 τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. μνημονεύετε τοῦ
λόγου οὗ ἐγὼ εἶπον ὑμῖν, Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου
αὐτοῦ. εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν, εἰ τὸν λόγον μου
21 ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. ἀλλὰ ταῦτα πάντα
ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμ-
22 ψαντά με. εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ
εἴχον, νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν.
23, 24 ὁ ἐμὲ μισῶν, καὶ τὸν πατέρα μου μισεῖ. εἰ τὰ ἔργα μὴ ἐποίησα
ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἴχον, νῦν
δὲ καὶ ἑωράκασι καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου.
25 ἀλλ᾽ ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν
26 ὅτι Ἐμίσησάν με δωρεάν. Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν
ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ

---

v.15 οὐκέτι^{bo} σύ$^{rpa\text{-}p}$ λέγω^{vipa1s} δοῦλος^{namp} ὅτι^{c} ὁ^{dnms} δοῦλος^{nnms} οὐ^{xo} οἶδα^{vixa3s} τίς^{rqans} ποιέω^{vipa3s} αὐτός^{rpgms} ὁ^{dnms} κύριος^{nnms} σύ$^{rpa\text{-}p}$ δέ^{c} λέγω^{vixa1s} φίλος^{aampn} ὅτι^{c} πᾶς^{aanpn} ὅς^{rranp} ἀκούω^{viaa1s} παρά^{p} ὁ^{dgms} πατήρ^{ngms} ἐγώ$^{rpg\text{-}s}$ γνωρίζω^{viaa1s} σύ$^{rpd\text{-}p}$. **v.16** οὐ^{xo} σύ$^{rpn\text{-}p}$ ἐγώ$^{rpa\text{-}s}$ ἐκλέγω^{viam2p} ἀλλά^{c} ἐγώ$^{rpn\text{-}s}$ ἐκλέγω^{viam1s} σύ$^{rpa\text{-}p}$ καί^{c} τίθημι^{viaa1s} σύ$^{rpa\text{-}p}$ ἵνα^{c} σύ$^{rpn\text{-}p}$ ὑπάγω^{vspa2p} καί^{c} καρπός^{nams} φέρω^{vspa2p} καί^{c} ὁ^{dnms} καρπός^{nnms} σύ$^{rpg\text{-}p}$ μένω^{vspa3s} ἵνα^{c} ὅς^{rrans} τι-σριανσ ἄν^{xo} αἰτέω^{vsaa2p} ὁ^{dams} πατήρ^{nams} ἐν^{p} ὁ^{ddns} ὄνομα^{ndns} ἐγώ$^{rpg\text{-}s}$ δίδωμι^{vsaa3s} σύ$^{rpd\text{-}p}$. **v.17** οὗτος^{rdanp} ἐντέλλομαι^{vipn1s} σύ$^{rpd\text{-}p}$ ἵνα^{c} ἀγαπάω^{vspa2p} ἀλλήλων^{reamp}. **v.18** εἰ^{qo} ὁ^{dnms} κόσμος^{nnms} σύ$^{rpa\text{-}p}$ μισέω^{vipa3s} γινώσκω^{vipa2p} ὅτι^{c} ἐγώ$^{rpa\text{-}s}$ πρῶτος^{bo} σύ$^{rpg\text{-}p}$ μισέω^{vixa3s}. **v.19** εἰ^{qo} ἐκ^{p} ὁ^{dgms} κόσμος^{ngms} εἰμί^{viix2p} ὁ^{dnms} κόσμος^{nnms} ἄν^{xo} ὁ^{dans} ἴδιος^{aansn} φιλέω^{viia3s} ὅτι^{c} δέ^{c} ἐκ^{p} ὁ^{dgms} κόσμος^{ngms} οὐ^{xo} εἰμί^{vipx2p} ἀλλά^{c} ἐγώ$^{rpn\text{-}s}$ ἐκλέγω^{viam1s} σύ$^{rpa\text{-}p}$ ἐκ^{p} ὁ^{dgms} κόσμος^{ngms} διά^{p} οὗτος^{rdans} μισέω^{vipa3s} σύ$^{rpa\text{-}p}$ ὁ^{dnms} κόσμος^{nnms}. **v.20** μνημονεύω^{vdpa2p} ὁ^{dgms} λόγος^{ngms} ὅς^{rrgms} ἐγώ$^{rpn\text{-}s}$ λέγω^{viaa1s} σύ$^{rpd\text{-}p}$ οὐ^{xo} εἰμί^{vipx3s} δοῦλος^{nnms} μέγας^{anmsc} ὁ^{dgms} κύριος^{ngms} αὐτός^{rpgms} εἰ^{qo} ἐγώ$^{rpa\text{-}s}$ διώκω^{viaa3p} καί^{c} σύ$^{rpa\text{-}p}$ διώκω^{vifa3p} εἰ^{qo} ὁ^{dams} λόγος^{nams} ἐγώ$^{rpg\text{-}s}$ τηρέω^{viaa3p} καί^{c} ὁ^{dams} ὑμέτερος^{rsams} τηρέω^{vifa3p}. **v.21** ἀλλά^{c} οὗτος^{rdanp} πᾶς^{aanpn} ποιέω^{vifa3p} σύ$^{rpd\text{-}p}$ διά^{p} ὁ^{dans} ὄνομα^{nans} ἐγώ$^{rpg\text{-}s}$ ὅτι^{c} οὐ^{xo} οἶδα^{vixa3p} ὁ^{dams} πέμπω^{vpaaams} ἐγώ$^{rpa\text{-}s}$. **v.22** εἰ^{qo} μή^{xo} ἔρχομαι^{viaa1s} καί^{c} λαλέω^{viaa1s} αὐτός^{rpdmp} ἁμαρτία^{nafs} οὐ^{xo} ἔχω^{viia3p} νῦν^{bo} δέ^{c} πρόφασις^{nafs} οὐ^{xo} ἔχω^{vipa3p} περί^{p} ὁ^{dgfs} ἁμαρτία^{ngfs} αὐτός^{rpgmp}. **v.23** ὁ^{dnms} ἐγώ$^{rpa\text{-}s}$ μισέω^{vppanms} καί^{c} ὁ^{dams} πατήρ^{nams} ἐγώ$^{rpg\text{-}s}$ μισέω^{vipa3s}. **v.24** εἰ^{qo} ὁ^{danp} ἔργον^{nanp} μή^{xo} ποιέω^{viaa1s} ἐν^{p} αὐτός^{rpdmp} ὅς^{rranp} οὐδείς^{anfsn} ἄλλος^{anmsn} ποιέω^{vixa3s} ἁμαρτία^{nafs} οὐ^{xo} ἔχω^{viia3p} νῦν^{bo} δέ^{c} καί^{c} ὁράω^{vixa3p} καί^{c} μισέω^{vixa3p} καί^{c} ἐγώ$^{rpa\text{-}s}$ καί^{c} ὁ^{dams} πατήρ^{nams} ἐγώ$^{rpg\text{-}s}$. **v.25** ἀλλά^{c} ἵνα^{c} πληρόω^{vsap3s} ὁ^{dnms} λόγος^{nnms} ὁ^{dnms} γράφω^{vpxpnms} ἐν^{p} ὁ^{ddms} νόμος^{ndms} αὐτός^{rpgmp} ὅτι^{c} μισέω^{viaa3p} ἐγώ$^{rpa\text{-}s}$ δωρεάν^{bo}.

παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ,
καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ᾽ ἀρχῆς μετ᾽ ἐμοῦ ἐστε. 27

Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. **16**, 2
ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς, ἀλλ᾽ ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας
ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ. καὶ ταῦτα ποιήσου- 3
σιν ὑμῖν, ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα οὐδὲ ἐμέ. ἀλλὰ ταῦτα 4
λελάληκα ὑμῖν, ἵνα ὅταν ἔλθῃ ἡ ὥρα, μνημονεύητε αὐτῶν, ὅτι
ἐγὼ εἶπον ὑμῖν. ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον, ὅτι μεθ᾽
ὑμῶν ἤμην. νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐ- 5
δεὶς ἐξ ὑμῶν ἐρωτᾷ με, Ποῦ ὑπάγεις· ἀλλ᾽ ὅτι ταῦτα λελάληκα 6
ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. ἀλλ᾽ ἐγὼ τὴν 7
ἀλήθειαν λέγω ὑμῖν, συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω, ἐὰν γὰρ
μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς, ἐὰν δὲ
πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς. καὶ ἐλθὼν ἐκεῖνος ἐλέγ- 8
ξει τὸν κόσμον περὶ ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ
κρίσεως, περὶ ἁμαρτίας μέν, ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ, περὶ 9, 10
δικαιοσύνης δέ, ὅτι πρὸς τὸν πατέρα μου ὑπάγω, καὶ οὐκ ἔτι
θεωρεῖτέ με, περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου 11
κέκριται. ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ᾽ οὐ δύνασθε βα- 12
στάζειν ἄρτι. ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ πνεῦμα τῆς ἀληθείας, 13
ὁδηγήσει ὑμᾶς εἰς πάσαν τὴν ἀλήθειαν, οὐ γὰρ λαλήσει ἀφ᾽

---

v.26 ὅταν^{c} δέ^{c} ἔρχομαι^{vsaa3s} ὁ^{dnms} παράκλητος^{nnms} ὅς^{rrams} ἐγώ$^{rpn-s}$ πέμπω^{vifa1s} σύ$^{rpd-p}$ παρά^{p} ὁ^{dgms} πατήρ^{ngms} ὁ^{dnns} πνεῦμα^{nnns} ὁ^{dgfs} ἀλήθεια^{ngfs} ὅς^{rrnns} παρά^{p} ὁ^{dgms} πατήρ^{ngms} ἐκπορεύομαι^{vipn3s} ἐκεῖνος^{rdnms} μαρτυρέω^{vifa3s} περί^{p} ἐγώ$^{rpg-s}$. **v.27** καί^{c} σύ$^{rpn-p}$ δέ^{c} μαρτυρέω^{vipa2p} ὅτι^{c} ἀπό^{p} ἀρχή^{ngfs} μετά^{p} ἐγώ$^{rpg-s}$ εἰμί^{vipx2p}. **16. v.1** οὗτος^{rdanp} λαλέω^{vixa1s} σύ$^{rpd-p}$ ἵνα^{c} μή^{xo} σκανδαλίζω^{vsap2p}. **v.2** ἀποσυνάγωγος^{aampn} ποιέω^{vifa3p} σύ$^{rpa-p}$ ἀλλά^{c} ἔρχομαι^{vipn3s} ὥρα^{nnfs} ἵνα^{c} πᾶς^{anmsn} ὁ^{dnms} ἀποκτείνω^{vpaanms} σύ$^{rpa-p}$ δοκέω^{vsaa3s} λατρεία^{nafs} προσφέρω^{vnpa} ὁ^{ddms} θεός^{ndms}. **v.3** καί^{c} οὗτος^{rdanp} ποιέω^{vifa3p} σύ$^{rpd-p}$ ὅτι^{c} οὐ^{xo} γινώσκω^{viaa3p} ὁ^{dams} πατήρ^{nams} οὐδέ^{bo} ἐγώ$^{rpa-s}$. **v.4** ἀλλά^{c} οὗτος^{rdanp} λαλέω^{vixa1s} σύ$^{rpd-p}$ ἵνα^{c} ὅταν^{c} ἔρχομαι^{vsaa3s} ὁ^{dnfs} ὥρα^{nnfs} μνημονεύω^{vspa2p} αὐτός^{rpgnp} ὅτι^{c} ἐγώ$^{rpn-s}$ λέγω^{viaa1s} σύ$^{rpd-p}$ οὗτος^{rdanp} δέ^{c} σύ$^{rpd-p}$ ἐκ^{p} ἀρχή^{ngfs} οὐ^{xo} λέγω^{viaa1s} ὅτι^{c} μετά^{p} σύ$^{rpg-p}$ εἰμί^{viix1s}. **v.5** νῦν^{bo} δέ^{c} ὑπάγω^{vipa1s} πρός^{p} ὁ^{dams} πέμπω^{vpaaams} ἐγώ$^{rpa-s}$ καί^{c} οὐδείς^{anfsn} ἐκ^{p} σύ$^{rpg-p}$ ἐρωτάω^{vipa3s} ἐγώ$^{rpa-s}$ ποῦ^{xo} ὑπάγω^{vipa2s}. **v.6** ἀλλά^{c} ὅτι^{c} οὗτος^{rdanp} λαλέω^{vixa1s} σύ$^{rpd-p}$ ὁ^{dnfs} λύπη^{nnfs} πληρόω^{vixa3s} σύ$^{rpg-p}$ ὁ^{dafs} καρδία^{nafs}. **v.7** ἀλλά^{c} ἐγώ$^{rpn-s}$ ὁ^{dafs} ἀλήθεια^{nafs} λέγω^{vipa1s} σύ$^{rpd-p}$ συμφέρω^{vipa3s} σύ$^{rpd-p}$ ἵνα^{c} ἐγώ$^{rpn-s}$ ἀπέρχομαι^{vsaa1s} ἐάν^{qo} γάρ^{c} μή^{xo} ἀπέρχομαι^{vsaa1s} ὁ^{dnms} παράκλητος^{nnms} οὐ^{xo} ἔρχομαι^{vifd3s} πρός^{p} σύ$^{rpa-p}$ ἐάν^{qo} δέ^{c} πορεύομαι^{vsao1s} πέμπω^{vifa1s} αὐτός^{rpams} πρός^{p} σύ$^{rpa-p}$. **v.8** καί^{c} ἔρχομαι^{vpaanms} ἐκεῖνος^{rdnms} ἐλέγχω^{vifa3s} ὁ^{dams} κόσμος^{nams} περί^{p} ἁμαρτία^{ngfs} καί^{c} περί^{p} δικαιοσύνη^{ngfs} καί^{c} περί^{p} κρίσις^{ngfs}. **v.9** περί^{p} ἁμαρτία^{ngfs} μέν^{xo} ὅτι^{c} οὐ^{xo} πιστεύω^{vipa3p} εἰς^{p} ἐγώ$^{rpa-s}$. **v.10** περί^{p} δικαιοσύνη^{ngfs} δέ^{c} ὅτι^{c} πρός^{p} ὁ^{dams} πατήρ^{nams} ἐγώ$^{rpg-s}$ ὑπάγω^{vipa1s} καί^{c} οὐ^{xo} ἔτι^{bo} θεωρέω^{vipa2p} ἐγώ$^{rpa-s}$. **v.11** περί^{p} δέ^{c} κρίσις^{ngfs} ὅτι^{c} ὁ^{dnms} ἄρχων^{nnms} ὁ^{dgms} κόσμος^{ngms} οὗτος^{rdgms} κρίνω^{vixp3s}. **v.12** ἔτι^{bo} πολύς^{aanpn} ἔχω^{vipa1s} λέγω^{vnpa} σύ$^{rpd-p}$ ἀλλά^{c} οὐ^{xo} δύναμαι^{vipn2p} βαστάζω^{vnpa} ἄρτι^{bo}.

ἑαυτοῦ, ἀλλ᾽ ὅσα ἂν ἀκούσῃ λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγ-
14 γελεῖ ὑμῖν. ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ
15 ἀναγγελεῖ ὑμῖν. πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστι, διὰ τοῦτο
16 εἶπον, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. μικρὸν
καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με, ὅτι ἐγὼ
17 ὑπάγω πρὸς τὸν πατέρα. εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ
πρὸς ἀλλήλους, Τί ἐστι τοῦτο ὃ λέγει ἡμῖν, Μικρὸν καὶ οὐ θεω-
ρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με· καὶ ὅτι Ἐγὼ ὑπάγω
18 πρὸς τὸν πατέρα· ἔλεγον οὖν, Τοῦτο τί ἐστιν ὃ λέγει, τὸ μι-
19 κρόν· οὐκ οἴδαμεν τί λαλεῖ. ἔγνω οὖν ὁ Ἰησοῦς ὅτι ἤθελον
αὐτὸν ἐρωτᾶν, καὶ εἶπεν αὐτοῖς, Περὶ τούτου ζητεῖτε μετ᾽ ἀλλήλων, ὅτι εἶπον, Μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν
20 καὶ ὄψεσθέ με· ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι κλαύσετε καὶ θρη-
νήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται, ὑμεῖς δὲ λυπηθήσεσθε,
21 ἀλλ᾽ ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. ἡ γυνὴ ὅταν τίκτῃ λύ-
πην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς, ὅταν δὲ γεννήσῃ τὸ παιδίον,
οὐκ ἔτι μνημονεύει τῆς θλίψεως, διὰ τὴν χαρὰν ὅτι ἐγεννήθη
22 ἄνθρωπος εἰς τὸν κόσμον. καὶ ὑμεῖς οὖν λύπην μὲν νῦν ἔχετε,
πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν
23 χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ᾽ ὑμῶν. καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ

---

v.13 ὅταν^{c} δέ^{c} ἔρχομαι^{vsaa3s} ἐκεῖνος^{rdnms} ὁ^{dnns} πνεῦμα^{nnns} ὁ^{dgfs} ἀλήθεια^{ngfs} ὁδηγέω^{vifa3s} σύ$^{rpa-p}$ εἰς^{p} πᾶς^{aafsn} ὁ^{dafs} ἀλήθεια^{nafs} οὐ^{xo} γάρ^{c} λαλέω^{vifa3s} ἀπό^{p} ἑαυτοῦ^{rxgms} ἀλλά^{c} ὅσος^{rcanp} ἄν^{xo} ἀκούω^{vsaa3s} λαλέω^{vifa3s} καί^{c} ὁ^{danp} ἔρχομαι^{vppnanp} ἀναγγέλλω^{vifa3s} σύ$^{rpd-p}$. **v.14** ἐκεῖνος^{rdnms} ἐγώ$^{rpa-s}$ δοξάζω^{vifa3s} ὅτι^{c} ἐκ^{p} ὁ^{dgms} ἐμός^{rpg-s} λαμβάνω^{vifd3s} καί^{c} ἀναγγέλλω^{vifa3s} σύ$^{rpd-p}$. **v.15** πᾶς^{annpn} ὅσος^{rcanp} ἔχω^{vipa3s} ὁ^{dnms} πατήρ^{nnms} ἐμός^{rsnnp} εἰμί^{vipx3s} διά^{p} οὗτος^{rdans} λέγω^{viaa1s} ὅτι^{c} ἐκ^{p} ὁ^{dgms} ἐμός^{rpg-s} λαμβάνω^{vifd3s} καί^{c} ἀναγγέλλω^{vifa3s} σύ$^{rpd-p}$. **v.16** μικρός^{aansn} καί^{c} ὅς^{xo} θεωρέω^{vipa2p} ἐγώ$^{rpa-s}$ καί^{c} πάλιν^{bo} μικρός^{aansn} καί^{c} ὁράω^{vifd2p} ἐγώ$^{rpa-s}$ ὅτι^{c} ἐγώ$^{rpn-s}$ ὑπάγω^{vipa1s} πρός^{p} ὁ^{dams} πατήρ^{nams}. **v.17** λέγω^{viaa3p} οὖν^{c} ἐκ^{p} ὁ^{dgmp} μαθητής^{ngmp} αὐτός^{rpgms} πρός^{p} ἀλλήλων^{reamp} τίς^{rqnns} εἰμί^{vipx3s} οὗτος^{rdnns} ὅς^{rrans} λέγω^{vipa3s} ἐγώ$^{rpd-p}$ μικρός^{aansn} καί^{c} οὐ^{xo} θεωρέω^{vipa2p} ἐγώ$^{rpa-s}$ καί^{c} πάλιν^{bo} μικρός^{aansn} καί^{c} ὁράω^{vifd2p} ἐγώ$^{rpa-s}$ καί^{c} ὅτι^{c} ἐγώ$^{rpn-s}$ ὑπάγω^{vipa1s} πρός^{p} ὁ^{dams} πατήρ^{nams}. **v.18** λέγω^{viia3p} οὖν^{c} οὗτος^{rdnns} τίς^{rqnns} εἰμί^{vipx3s} ὅς^{rrans} λέγω^{vipa3s} ὁ^{dans} μικρός^{aansn} οὐ^{xo} οἶδα^{vixa1p} τίς^{rqans} λαλέω^{vipa3s}. **v.19** γινώσκω^{viaa3s} οὖν^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὅτι^{c} θέλω^{viia3p} αὐτός^{rpams} ἐρωτάω^{vnpa} καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdmp} περί^{p} οὗτος^{rdgms} ζητέω^{vipa2p} μετά^{p} ἀλλήλων^{regmp} ὅτι^{c} λέγω^{viaa1s} μικρός^{aansn} καί^{c} οὐ^{xo} θεωρέω^{vipa2p} ἐγώ$^{rpa-s}$ καί^{c} πάλιν^{bo} μικρός^{aansn} καί^{c} ὁράω^{vifd2p} ἐγώ$^{rpa-s}$. **v.20** ἀμήνth ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-p}$ ὅτι^{c} κλαίω^{vifa2p} καί^{c} θρηνέω^{vifa2p} σύ$^{rpn-p}$ ὁ^{dnms} δέ^{c} κόσμος^{nnms} χαίρω^{vifo3s} σύ$^{rpn-p}$ δέ^{c} λυπέω^{vifp2p} ἀλλά^{c} ὁ^{dnfs} λύπη^{nnfs} σύ$^{rpg-p}$ εἰς^{p} χαρά^{nafs} γίνομαι^{vifd3s}. **v.21** ὁ^{dnfs} γυνή^{nnfs} ὅταν^{c} τίκτω^{vspa3s} λύπη^{nafs} ἔχω^{vipa3s} ὅτι^{c} ἔρχομαι^{viaa3s} ὁ^{dnfs} ὥρα^{nnfs} αὐτός^{rpgfs} ὅταν^{c} δέ^{c} γεννάω^{vsaa3s} ὁ^{dans} παιδίον^{nans} οὐ^{xo} ἔτι^{bo} μνημονεύω^{vipa3s} ὁ^{dgfs} θλῖψις^{ngfs} διά^{p} ὁ^{dafs} χαρά^{nafs} ὅτι^{c} γεννάω^{viap3s} ἄνθρωπος^{nnms} εἰς^{p} ὁ^{dams} κόσμος^{nams}. **v.22** καί^{c} σύ$^{rpn-p}$ οὖν^{c} λύπη^{nafs} μέν^{xo} νῦν^{bo} ἔχω^{vipa2p} πάλιν^{bo} δέ^{c} ὁράω^{vifd1s} σύ$^{rpa-p}$ καί^{c} χαίρω^{vifo3s} σύ$^{rpg-p}$ ὁ^{dnfs} καρδία^{nnfs} καί^{c} ὁ^{dafs} χαρά^{nafs} σύ$^{rpg-p}$ οὐδείς^{anfsn} αἴρω^{vipa3s} ἀπό^{p} σύ$^{rpg-p}$.

ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν. ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὅσα ἂν
αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν. ἕως ἄρτι 24
οὐκ ᾐτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου, αἰτεῖτε, καὶ λήψεσθε,
ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη. Ταῦτα ἐν παροιμίαις λε- 25
λάληκα ὑμῖν, ἔρχεται ὥρα ὅτε οὐκ ἔτι ἐν παροιμίαις λαλήσω
ὑμῖν, ἀλλὰ παρρησίᾳ περὶ τοῦ πατρὸς ἀναγγελῶ ὑμῖν. ἐν ἐ- 26
κείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε, καὶ οὐ λέγω ὑμῖν
ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα περὶ ὑμῶν, αὐτὸς γὰρ ὁ πατὴρ 27
φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπιστεύκατε ὅτι
ἐγὼ παρὰ τοῦ Θεοῦ ἐξῆλθον. ἐξῆλθον παρὰ τοῦ πατρός, καὶ 28
ἐλήλυθα εἰς τὸν κόσμον, πάλιν ἀφίημι τὸν κόσμον, καὶ πορεύ-
ομαι πρὸς τὸν πατέρα. λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, Ἴδε 29
νῦν παρρησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδεμίαν λέγεις. νῦν οἴ- 30
δαμεν ὅτι οἶδας πάντα, καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ, ἐν
τούτῳ πιστεύομεν ὅτι ἀπὸ Θεοῦ ἐξῆλθες. ἀπεκρίθη αὐτοῖς ὁ 31
Ἰησοῦς, Ἄρτι πιστεύετε· ἰδού, ἔρχεται ὥρα καὶ νῦν ἐλήλυθεν, 32
ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια, καὶ ἐμὲ μόνον ἀφῆτε, καὶ
οὐκ εἰμὶ μόνος, ὅτι ὁ πατὴρ μετ' ἐμοῦ ἐστι. ταῦτα λελάληκα 33
ὑμῖν, ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε. ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε,
ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.

Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἐπῆρε τοὺς ὀφθαλμοὺς αὐτοῦ **17**

---

v.23 καί^{c} ἐν^{p} ἐκεῖνος^{rddfs} ὁ^{ddfs} ἡμέρα^{ndfs} ἐγώ$^{rpa-s}$ οὐ^{xo} ἐρωτάω^{vifa2p} οὐδείς^{aansn} ἀμήνth ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-p}$ ὅτι^{c} ὅσος^{rcanp} ἄν^{xo} αἰτέω^{vsaa2p} ὁ^{dams} πατήρ^{nams} ἐν^{p} ὁ^{ddns} ὄνομα^{ndns} ἐγώ$^{rpg-s}$ δίδωμι^{vifa3s} σύ$^{rpd-p}$. **v.24** ἕως^{c} ἄρτι^{bo} οὐ^{xo} αἰτέω^{viaa2p} οὐδείς^{aansn} ἐν^{p} ὁ^{ddns} ὄνομα^{ndns} ἐγώ$^{rpg-s}$ αἰτέω^{vdpa2p} καί^{c} λαμβάνω^{vifd2p} ἵνα^{c} ὁ^{dnfs} χαρά^{nnfs} σύ$^{rpg-p}$ εἰμί^{vspx3s} πληρόω^{vpxpnfs}. **v.25** οὗτος^{rdanp} ἐν^{p} παροιμία^{ndfp} λαλέω^{vixa1s} σύ$^{rpd-p}$ ἔρχομαι^{vipn3s} ὥρα^{nnfs} ὅτε^{bo} οὐ^{xo} ἔτι^{bo} ἐν^{p} παροιμία^{ndfp} λαλέω^{vifa1s} σύ$^{rpd-p}$ ἀλλά^{c} παρρησία^{ndfs} περί^{p} ὁ^{dgms} πατήρ^{ngms} ἀναγγέλλω^{vifa1s} σύ$^{rpd-p}$. **v.26** ἐν^{p} ἐκεῖνος^{rddfs} ὁ^{ddfs} ἡμέρα^{ndfs} ἐν^{p} ὁ^{ddns} ὄνομα^{ndns} ἐγώ$^{rpg-s}$ αἰτέω^{vifm2p} καί^{c} οὐ^{xo} λέγω^{vipa1s} σύ$^{rpd-p}$ ὅτι^{c} ἐγώ$^{rpn-s}$ ἐρωτάω^{vifa1s} ὁ^{dams} πατήρ^{nams} περί^{p} σύ$^{rpg-p}$. **v.27** αὐτός^{rpnms} γάρ^{c} ὁ^{dnms} πατήρ^{nnms} φιλέω^{vipa3s} σύ$^{rpa-p}$ ὅτι^{c} σύ$^{rpn-p}$ ἐγώ$^{rpa-s}$ φιλέω^{vixa2p} καί^{c} πιστεύω^{vixa2p} ὅτι^{c} ἐγώ$^{rpn-s}$ παρά^{p} ὁ^{dgms} θεός^{ngms} ἐξέρχομαι^{viaa1s}. **v.28** ἐξέρχομαι^{viaa1s} παρά^{p} ὁ^{dgms} πατήρ^{ngms} καί^{c} ἔρχομαι^{vixa1s} εἰς^{p} ὁ^{dams} κόσμος^{nams} πάλιν^{bo} ἀφίημι^{vipa1s} ὁ^{dams} κόσμος^{nams} καί^{c} πορεύομαι^{vipn1s} πρός^{p} ὁ^{dams} πατήρ^{nams}. **v.29** λέγω^{vipa3p} αὐτός^{rpdms} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} ἴδε^{i} νῦν^{bo} παρρησία^{ndfs} λαλέω^{vipa2s} καί^{c} παροιμία^{nafs} οὐδείς^{aafsn} λέγω^{vipa2s}. **v.30** νῦν^{bo} οἶδα^{vixa1p} ὅτι^{c} οἶδα^{vixa2s} πᾶς^{aanpn} καί^{c} οὐ^{xo} χρεία^{nafs} ἔχω^{vipa2s} ἵνα^{c} τίς^{rinms} σύ$^{rpa-s}$ ἐρωτάω^{vspa3s} ἐν^{p} οὗτος^{rddns} πιστεύω^{vipa1p} ὅτι^{c} ἀπό^{p} θεός^{ngms} ἐξέρχομαι^{viaa2s}. **v.31** ἀποκρίνομαι^{viad3s} αὐτός^{rpdmp} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἄρτι^{bo} πιστεύω^{vipa2p}. **v.32** ἰδού^{vdaa2s} ἔρχομαι^{vipn3s} ὥρα^{nnfs} καί^{c} νῦν^{bo} ἔρχομαι^{vixa3s} ἵνα^{c} σκορπίζω^{vsap2p} ἕκαστος^{anmsn} εἰς^{p} ὁ^{danp} ἴδιος^{aanpn} καί^{c} ἐγώ$^{rpa-s}$ μόνος^{aamsn} ἀφίημι^{vsaa2p} καί^{c} οὐ^{xo} εἰμί^{vipx1s} μόνος^{anmsn} ὅτι^{c} ὁ^{dnms} πατήρ^{nnms} μετά^{p} ἐγώ$^{rpg-s}$ εἰμί^{vipx3s}. **v.33** οὗτος^{rdanp} λαλέω^{vixa1s} σύ$^{rpd-p}$ ἵνα^{c} ἐν^{p} ἐγώ$^{rpd-s}$ εἰρήνη^{nafs} ἔχω^{vspa2p} ἐν^{p} ὁ^{ddms} κόσμος^{ndms} θλῖψις^{nafs} ἔχω^{vifa2p} ἀλλά^{c} θαρσέω^{vdpa2p} ἐγώ$^{rpn-s}$ νικάω^{vixa1s} ὁ^{dams} κόσμος^{nams}.

εἰς τὸν οὐρανόν, καὶ εἶπε, Πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου
2 τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε, καθὼς ἔδωκας αὐτῷ
ἐξουσίαν πάσης σαρκός, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δώσῃ αὐτοῖς
3 ζωὴν αἰώνιον. αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε
τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.
4 ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς, τὸ ἔργον ετελείωσα ὃ δέδωκάς μοι
5 ἵνα ποιήσω. καὶ νῦν δόξασόν με σύ, πάτερ, παρὰ σεαυτῷ τῇ
6 δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. ἐφανέρωσά
σου τὸ ὄνομα τοῖς ἀνθρώποις οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου,
σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας, καὶ τὸν λόγον σου τετή-
7 ρηκασι. νῦν ἔγνωκαν ὅτι πάντα ὅσα δέδωκάς μοι, παρὰ σοῦ
8 ἐστίν, ὅτι τὰ ῥήματα ἃ δέδωκάς μοι, δέδωκα αὐτοῖς, καὶ αὐτοὶ
ἔλαβον, καὶ ἔγνωσαν ἀληθῶς ὅτι παρὰ σοῦ ἐξῆλθον, καὶ ἐπί-
9 στευσαν ὅτι σύ με ἀπέστειλας. ἐγὼ περὶ αὐτῶν ἐρωτῶ, οὐ περὶ
τοῦ κόσμου ἐρωτῶ, ἀλλὰ περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσι,
10 καὶ τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά, καὶ δεδόξασμαι ἐν
11 αὐτοῖς. καὶ οὐκ �έτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ
εἰσί, και ἐγὼ πρός σε ἔρχομαι. πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν
τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι, ἵνα ὦσιν ἓν, καθὼς ἡμεῖς.
12 ὅτε ἤμην μετ᾽ αὐτῶν ἐν τῷ κόσμῳ, ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ

---

17. v.1 οὗτος^{rdanp} λαλέω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} καί^{c} ἐπαίρω^{viaa3s} ὁ^{damp} ὀφθαλμός^{namp} αὐτός^{rpgms} εἰς^{p} ὁ^{dams} οὐρανός^{nams} καί^{c} λέγω^{viaa3s} πατήρ^{nvms} ἔρχομαι^{vixa3s} ὁ^{dnfs} ὥρα^{nnfs} δοξάζω^{vdaa2s} σύ$^{rpg-s}$ ὁ^{dams} υἱός^{nams} ἵνα^{c} καί^{c} ὁ^{dnms} υἱός^{nnms} σύ$^{rpg-s}$ δοξάζω^{vsaa3s} σύ$^{rpa-s}$. **v.2** καθώς^{bo} δίδωμι^{viaa2s} αὐτός^{rpdms} ἐξουσία^{nafs} πᾶς^{agfsn} σάρξ^{ngfs} ἵνα^{c} πᾶς^{aansn} ὅς^{rrans} δίδωμι^{vixa2s} αὐτός^{rpdms} δίδωμι^{vsaa3s} αὐτός^{rpdmp} ζωή^{nafs} αἰώνιος^{aafsn}. **v.3** οὗτος^{rdnfs} δέ^{c} εἰμί^{vipx3s} ὁ^{dnfs} αἰώνιος^{anfsn} ζωή^{nnfs} ἵνα^{c} γινώσκω^{vspa3p} σύ$^{rpa-s}$ ὁ^{dams} μόνος^{aamsn} ἀληθινός^{aamsn} θεός^{nams} καί^{c} ὅς^{rrams} ἀποστέλλω^{viaa2s} Ἰησοῦς^{nams} Χριστός^{nams}. **v.4** ἐγώ$^{rpn-s}$ σύ$^{rpa-s}$ δοξάζω^{viaa1s} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs} ὁ^{dans} ἔργον^{nans} τελειόω^{viaa1s} ὅς^{rrans} δίδωμι^{vixa2s} ἐγώ$^{rpd-s}$ ἵνα^{c} ποιέω^{vsaa1s}. **v.5** καί^{c} νῦν^{bo} δοξάζω^{vdaa2s} ἐγώ$^{rpa-s}$ σύ$^{rpn-s}$ πατήρ^{nvms} παρά^{p} σεαυτοῦ^{rxdms} ὁ^{ddfs} δόξα^{ndfs} ὅς^{rrdfs} ἔχω^{viia1s} πρό^{p} ὁ^{dgms} ὁ^{dams} κόσμος^{nams} εἰμί^{vnpx} παρά^{p} σύ$^{rpd-s}$. **v.6** φανερόω^{viaa1s} σύ$^{rpg-s}$ ὁ^{dans} ὄνομα^{nans} ὁ^{ddmp} ἄνθρωπος^{ndmp} ὅς^{rramp} δίδωμι^{vixa2s} ἐγώ$^{rpd-s}$ ἐκ^{p} ὁ^{dgms} κόσμος^{ngms} σύ^{rsnmp} εἰμί^{viix3p} καί^{c} ἐγώ$^{rpd-s}$ αὐτός^{rpamp} δίδωμι^{vixa2s} καί^{c} ὁ^{dams} λόγος^{nams} σύ$^{rpg-s}$ τηρέω^{vixa3p}. **v.7** νῦν^{bo} γινώσκω^{vixa3p} ὅτι^{c} πᾶς^{annpn} ὅσος^{rcanp} δίδωμι^{vixa2s} ἐγώ$^{rpd-s}$ παρά^{p} σύ$^{rpg-s}$ εἰμί^{vipx3s}. **v.8** ὅτι^{c} ὁ^{danp} ῥῆμα^{nanp} ὅς^{rranp} δίδωμι^{vixa2s} ἐγώ$^{rpd-s}$ δίδωμι^{vixa1s} αὐτός^{rpdmp} καί^{c} αὐτός^{rpnmp} λαμβάνω^{viaa3p} καί^{c} γινώσκω^{viaa3p} ἀληθῶς^{bo} ὅτι^{c} παρά^{p} σύ$^{rpg-s}$ ἐξέρχομαι^{viaa1s} καί^{c} πιστεύω^{viaa3p} ὅτι^{c} σύ$^{rpn-s}$ ἐγώ$^{rpa-s}$ ἀποστέλλω^{viaa2s}. **v.9** ἐγώ$^{rpn-s}$ περί^{p} αὐτός^{rpgmp} ἐρωτάω^{vipa1s} οὐ^{xo} περί^{p} ὁ^{dgms} κόσμος^{ngms} ἐρωτάω^{vipa1s} ἀλλά^{c} περί^{p} ὅς^{rrgmp} δίδωμι^{vixa2s} ἐγώ$^{rpd-s}$ ὅτι^{c} σύ$^{rpd-s}$ εἰμί^{vipx3p}. **v.10** καί^{c} ὁ^{dnnp} ἐμός^{rsnnp} πᾶς^{annpn} σός^{rsnnp} εἰμί^{vipx3s} καί^{c} ὁ^{dnnp} σός^{rsnnp} ἐμός^{rsnnp} καί^{c} δοξάζω^{vixp1s} ἐν^{p} αὐτός^{rpdmp}. **v.11** καί^{c} οὐ^{xo} ἔτι^{bo} εἰμί^{vipx1s} ἐν^{p} ὁ^{ddms} κόσμος^{ndms} καί^{c} οὗτος^{rdnmp} ἐν^{p} ὁ^{ddms} κόσμος^{ndms} εἰμί^{vipx3p} καί^{c} ἐγώ$^{rpn-s}$ πρός^{p} σύ$^{rpa-s}$ ἔρχομαι^{vipn1s} πατήρ^{nvms} ἅγιος^{avmsn} τηρέω^{vdaa2s} αὐτός^{rpamp} ἐν^{p} ὁ^{ddns} ὄνομα^{ndns} σύ$^{rpg-s}$ ὅς^{rramp} δίδωμι^{vixa2s} ἐγώ$^{rpd-s}$ ἵνα^{c} εἰμί^{vspx3p} εἷς^{nnns} καθώς^{bo} ἐγώ$^{rpn-p}$.

ὀνόματί σου, οὓς δέδωκάς μοι, ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν
ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ γραφὴ πληρωθῇ. 13
νῦν δὲ πρός σε ἔρχομαι, καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ, ἵνα
ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν αὐτοῖς. 14 ἐγὼ δέ-
δωκα αὐτοῖς τὸν λόγον σου, καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς, ὅτι
οὐκ εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου.
οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ᾽ ἵνα τηρήσῃς 15
λυσαν αὐτούς, μηδὲν εὑρίσκοντες τὸ πῶς κολάσωνται αὐτούς,
διὰ τὸν λαόν, ὅτι πάντες ἐδόξαζον τὸν Θεὸν ἐπὶ τῷ γεγονότι.
ἐτῶν γὰρ ἦν πλειόνων τεσσαράκοντα ὁ ἄνθρωπος ἐφ᾽ ὃν ἐγεγό- 22
νει τὸ σημεῖον τοῦτο τῆς ἰάσεως. Ἀπολυθέντες δὲ ἦλθον πρὸς 23
τοὺς ἰδίους, καὶ ἀπήγγειλαν ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ
οἱ πρεσβύτεροι εἶπον. οἱ δὲ ἀκούσαντες ὁμοθυμαδὸν ἦραν 24
φωνὴν πρὸς τὸν Θεόν, καὶ εἶπον, Δέσποτα, σὺ ὁ Θεὸς ὁ ποι-
ήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα
τὰ ἐν αὐτοῖς, ὁ διὰ στόματος Δαβὶδ τοῦ παιδός σου εἰπών, Ἱ- 25
νατί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά. παρέστησαν 26
οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ
κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ, συνήχθησαν 27
γὰρ ἐπ᾽ ἀληθείας ἐπὶ τὸν ἅγιον παῖδά σου Ἰησοῦν, ὃν ἔχρισας,
Ἡρῴδης τε καὶ Πόντιος Πιλάτος, σὺν ἔθνεσι καὶ λαοῖς Ἰσραήλ,
ποιῆσαι ὅσα ἡ χείρ σου καὶ ἡ βουλή σου προώρισε γενέσθαι. 28
καὶ τὰ νῦν, Κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ δὸς τοῖς 29
δούλοις σου μετὰ παρρησίας πάσης λαλεῖν τὸν λόγον σου, ἐν 30
τῷ τὴν χεῖρά σου ἐκτείνειν σε εἰς ἴασιν, καὶ σημεῖα καὶ τέρατα
γίνεσθαι διὰ τοῦ ὀνόματος τοῦ ἁγίου παιδός σου Ἰησοῦ. καὶ 31
δεηθέντων αὐτῶν ἐσαλεύθη ὁ τόπος ἐν ᾧ ἦσαν συνηγμένοι, καὶ

---

v.20 οὐˣᵒ δύναμαιᵛⁱᵖⁿ¹ᵖ γάρᶜ ἐγώʳᵖⁿ⁻ᵖ ὅςʳʳᵃⁿᵖ ὁράωᵛⁱᵃᵃ¹ᵖ καίᶜ ἀκούωᵛⁱᵃᵃ¹ᵖ μήˣᵒ λαλέωᵛⁿᵖᵃ.
v.21 ὁᵈⁿᵐᵖ δέᶜ προσαπειλέωᵛᵖᵃᵐⁿᵐᵖ ἀπολύωᵛⁱᵃᵃ³ᵖ αὐτόςʳᵖᵃᵐᵖ μηδείςᵃᵃⁿˢⁿ εὑρίσκωᵛᵖᵖᵃⁿᵐᵖ
ὁᵈᵃⁿˢ πῶςᵇᵒ κολάζωᵛˢᵃᵐ³ᵖ αὐτόςʳᵖᵃᵐᵖ διάᵖ ὁᵈᵃᵐˢ λαόςⁿᵃᵐˢ ὅτιᶜ πᾶςᵃⁿᵐᵖⁿ δοξάζωᵛⁱⁱᵃ³ᵖ ὁᵈᵃᵐˢ
θεόςⁿᵃᵐˢ ἐπίᵖ ὁᵈᵈⁿˢ γίνομαιᵛᵖˣᵃᵈⁿˢ. **v.22** ἔτοςⁿᵍⁿᵖ γάρᶜ εἰμίᵛⁱⁱˣ³ˢ πολύςᵃᵍⁿᵖᶜ τεσσεράκοντα^{tn}
ὁᵈⁿᵐˢ ἄνθρωποςⁿⁿᵐˢ ἐπίᵖ ὅςʳʳᵃᵐˢ γίνομαιᵛⁱʸᵃ³ˢ ὁᵈⁿⁿˢ σημεῖονⁿⁿⁿˢ οὗτοςʳᵈⁿⁿˢ ὁᵈᵍᶠˢ ἴασιςⁿᵍᶠˢ.
v.23 ἀπολύωᵛᵖᵃᵖⁿᵐᵖ δέᶜ ἔρχομαιᵛⁱᵃᵃ³ᵖ πρόςᵖ ὁᵈᵃᵐᵖ ἴδιοςᵃᵃᵐᵖⁿ καίᶜ ἀπαγγέλλωᵛⁱᵃᵃ³ᵖ ὅσοςʳᶜᵃⁿᵖ
πρόςᵖ αὐτόςʳᵖᵃᵐᵖ ὁᵈⁿᵐᵖ ἀρχιερεύςⁿⁿᵐᵖ καίᶜ ὁᵈⁿᵐᵖ πρεσβύτεροςᵃⁿᵐᵖⁿ λέγωᵛⁱᵃᵃ³ᵖ. **v.24** ὁᵈⁿᵐᵖ
δέᶜ ἀκούωᵛᵖᵃᵃⁿᵐᵖ ὁμοθυμαδόνᵇᵒ αἴρωᵛⁱᵃᵃ³ᵖ φωνήⁿᵃᶠˢ πρόςᵖ ὁᵈᵃᵐˢ θεόςⁿᵃᵐˢ καίᶜ λέγωᵛⁱᵃᵃ³ᵖ
δεσπότηςⁿᵛᵐˢ σύʳᵖⁿ⁻ˢ ὁᵈⁿᵐˢ θεόςⁿⁿᵐˢ ὁᵈⁿᵐˢ ποιέωᵛᵖᵃᵃⁿᵐˢ ὁᵈᵃᵐˢ οὐρανόςⁿᵃᵐˢ καίᶜ ὁᵈᵃᶠˢ
γῆⁿᵃᶠˢ καίᶜ ὁᵈᵃᶠˢ θάλασσαⁿᵃᶠˢ καίᶜ πᾶςᵃᵃⁿᵖⁿ ὁᵈᵃⁿᵖ ἐνᵖ αὐτόςʳᵖᵈⁿᵖ. **v.25** ὁᵈⁿᵐˢ διάᵖ
στόμαⁿᵍⁿˢ Δαυίδᵗᵖ ὁᵈᵍᵐˢ παῖςⁿᵍᵐˢ σύʳᵖᵍ⁻ˢ λέγωᵛᵖᵃᵃⁿᵐˢ ἵνατίᵇᵒ φρυάσσωᵛⁱᵃᵃ³ᵖ ἔθνοςⁿⁿⁿᵖ καίᶜ
λαόςⁿⁿᵐᵖ μελετάωᵛⁱᵃᵃ³ᵖ κενόςᵃᵃⁿᵖⁿ. **v.26** παρίστημιᵛⁱᵃᵃ³ᵖ ὁᵈⁿᵐᵖ βασιλεύςⁿⁿᵐᵖ ὁᵈᵍᶠˢ γῆⁿᵍᶠˢ
καίᶜ ὁᵈⁿᵐᵖ ἄρχωνⁿⁿᵐᵖ συνάγωᵛⁱᵃᵖ³ᵖ ἐπίᵖ ὁᵈᵃⁿˢ αὐτόςʳᵖᵃⁿˢ κατάᵖ ὁᵈᵍᵐˢ κύριοςⁿᵍᵐˢ καίᶜ
κατάᵖ ὁᵈᵍᵐˢ Χριστόςⁿᵍᵐˢ αὐτόςʳᵖᵍᵐˢ. **v.27** συνάγωᵛⁱᵃᵖ³ᵖ γάρᶜ ἐπίᵖ ἀλήθειαⁿᵍᶠˢ ἐπίᵖ ὁᵈᵃᵐˢ
ἅγιοςᵃᵃᵐˢⁿ παῖςⁿᵃᵐˢ σύʳᵖᵍ⁻ˢ Ἰησοῦςⁿᵃᵐˢ ὅςʳʳᵃᵐˢ χρίωᵛⁱᵃᵃ²ˢ Ἡρῴδηςⁿⁿᵐˢ τέˣᵒ καίᶜ Πόντιοςⁿⁿᵐˢ
Πιλᾶτοςⁿⁿᵐˢ σύνᵖ ἔθνοςⁿᵈⁿᵖ καίᶜ λαόςⁿᵈᵐᵖ Ἰσραήλᵗᵖ. **v.28** ποιέωᵛⁿᵃᵃ ὅσοςʳᶜᵃⁿᵖ ὁᵈⁿᶠˢ χείρⁿⁿᶠˢ
σύʳᵖᵍ⁻ˢ καίᶜ ὁᵈⁿᶠˢ βουλήⁿⁿᶠˢ σύʳᵖᵍ⁻ˢ προορίζωᵛⁱᵃᵃ³ˢ γίνομαιᵛⁿᵃᵈ. **v.29** καίᶜ ὁᵈᵃⁿᵖ νῦνᵇᵒ
κύριοςⁿᵛᵐˢ ἐφοράωᵛᵈᵃᵃ²ˢ ἐπίᵖ ὁᵈᵃᶠᵖ ἀπειλήⁿᵃᶠᵖ αὐτόςʳᵖᵍᵐᵖ καίᶜ δίδωμιᵛᵈᵃᵃ²ˢ ὁᵈᵈᵐᵖ δοῦλοςⁿᵈᵐᵖ
σύʳᵖᵍ⁻ˢ μετάᵖ παρρησίαⁿᵍᶠˢ πᾶςᵃᵍᶠˢⁿ λαλέωᵛⁿᵖᵃ ὁᵈᵃᵐˢ λόγοςⁿᵃᵐˢ σύʳᵖᵍ⁻ˢ. **v.30** ἐνᵖ ὁᵈᵈᵐˢ ὁᵈᵃᶠˢ
χείρⁿᵃᶠˢ σύʳᵖᵍ⁻ˢ ἐκτείνωᵛⁿᵖᵃ σύʳᵖᵃ⁻ˢ εἰςᵖ ἴασιςⁿᵃᶠˢ καίᶜ σημεῖονⁿⁿⁿᵖ καίᶜ τέραςⁿⁿⁿᵖ γίνομαιᵛⁿᵖⁿ
διάᵖ ὁᵈᵍⁿˢ ὄνομαⁿᵍⁿˢ ὁᵈᵍᵐˢ ἅγιοςᵃᵍᵐˢⁿ παῖςⁿᵍᵐˢ σύʳᵖᵍ⁻ˢ Ἰησοῦςⁿᵍᵐˢ.

ἐπλήσθησαν ἅπαντες Πνεύματος Ἁγίου, καὶ ἐλάλουν τὸν λόγον
32 τοῦ Θεοῦ μετὰ παρρησίας. Τοῦ δὲ πλήθους τῶν πιστευσάντων
ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία, καὶ οὐδ' εἷς τι τῶν ὑπαρχόντων
33 αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. καὶ
μεγάλῃ δυνάμει ἀπεδίδουν τὸ μαρτύριον οἱ ἀπόστολοι τῆς ἀ-
ναστάσεως τοῦ Κυρίου Ἰησοῦ, χάρις τε μεγάλη ἦν ἐπὶ πάντας
34 αὐτούς. οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς, ὅσοι γὰρ κτή-
τορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς
35 τῶν πιπρασκομένων, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀπο-
36 στόλων, διεδίδοτο δὲ ἑκάστῳ καθότι ἄν τις χρείαν εἶχεν. Ἰωσῆς
δέ, ὁ ἐπικληθεὶς Βαρνάβᾶς ὑπὸ τῶν ἀποστόλων ὅ ἐστι, μεθερ-
μηνευόμενον, υἱὸς παρακλήσεως, Λευΐτης, Κύπριος τῷ γένει,
37 ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε
παρὰ τοὺς πόδας τῶν ἀποστόλων.

5 Ἀνὴρ δέ τις Ἁνανίας ὀνόματι, σὺν Σαπφείρῃ τῇ γυναικὶ αὐ-
2 τοῦ, ἐπώλησε κτῆμα, καὶ ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς, συνει-
δυίας καὶ τῆς γυναικὸς αὐτοῦ, καὶ ἐνέγκας μέρος τι παρὰ τοὺς
3 πόδας τῶν ἀποστόλων ἔθηκεν. εἶπε δὲ Πέτρος, Ἁνανία, δι-
ατί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ
Πνεῦμα τὸ Ἅγιον, καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου·
4 οὐχὶ μένον σοὶ ἔμενε, καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχε·

---

v.31 καί^c δέομαι^vpaogmp αὐτός^rpgmp σαλεύω^viap3s ὁ^dnms τόπος^nnms ἐν^p ὅς^rrdms εἰμί^viix3p συνάγω^vpxpnmp καί^c πίμπλημι^viap3p ἅπας^anmpn πνεῦμα^ngns ἅγιος^agnsn καί^c λαλέω^viia3p ὁ^dams λόγος^nams ὁ^dgms θεός^ngms μετά^p παρρησία^ngfs. **v.32** ὁ^dgns δέ^c πλῆθος^ngns ὁ^dgmp πιστεύω^vpaagmp εἰμί^viix3s ὁ^dnfs καρδία^nnfs καί^c ὁ^dnfs ψυχή^nnfs εἷς^nnfs καί^c οὐδέ^bo εἷς^nnms τι-σριανσ ὁ^dgnp ὑπάρχω^vppagnp αὐτός^rpdms λέγω^viia3s ἴδιος^aamsn εἰμί^vnpx ἀλλά^c εἰμί^viix3s αὐτός^rpdmp ἅπας^annpn κοινός^annpn. **v.33** καί^c μέγας^adfsn δύναμις^ndfs ἀποδίδωμι^viia3p ὁ^dans μαρτύριον^nans ὁ^dnmp ἀπόστολος^nnmp ὁ^dgfs ἀνάστασις^ngfs ὁ^dgms κύριος^ngms Ἰησοῦς^ngms χάρις^nnfs τέ^xo μέγας^anfsn εἰμί^viix3s ἐπί^p πᾶς^aampn αὐτός^rpamp. **v.34** οὐδέ^bo γάρ^c ἐνδεής^anmsn τι-σριννσ ὑπάρχω^viia3s ἐν^p αὐτός^rpdmp ὅσος^rcnmp γάρ^c κτήτωρ^nnmp χωρίον^ngnp ἤ^xo οἰκία^ngfp ὑπάρχω^viia3p πωλέω^vppanmp φέρω^viia3p ὁ^dafp τιμή^nafp ὁ^dgmp πιπράσκω^vpppgmp. **v.35** καί^c τίθημι^viia3p παρά^p ὁ^damp πούς^namp ὁ^dgmp ἀπόστολος^ngmp διαδίδωμι^viip3s δέ^c ἕκαστος^admsn καθότι^bo ἄν^xo τι-σριννσ χρεία^nafs ἔχω^viia3s. **v.36** Ἰωσῆς^nnms δέ^c ὁ^dnms ἐπικαλέω^vpapnms Βαρναβᾶς^nnms ὑπό^p ὁ^dgmp ἀπόστολος^ngmp ὅς^rrnns εἰμί^vipx3s μεθερμηνεύω^vpppnns υἱός^nnms παράκλησις^ngfs Λευίτης^nnms Κύπριος^nnms ὁ^ddns γένος^ndns. **v.37** ὑπάρχω^vppagms αὐτός^rpdms ἀγρός^ngms πωλέω^vpaanms φέρω^viaa3s ὁ^dans χρῆμα^nans καί^c τίθημι^viaa3s παρά^p ὁ^damp πούς^namp ὁ^dgmp ἀπόστολος^ngmp. **5. v.1** ἀνήρ^nnms δέ^c τι-σριννσ Ἁνανίας^nnms ὄνομα^ndns σύν^p Σάπφιρα^ndfs ὁ^ddfs γυνή^ndfs αὐτός^rpgms πωλέω^viaa3s κτῆμα^nans. **v.2** καί^c νοσφίζω^viam3s ἀπό^p ὁ^dgfs τιμή^ngfs συνοράω^vpxagfs καί^c ὁ^dgfs γυνή^ngfs αὐτός^rpgms καί^c φέρω^vpaanms μέρος^nans τι-σριανσ παρά^p ὁ^damp πούς^namp ὁ^dgmp ἀπόστολος^ngmp τίθημι^viaa3s. **v.3** λέγω^viaa3s δέ^c Πέτρος^nnms Ἁνανίας^nvms διά&τίς^xo πληρόω^viaa3s ὁ^dnms Σατανᾶς^nnms ὁ^dafs καρδία^nafs σύ^rpg-s ψεύδομαι^vnad σύ^rpa-s ὁ^dans πνεῦμα^nans ὁ^dans ἅγιος^aansn καί^c νοσφίζω^vnam ἀπό^p ὁ^dgfs τιμή^ngfs ὁ^dgns χωρίον^ngns.

τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο· οὐκ ἐψεύσω
ἀνθρώποις ἀλλὰ τῷ Θεῷ. ἀκούων δὲ Ἀνανίας τοὺς λόγους 5
τούτους, πεσὼν ἐξέψυξε, καὶ ἐγένετο φόβος μέγας ἐπὶ πάντας
τοὺς ἀκούοντας ταῦτα. ἀναστάντες δὲ οἱ νεώτεροι συνέστειλαν 6
αὐτόν καὶ ἐξενέγκαντες ἔθαψαν. Ἐγένετο δὲ ὡς ὡρῶν τριῶν 7
διάστημα, καὶ ἡ γυνὴ αὐτοῦ μὴ εἰδυῖα τὸ γεγονὸς εἰσῆλθεν.
ἀπεκρίθη δὲ αὐτῇ Πέτρος, Εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον 8
ἀπέδοσθε. ἡ δὲ εἶπε, Ναί, τοσούτου. ὁ δὲ Πέτρος εἶπε πρὸς 9
αὐτήν, Τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ Πνεῦμα Κυρίου·
ἰδού, οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ θύρᾳ, καὶ
ἐξοίσουσί σε. ἔπεσε δὲ παραχρῆμα παρὰ τοὺς πόδας αὐτοῦ, 10
καὶ ἐξέψυξεν, εἰσελθόντες δὲ οἱ νεανίσκοι εὗρον αὐτὴν νεκράν,
καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν ἄνδρα αὐτῆς. καὶ ἐγένετο 11
φόβος μέγας ἐφ' ὅλην τὴν ἐκκλησίαν, καὶ ἐπὶ πάντας τοὺς ἀ-
κούοντας ταῦτα. Διὰ δὲ τῶν χειρῶν τῶν ἀποστόλων ἐγίνετο 12
σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά, καὶ ἦσαν ὁμοθυμαδὸν ἅ-
παντες ἐν τῇ στοᾷ Σολομῶντος. τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα 13
κολλᾶσθαι αὐτοῖς, ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός, μᾶλλον δὲ 14
προσετίθεντο πιστεύοντες τῷ Κυρίῳ, πλήθη ἀνδρῶν τε καὶ γυ-
ναικῶν, ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς, καὶ 15
τιθέναι ἐπὶ κλινῶν καὶ κραββάτων, ἵνα ἐρχομένου Πέτρου κἂν

---

v.4 οὐχί[xo] μένω[vppanns] σύ[rpd-s] μένω[viia3s] καί[c] πιπράσκω[vpapnns] ἐν[p] ὁ[ddfs] σός[rsdfs] ἐξουσία[ndfs] ὑπάρχω[viia3s] τίς[rqans] ὅτι[c] τίθημι[viam2s] ἐν[p] ὁ[ddfs] καρδία[ndfs] σύ[rpg-s] ὁ[dans] πρᾶγμα[nans] οὗτος[rdans] οὐ[xo] ψεύδομαι[viad2s] ἄνθρωπος[ndmp] ἀλλά[c] ὁ[ddms] θεός[ndms]. **v.5** ἀκούω[vppanms] δέ[c] Ἀνανίας[nnms] ὁ[damp] λόγος[namp] οὗτος[rdamp] πίπτω[vpaanms] ἐκψύχω[viaa3s] καί[c] γίνομαι[viad3s] φόβος[nnms] μέγας[anmsn] ἐπί[p] πᾶς[aampn] ὁ[damp] ἀκούω[vppaamp] οὗτος[rdanp]. **v.6** ἀνίστημι[vpaanmp] δέ[c] ὁ[dnmp] νέος[anmpc] συστέλλω[viaa3p] αὐτός[rpams] καί[c] ἐκφέρω[vpaanmp] θάπτω[viaa3p]. **v.7** γίνομαι[viad3s] δέ[c] ὡς[bo] ὥρα[ngfp] τρεῖς[ngfp] διάστημα[nnns] καί[c] ὁ[dnfs] γυνή[nnfs] αὐτός[rpgms] μή[xo] οἶδα[vpxanfs] ὁ[dans] γίνομαι[vpxaans] εἰσέρχομαι[viaa3s]. **v.8** ἀποκρίνομαι[viad3s] δέ[c] αὐτός[rpdfs] ὁ[dnms] Πέτρος[nnms] λέγω[vdaa2s] ἐγώ[rpd-s] εἰ[qo] τοσοῦτος[rdgns] ὁ[dans] χωρίον[nans] ἀποδίδωμι[viam2p] ὁ[dnfs] δέ[c] λέγω[viaa3s] ναί[xo] τοσοῦτος[rdgns]. **v.9** ὁ[dnms] δέ[c] Πέτρος[nnms] λέγω[viaa3s] πρός[p] αὐτός[rpafs] τίς[rqnns] ὅτι[c] συμφωνέω[viap3s] σύ[rpd-p] πειράζω[vnaa] ὁ[dans] πνεῦμα[nans] κύριος[ngms] ἰδού[vdaa2s] ὁ[dnmp] πούς[nnmp] ὁ[dgmp] θάπτω[vpaagmp] ὁ[dams] ἀνήρ[nams] σύ[rpg-s] ἐπί[p] ὁ[ddfs] θύρα[ndfs] καί[c] ἐκφέρω[vifa3p] σύ[rpa-s]. **v.10** πίπτω[viaa3s] δέ[c] παραχρῆμα[bo] παρά[p] ὁ[damp] πούς[namp] αὐτός[rpgms] καί[c] ἐκψύχω[viaa3s] εἰσέρχομαι[vpaanmp] δέ[c] ὁ[dnmp] νεανίσκος[nnmp] εὑρίσκω[viaa3p] αὐτός[rpafs] νεκρός[aafsn] καί[c] ἐκφέρω[vpaanmp] θάπτω[viaa3p] πρός[p] ὁ[dams] ἀνήρ[nams] αὐτός[rpgfs]. **v.11** καί[c] γίνομαι[viad3s] φόβος[nnms] μέγας[anmsn] ἐπί[p] ὅλος[aafsn] ὁ[dafs] ἐκκλησία[nafs] καί[c] ἐπί[p] πᾶς[aampn] ὁ[damp] ἀκούω[vppaamp] οὗτος[rdanp]. **v.12** διά[p] δέ[c] ὁ[dgfp] χείρ[ngfp] ὁ[dgmp] ἀπόστολος[ngmp] γίνομαι[viin3s] σημεῖον[nnnp] καί[c] τέρας[nnnp] ἐν[p] ὁ[ddms] λαός[ndms] πολύς[annpn] καί[c] εἰμί[viix3p] ὁμοθυμαδόν[bo] ἅπας[anmpn] ἐν[p] ὁ[ddfs] στοά[ndfs] Σολομών[ngms]. **v.13** ὁ[dgmp] δέ[c] λοιπός[agmpn] οὐδείς[anfsn] τολμάω[viia3s] κολλάω[vnpp] αὐτός[rpdmp] ἀλλά[c] μεγαλύνω[viia3s] αὐτός[rpamp] ὁ[dnms] λαός[nnms]. **v.14** μᾶλλον[bo] δέ[c] προστίθημι[viip3p] πιστεύω[vppanmp] ὁ[ddms] κύριος[ndms] πλῆθος[nnnp] ἀνήρ[ngmp] τέ[xo] καί[c] γυνή[ngfp].

16 ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν. συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν
πέριξ πόλεων εἰς Ἰερουσαλήμ, φέροντες ἀσθενεῖς καὶ ὀχλουμέ-
νους ὑπὸ πνευμάτων ἀκαθάρτων, οἵτινες ἐθεραπεύοντο ἅπαν-
17 τες. Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ ἡ οὖσα
18 αἵρεσις τῶν Σαδδουκαίων, ἐπλήσθησαν ζήλου, καὶ ἐπέβαλον
τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν
19 τηρήσει δημοσίᾳ. ἄγγελος δὲ Κυρίου διὰ τῆς νυκτὸς ἤνοιξε
20 τὰς θύρας τῆς φυλακῆς, ἐξαγαγών τε αὐτοὺς εἶπε, Πορεύεσθε,
καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς
21 ζωῆς ταύτης. ἀκούσαντες δὲ εἰσῆλθον ὑπὸ τὸν ὄρθρον εἰς τὸ
ἱερόν, καὶ ἐδίδασκον. παραγενόμενος δὲ ὁ ἀρχιερεὺς καὶ οἱ
σὺν αὐτῷ, συνεκάλεσαν τὸ συνέδριον καὶ πᾶσαν τὴν γερουσίαν
τῶν υἱῶν Ἰσραήλ, καὶ ἀπέστειλαν εἰς τὸ δεσμωτήριον, ἀχθῆ-
22 ναι αὐτούς. οἱ δὲ ὑπηρέται παραγενόμενοι οὐχ εὗρον αὐτοὺς
23 ἐν τῇ φυλακῇ, ἀναστρέψαντες δὲ ἀπήγγειλαν, λέγοντες, ὅτι
Τὸ μὲν δεσμωτήριον εὕρομεν κεκλεισμένον ἐν πάσῃ ἀσφαλείᾳ,
καὶ τοὺς φύλακας ἔξω ἑστῶτας πρὸ τῶν θυρῶν, ἀνοίξαντες δέ,
24 ἔσω οὐδένα εὕρομεν. ὡς δὲ ἤκουσαν τοὺς λόγους τούτους
ὅ τε ἱερεὺς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ ἀρχιερεῖς, διη-
25 πόρουν περὶ αὐτῶν, τί ἂν γένοιτο τοῦτο. παραγενόμενος δέ

---

v.15 ὥστε[c] κατά[p] ὁ[dafp] πλατύς[nafp] ἐκφέρω[vnpa] ὁ[damp] ἀσθενής[aampn] καί[c] τίθημι[vnpa] ἐπί[p] κλίνη[ngfp] καί[c] κράβαττος[ngmp] ἵνα[c] ἔρχομαι[vppngms] Πέτρος[ngms] κἄν[qo] ὁ[dnfs] σκιά[nnfs] ἐπισκιάζω[vsaa3s] τι-σριδμσ αὐτός[rpgmp]. **v.16** συνέρχομαι[viin3s] δέ[c] καί[c] ὁ[dnns] πλῆθος[nnns] ὁ[dgfp] πέριξ[bo] πόλις[ngfp] εἰς[p] Ἰερουσαλήμ[tp] φέρω[vppanmp] ἀσθενής[aampn] καί[c] ὀχλέω[vpppamp] ὑπό[p] πνεῦμα[ngnp] ἀκάθαρτος[agnpn] ὅστις[rrnmp] θεραπεύω[viip3p] ἅπας[anmpn]. **v.17** ἀνίστημι[vpaanms] δέ[c] ὁ[dnms] ἀρχιερεύς[nnms] καί[c] πᾶς[anmpn] ὁ[dnmp] σύν[p] αὐτός[rpdms] ὁ[dnfs] εἰμί[vppxnfs] αἵρεσις[nnfs] ὁ[dgmp] Σαδδουκαῖος[ngmp] πίμπλημι[viap3p] ζῆλος[ngms]. **v.18** καί[c] ἐπιβάλλω[viaa3p] ὁ[dafp] χείρ[nafp] αὐτός[rpgmp] ἐπί[p] ὁ[damp] ἀπόστολος[namp] καί[c] τίθημι[viam3p] αὐτός[rpamp] ἐν[p] τήρησις[ndfs] δημόσιος[adfsn]. **v.19** ἄγγελος[nnms] δέ[c] κύριος[ngms] διά[p] ὁ[dgfs] νύξ[ngfs] ἀνοίγω[viaa3s] ὁ[dafp] θύρα[nafp] ὁ[dgfs] φυλακή[ngfs] ἐξάγω[vpaanms] τε[xo] αὐτός[rpamp] λέγω[viaa3s]. **v.20** πορεύομαι[vdpn2p] καί[c] ἵστημι[vpapnmp] λαλέω[vdpa2p] ἐν[p] ὁ[ddns] ἱερόν[ndns] ὁ[ddms] λαός[ndms] πᾶς[aanpn] ὁ[danp] ῥῆμα[nanp] ὁ[dgfs] ζωή[ngfs] οὗτος[rdgfs]. **v.21** ἀκούω[vpaanmp] δέ[c] εἰσέρχομαι[viaa3p] ὑπό[p] ὁ[dams] ὄρθρος[nams] εἰς[p] ὁ[dans] ἱερόν[nans] καί[c] διδάσκω[viia3p] παραγίνομαι[vpadnms] δέ[c] ὁ[dnms] ἀρχιερεύς[nnms] καί[c] ὁ[dnmp] σύν[p] αὐτός[rpdms] συγκαλέω[viaa3p] ὁ[dans] συνέδριον[nans] καί[c] πᾶς[aafsn] ὁ[dafs] γερουσία[nafs] ὁ[dgmp] υἱός[ngmp] Ἰσραήλ[tp] καί[c] ἀποστέλλω[viaa3p] εἰς[p] ὁ[dans] δεσμωτήριον[nans] ἄγω[vnap] αὐτός[rpamp]. **v.22** ὁ[dnmp] δέ[c] ὑπηρέτης[nnmp] παραγίνομαι[vpadnmp] οὐ[xo] εὑρίσκω[viaa3p] αὐτός[rpamp] ἐν[p] ὁ[ddfs] φυλακή[ndfs] ἀναστρέφω[vpaanmp] δέ[c] ἀπαγγέλλω[viaa3p]. **v.23** λέγω[vppanmp] ὅτι[c] ὁ[dans] μέν[xo] δεσμωτήριον[nans] εὑρίσκω[viaa1p] κλείω[vpxpans] ἐν[p] πᾶς[adfsn] ἀσφάλεια[ndfs] καί[c] ὁ[damp] φύλαξ[namp] ἔξω[bo] ἵστημι[vpxaamp] πρό[p] ὁ[dgfp] θύρα[ngfp] ἀνοίγω[vpaanmp] δέ[c] ἔσω[bo] οὐδείς[aamsn] εὑρίσκω[viaa1p]. **v.24** ὡς[bo] δέ[c] ἀκούω[viaa3p] ὁ[damp] λόγος[namp] οὗτος[rdamp] ὁ[dnms] τέ[xo] ἱερεύς[nnms] καί[c] ὁ[dnms] στρατηγός[nnms] ὁ[dgns] ἱερόν[ngns] καί[c] ὁ[dnmp] ἀρχιερεύς[nnmp] διαπορέω[viia3p] περί[p] αὐτός[rpgmp] τίς[rqnns] ἄν[xo] γίνομαι[voad3s] οὗτος[rdnns].

τις ἀπήγγειλεν αὐτοῖς λέγων ὅτι Ἰδού, οἱ ἄνδρες οὓς ἔθεσθε ἐν τῇ φυλακῇ εἰσὶν ἐν τῷ ἱερῷ ἑστῶτες καὶ διδάσκοντες τὸν λαόν. τότε ἀπελθὼν ὁ στρατηγὸς σὺν τοῖς ὑπηρέταις ἦγαγεν αὐτούς, 26
οὐ μετὰ βίας, ἐφοβοῦντο γὰρ τὸν λαόν, ἵνα μὴ λιθασθῶσιν. ἀ- 27
γαγόντες δὲ αὐτοὺς ἔστησαν ἐν τῷ συνεδρίῳ. καὶ ἐπηρώτησεν
αὐτοὺς ὁ ἀρχιερεύς, λέγων, Οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑ- 28
μῖν μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ· καὶ ἰδοὺ πεπληρώκατε
τὴν Ἰερουσαλὴμ τῆς διδαχῆς ὑμῶν, καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ'
ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου. ἀποκριθεὶς δὲ ὁ Πέτρος 29
καὶ οἱ ἀπόστολοι εἶπον, Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώ-
ποις. ὁ Θεὸς τῶν πατέρων ἡμῶν ἤγειρεν Ἰησοῦν, ὃν ὑμεῖς 30
διεχειρίσασθε, κρεμάσαντες ἐπὶ ξύλου. τοῦτον ὁ Θεὸς ἀρχη- 31
γὸν καὶ σωτῆρα ὕψωσε τῇ δεξιᾷ αὐτοῦ, δοῦναι μετάνοιαν τῷ
Ἰσραὴλ καὶ ἄφεσιν ἁμαρτιῶν. καὶ ἡμεῖς ἐσμεν αὐτοῦ μάρτυ- 32
ρες τῶν ῥημάτων τούτων, καὶ τὸ Πνεῦμα δὲ τὸ Ἅγιον, ὃ ἔδωκεν
ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ. Οἱ δὲ ἀκούσαντες διεπρίοντο, 33
καὶ ἐβουλεύοντο ἀνελεῖν αὐτούς. ἀναστὰς δέ τις ἐν τῷ συνε- 34
δρίῳ Φαρισαῖος, ὀνόματι Γαμαλιήλ, νομοδιδάσκαλος, τίμιος
παντὶ τῷ λαῷ, ἐκέλευσεν ἔξω βραχύ τί τοὺς ἀποστόλους ποιῆ-
σαι. εἶπέ τε πρὸς αὐτούς, Ἄνδρες Ἰσραηλῖται, προσέχετε ἑαυ- 35

---

v.25 παραγίνομαι^{vpadnms} δέ^{c} τι-σρινμσ ἀπαγγέλλω^{viaa3s} αὐτός^{rpdmp} λέγω^{vppanms} ὅτι^{c} ἰδού^{vdaa2s} ὁ^{dnmp} ἀνήρ^{nnmp} ὅς^{rramp} τίθημι^{viam2p} ἐν^{p} ὁ^{ddfs} φυλακή^{ndfs} εἰμί^{vipx3p} ἐν^{p} ὁ^{ddns} ἱερόν^{ndns} ἵστημι^{vpxanmp} καί^{c} διδάσκω^{vppanmp} ὁ^{dams} λαός^{nams}. **v.26** τότε^{bo} ἀπέρχομαι^{vpaanms} ὁ^{dnms} στρατηγός^{nnms} σύν^{p} ὁ^{ddmp} ὑπηρέτης^{ndmp} ἄγω^{viaa3s} αὐτός^{rpamp} οὐ^{xo} μετά^{p} βία^{ngfs} φοβέομαι^{viin3p} γάρ^{c} ὁ^{dams} λαός^{nams} ἵνα^{c} μή^{xo} λιθάζω^{vsap3p}. **v.27** ἄγω^{vpaanmp} δέ^{c} αὐτός^{rpamp} ἵστημι^{viaa3p} ἐν^{p} ὁ^{ddns} συνέδριον^{ndns} καί^{c} ἐπερωτάω^{viaa3s} αὐτός^{rpamp} ὁ^{dnms} ἀρχιερεύς^{nnms}. **v.28** λέγω^{vppanms} οὐ^{xo} παραγγελία^{ndfs} παραγγέλλω^{viaa1p} σύ$^{rpd-p}$ μή^{xo} διδάσκω^{vnpa} ἐπί^{p} ὁ^{ddns} ὄνομα^{ndns} οὗτος^{rddns} καί^{c} ἰδού^{vdaa2s} πληρόω^{vixa2p} ὁ^{dafs} Ἰερουσαλήμ^{tp} ὁ^{dgfs} διδαχή^{ngfs} σύ$^{rpg-p}$ καί^{c} βούλομαι^{vipn2p} ἐπάγω^{vnaa} ἐπί^{p} ἐγώ$^{rpa-p}$ ὁ^{dans} αἷμα^{nans} ὁ^{dgms} ἄνθρωπος^{ngms} οὗτος^{rdgms}. **v.29** ἀποκρίνομαι^{vpaonms} δέ^{c} ὁ^{dnms} Πέτρος^{nnms} καί^{c} ὁ^{dnmp} ἀπόστολος^{nnmp} λέγω^{viaa3p} πειθαρχέω^{vnpa} δεῖ^{vipq3s} θεός^{ndms} μᾶλλον^{bo} ἤ^{xo} ἄνθρωπος^{ndmp}. **v.30** ὁ^{dnms} θεός^{nnms} ὁ^{dgmp} πατήρ^{ngmp} ἐγώ$^{rpg-p}$ ἐγείρω^{viaa3s} Ἰησοῦς^{nams} ὅς^{rrams} σύ$^{rpn-p}$ διαχειρίζω^{viam2p} κρεμάννυμι^{vpaanmp} ἐπί^{p} ξύλον^{ngns}. **v.31** οὗτος^{rdams} ὁ^{dnms} θεός^{nnms} ἀρχηγός^{nams} καί^{c} σωτήρ^{nams} ὑψόω^{viaa3s} ὁ^{ddfs} δεξιός^{adfsn} αὐτός^{rpgms} δίδωμι^{vnaa} μετάνοια^{nafs} ὁ^{ddms} Ἰσραήλ^{tp} καί^{c} ἄφεσις^{nafs} ἁμαρτία^{ngfp}. **v.32** καί^{c} ἐγώ$^{rpn-p}$ εἰμί^{vipx1p} αὐτός^{rpgms} μάρτυς^{nnmp} ὁ^{dgnp} ῥῆμα^{ngnp} οὗτος^{rdgnp} καί^{c} ὁ^{dans} πνεῦμα^{nans} δέ^{c} ὁ^{dans} ἅγιος^{aansn} ὅς^{rrans} δίδωμι^{viaa3s} ὁ^{dnms} θεός^{nnms} ὁ^{ddmp} πειθαρχέω^{vppadmp} αὐτός^{rpdms}. **v.33** ὁ^{dnmp} δέ^{c} ἀκούω^{vpaanmp} διαπρίω^{viip3p} καί^{c} βουλεύομαι^{viin3p} ἀναιρέω^{vnaa} αὐτός^{rpamp}. **v.34** ἀνίστημι^{vpaanms} δέ^{c} τι-σρινμσ ἐν^{p} ὁ^{ddns} συνέδριον^{ndns} Φαρισαῖος^{nnms} ὄνομα^{ndns} Γαμαλιήλ^{tp} νομοδιδάσκαλος^{nnms} τίμιος^{anmsn} πᾶς^{admsn} ὁ^{ddms} λαός^{ndms} κελεύω^{viaa3s} ἔξω^{bo} βραχύς^{aansn} τίς^{rrans} ὁ^{damp} ἀπόστολος^{namp} ποιέω^{vnaa}.

36 τοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις, τί μέλλετε πράσσειν. πρὸ γὰρ
τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτόν, ᾧ
προσεκολλήθη ἀριθμὸς ἀνδρῶν ὡσεὶ τετρακοσίων, ὃς ἀνῃρέθη,
καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διελύθησα¯ν καὶ ἐγένοντο εἰς
37 οὐδέν. μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς ἡμέ-
ραις τῆς ἀπογραφῆς, καὶ ἀπέστησε λαὸν ἱκανὸν ὀπίσω αὐτοῦ,
κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπί-
38 σθησαν. καὶ τὰ νῦν λέγω ὑμῖν, ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων
τούτων, καὶ ἐάσατε αὐτούς, ὅτι ἐὰν ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ
39 αὕτη ἢ τὸ ἔργον τοῦτο, καταλυθήσεται, εἰ δὲ ἐκ Θεοῦ ἐστιν,
οὐ δύνασθε καταλῦσαι αὐτό, μήποτε καὶ θεομάχοι εὑρεθῆτε.
40 ἐπείσθησαν δὲ αὐτῷ, καὶ προσκαλεσάμενοι τοὺς ἀποστόλους
δείραντες παρήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ,
41 καὶ ἀπέλυσαν αὐτούς. οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ
προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ κατη-
42 ξιώθησαν ἀτιμασθῆναι. πᾶσάν τε ἡμέραν, ἐν τῷ ἱερῷ καὶ κατ᾽
οἶκον, οὐκ ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι Ἰησοῦν
τὸν Χριστόν.

6 Ἐν δὲ ταῖς ἡμέραις ταύταις, πληθυνόντων τῶν μαθητῶν, ἐ-
γένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι
παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν.

---

v.35 λέγω^{viaa3s} τέ^{xo} πρός^{p} αὐτός^{rpamp} ἀνήρ^{nvmp} Ἰσραηλίτης^{nvmp} προσέχω^{vdpa2p} ἑαυτοῦ^{rxdmp} ἐπί^{p} ὁ^{ddmp} ἄνθρωπος^{ndmp} οὗτος^{rddmp} τίς^{rqans} μέλλω^{vipa2p} πράσσω^{vnpa}. **v.36** πρό^{p} γάρ^{c} οὗτος^{rdgfp} ὁ^{dgfp} ἡμέρα^{ngfp} ἀνίστημι^{viaa3s} Θευδᾶς^{nnms} λέγω^{vppanms} εἰμί^{vnpx} τι-ος μαι σ ἑαυτοῦ^{rxams} ὅς^{rrdms} προσκολλάω^{viap3s} ἀριθμός^{nnms} ἀνήρ^{ngmp} ὡσεί^{bo} τετρακόσιοι^{ngnp} ὅς^{rrnms} ἀναιρέω^{viap3s} καί^{c} πᾶς^{anmpn} ὅσος^{rcnmp} πείθω^{viip3p} αὐτός^{rpdms} διαλύω^{viap3p} καί^{c} γίνομαι^{viad3p} εἰς^{p} οὐδείς^{aansn}. **v.37** μετά^{p} οὗτος^{rdams} ἀνίστημι^{viaa3s} Ἰούδας^{nnms} ὁ^{dnms} Γαλιλαῖος^{nnms} ἐν^{p} ὁ^{ddfp} ἡμέρα^{ndfp} ὁ^{dgfs} ἀπογραφή^{ngfs} καί^{c} ἀφίστημι^{viaa3s} λαός^{nams} ἱκανός^{aamsn} ὀπίσω^{bo} αὐτός^{rpgms} κἀκεῖνος^{rdnms} ἀπόλλυμι^{viam3s} καί^{c} πᾶς^{anmpn} ὅσος^{rcnmp} πείθω^{viip3p} αὐτός^{rpdms} διασκορπίζω^{viap3p}. **v.38** καί^{c} ὁ^{danp} νῦν^{bo} λέγω^{vipa1s} σύ$^{rpd-p}$ ἀφίστημι^{vdaa2p} ἀπό^{p} ὁ^{dgmp} ἄνθρωπος^{ngmp} οὗτος^{rdgmp} καί^{c} ἐάω^{vdaa2p} αὐτός^{rpamp} ὅτι^{c} ἐάν^{qo} εἰμί^{vspx3s} ἐκ^{p} ἄνθρωπος^{ngmp} ὁ^{dnfs} βουλή^{nnfs} οὗτος^{rdnfs} ἤ^{xo} ὁ^{dnns} ἔργον^{nnns} οὗτος^{rdnns} καταλύω^{vifp3s}. **v.39** εἰ^{qo} δέ^{c} ἐκ^{p} θεός^{ngms} εἰμί^{vipx3s} οὐ^{xo} δύναμαι^{vipn2p} καταλύω^{vnaa} αὐτός^{rpans} μήποτε^{bo} καί^{c} θεομάχος^{anmpn} εὑρίσκω^{vsap2p}. **v.40** πείθω^{viap3p} δέ^{c} αὐτός^{rpdms} καί^{c} προσκαλέομαι^{vpadnmp} ὁ^{damp} ἀπόστολος^{namp} δέρω^{vpaanmp} παραγγέλλω^{viaa3p} μή^{xo} λαλέω^{vnpa} ἐπί^{p} ὁ^{ddns} ὄνομα^{ndns} ὁ^{dgms} Ἰησοῦς^{ngms} καί^{c} ἀπολύω^{viaa3p} αὐτός^{rpamp}. **v.41** ὁ^{dnmp} μέν^{xo} οὖν^{c} πορεύομαι^{viin3p} χαίρω^{vppanmp} ἀπό^{p} πρόσωπον^{ngns} ὁ^{dgns} συνέδριον^{ngns} ὅτι^{c} ὑπέρ^{p} ὁ^{dgns} ὄνομα^{ngns} αὐτός^{rpgms} καταξιόω^{viap3p} ἀτιμάζω^{vnap}. **v.42** πᾶς^{aafsn} τέ^{xo} ἡμέρα^{nafs} ἐν^{p} ὁ^{ddns} ἱερόν^{ndns} καί^{c} κατά^{p} οἶκος^{nams} οὐ^{xo} παύω^{viim3p} διδάσκω^{vppanmp} καί^{c} εὐαγγελίζω^{vppmnmp} Ἰησοῦς^{nams} ὁ^{dams} Χριστός^{nams}. **6. v.1** ἐν^{p} δέ^{c} ὁ^{ddfp} ἡμέρα^{ndfp} οὗτος^{rddfp} πληθύνω^{vppagmp} ὁ^{dgmp} μαθητής^{ngmp} γίνομαι^{viad3s} γογγυσμός^{nnms} ὁ^{dgmp} Ἑλληνιστής^{ngmp} πρός^{p} ὁ^{damp} Ἑβραῖος^{aampn} ὅτι^{c} παραθεωρέω^{viip3p} ἐν^{p} ὁ^{ddfs} διακονία^{ndfs} ὁ^{ddfs} καθημερινός^{adfsn} ὁ^{dnfp} χήρα^{nnfp} αὐτός^{rpgmp}.

προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον, 2
Οὐκ ἀρεστόν ἐστιν ἡμᾶς, καταλείψαντας τὸν λόγον τοῦ Θε-
οῦ, διακονεῖν τραπέζαις. ἐπισκέψασθε οὖν, ἀδελφοί, ἄνδρας 3
ἐξ ὑμῶν μαρτυρουμένους ἑπτά, πλήρεις Πνεύματος Ἁγίου καὶ
σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης. ἡμεῖς δὲ 4
τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν.
καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους, καὶ ἐξελέ- 5
ξαντο Στέφανον, ἄνδρα πλήρη πίστεως καὶ Πνεύματος Ἁγίου,
καὶ Φίλιππον, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ
Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα, οὓς ἔστησαν 6
ἐνώπιον τῶν ἀποστόλων, καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς
τὰς χεῖρας. Καὶ ὁ λόγος τοῦ Θεοῦ ηὔξανε, καὶ ἐπληθύνετο ὁ 7
ἀριθμὸς τῶν μαθητῶν ἐν Ἰερουσαλὴμ σφόδρα, πολύς τε ὄχλος
τῶν ἱερέων ὑπήκουον τῇ πίστει. Στέφανος δὲ πλήρης πίστεως 8
καὶ δυνάμεως ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ. ἀ- 9
νέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερ-
τίνων, καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας
καὶ Ἀσίας, συζητοῦντες τῷ Στεφάνῳ. καὶ οὐκ ἴσχυον ἀντιστῆ- 10
ναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει. τότε ὑπέβαλον ἄνδρας 11
λέγοντας ὅτι Ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα
εἰς Μωσῆν καὶ τὸν Θεόν. συνεκίνησάν τε τὸν λαὸν καὶ τοὺς 12
πρεσβυτέρους καὶ τοὺς γραμματεῖς, καὶ ἐπιστάντες συνήρπα-

---

v.2 προσκαλέομαι^{vpadnmp} δέ^{c} ὁ^{dnmp} δώδεκα^{tn} ὁ^{dans} πλῆθος^{nans} ὁ^{dgmp} μαθητής^{ngmp} λέγω^{viaa3p} οὐ^{xo} ἀρεστός^{annsn} εἰμί^{vipx3s} ἐγώ$^{rpa-p}$ καταλείπω^{vpaaamp} ὁ^{dams} λόγος^{nams} ὁ^{dgms} θεός^{ngms} διακονέω^{vnpa} τράπεζα^{ndfp}. **v.3** ἐπισκέπτομαι^{vdad2p} οὖν^{c} ἀδελφός^{nvmp} ἀνήρ^{namp} ἐκ^{p} σύ$^{rpg-p}$ μαρτυρέω^{vpppamp} ἑπτά^{tn} πλήρης^{aampn} πνεῦμα^{ngns} ἅγιος^{agnsn} καί^{c} σοφία^{ngfs} ὅς^{rramp} καθίστημι^{vifa1p} ἐπί^{p} ὁ^{dgfs} χρεία^{ngfs} οὗτος^{rdgfs}. **v.4** ἐγώ$^{rpn-p}$ δέ^{c} ὁ^{ddfs} προσευχή^{ndfs} καί^{c} ὁ^{ddfs} διακονία^{ndfs} ὁ^{dgms} λόγος^{ngms} προσκαρτερέω^{vifa1p}. **v.5** καί^{c} ἀρέσκω^{viaa3s} ὁ^{dnms} λόγος^{nnms} ἐνώπιον^{bo} πᾶς^{agnsn} ὁ^{dgns} πλῆθος^{ngns} καί^{c} ἐκλέγω^{viam3p} Στέφανος^{nams} ἀνήρ^{nams} πλήρης^{aamsn} πίστις^{ngfs} καί^{c} πνεῦμα^{ngns} ἅγιος^{agnsn} καί^{c} Φίλιππος^{nams} καί^{c} Πρόχορος^{nams} καί^{c} Νικάνωρ^{nams} καί^{c} Τίμων^{nams} καί^{c} Παρμενᾶς^{nams} καί^{c} Νικόλαος^{nams} προσήλυτος^{nams} Ἀντιοχεύς^{nams}. **v.6** ὅς^{rramp} ἵστημι^{viaa3p} ἐνώπιον^{bo} ὁ^{dgmp} ἀπόστολος^{ngmp} καί^{c} προσεύχομαι^{vpadnmp} ἐπιτίθημι^{viaa3p} αὐτός^{rpdmp} ὁ^{dafp} χείρ^{nafp}. **v.7** καί^{c} ὁ^{dnms} λόγος^{nnms} ὁ^{dgms} θεός^{ngms} αὐξάνω^{viia3s} καί^{c} πληθύνω^{viip3s} ὁ^{dnms} ἀριθμός^{nnms} ὁ^{dgmp} μαθητής^{ngmp} ἐν^{p} Ἰερουσαλήμ^{tp} σφόδρα^{bo} πολύς^{anmsn} τέ^{xo} ὄχλος^{nnms} ὁ^{dgmp} ἱερεύς^{ngmp} ὑπακούω^{viia3p} ὁ^{ddfs} πίστις^{ndfs}. **v.8** Στέφανος^{nnms} δέ^{c} πλήρης^{anmsn} πίστις^{ngfs} καί^{c} δύναμις^{ngfs} ποιέω^{viia3s} τέρας^{nanp} καί^{c} σημεῖον^{nanp} μέγας^{aanpn} ἐν^{p} ὁ^{ddms} λαός^{ndms}. **v.9** ἀνίστημι^{viaa3p} δέ^{c} τι-σ-ρινμπ ὁ^{dgmp} ἐκ^{p} ὁ^{dgfs} συναγωγή^{ngfs} ὁ^{dgfs} λέγω^{vpppgfs} Λιβερτῖνος^{ngmp} καί^{c} Κυρηναῖος^{ngmp} καί^{c} Ἀλεξανδρεύς^{ngmp} καί^{c} ὁ^{dgmp} ἀπό^{p} Κιλικία^{ngfs} καί^{c} Ἀσία^{ngfs} συζητέω^{vppanmp} ὁ^{ddms} Στέφανος^{ndms}. **v.10** καί^{c} οὐ^{xo} ἰσχύω^{viia3p} ἀνθίστημι^{vnaa} ὁ^{ddfs} σοφία^{ndfs} καί^{c} ὁ^{ddns} πνεῦμα^{ndns} ὅς^{rrdns} λαλέω^{viia3s}. **v.11** τότε^{bo} ὑποβάλλω^{viaa3p} ἀνήρ^{namp} λέγω^{vppaamp} ὅτι^{c} ἀκούω^{vixa1p} αὐτός^{rpgms} λαλέω^{vppagms} ῥῆμα^{nanp} βλάσφημος^{aanpn} εἰς^{p} Μωϋσῆς^{nams} καί^{c} ὁ^{dams} θεός^{nams}.

13 σαν αὐτόν, καὶ ἤγαγον εἰς τὸ συνέδριον, ἔστησάν τε μάρτυρας
ψευδεῖς λέγοντας, Ὁ ἄνθρωπος οὗτος οὐ παύεται ῥήματα βλά-
σφημα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου καὶ τοῦ νόμου,
14 ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος ὅτι Ἰησοῦς ὁ Ναζωραῖος οὗτος
καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη ἃ παρέδωκεν
15 ἡμῖν Μωϋσῆς. καὶ ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες οἱ καθεζό-
μενοι ἐν τῷ συνεδρίῳ, εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον
ἀγγέλου.

7, 2 Εἶπε δὲ ὁ ἀρχιερεύς, Εἰ ἄρα ταῦτα οὕτως ἔχει· ὁ δὲ ἔφη,
Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε. ὁ Θεὸς τῆς δόξης ὤ-
φθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ, πρὶν ἢ
3 κατοικῆσαι αὐτὸν ἐν Χαρράν, καὶ εἶπε πρὸς αὐτόν, Ἔξελθε
ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς γῆν
4 ἣν ἄν σοι δείξω. τότε ἐξελθὼν ἐκ γῆς Χαλδαίων κατῴκησεν ἐν
Χαρράν, κἀκεῖθεν, μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ, με-
τῴκισεν αὐτὸν εἰς τὴν γῆν ταύτην εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε,
5 καὶ οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ, οὐδὲ βῆμα πο-
δός, καὶ ἐπηγγείλατο αὐτῷ δοῦναι εἰς κατάσχεσιν αὐτήν, καὶ
6 τῷ σπέρματι αὐτοῦ μετ᾽ αὐτόν, οὐκ ὄντος αὐτῷ τέκνου. ἐλά-
λησε δὲ οὕτως ὁ Θεός ὅτι ἔσται τὸ σπέρμα αὐτοῦ πάροικον ἐν
γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν αὐτὸ καὶ κακώσουσιν, ἔτη τε-

---

v.12 συγκινέω^{viaa3p} τέ^{xo} ὁ^{dams} λαός^{nams} καί^{c} ὁ^{damp} πρεσβύτερος^{aampn} καί^{c} ὁ^{damp} γραμματεύς^{namp} καί^{c} ἐφίστημι^{vpaanmp} συναρπάζω^{viaa3p} αὐτός^{rpams} καί^{c} ἄγω^{viaa3p} εἰς^{p} ὁ^{dans} συνέδριον^{nans}. **v.13** ἵστημι^{viaa3p} τέ^{xo} μάρτυς^{namp} ψευδής^{aampn} λέγω^{vppaamp} ὁ^{dnms} ἄνθρωπος^{nnms} οὗτος^{rdnms} οὐ^{xo} παύω^{vipm3s} ῥῆμα^{nanp} βλάσφημος^{aanpn} λαλέω^{vppanms} κατά^{p} ὁ^{dgms} τόπος^{ngms} ὁ^{dgms} ἅγιος^{agmsn} οὗτος^{rdgms} καί^{c} ὁ^{dgms} νόμος^{ngms}. **v.14** ἀκούω^{vixa1p} γάρ^{c} αὐτός^{rpgms} λέγω^{vppagms} ὅτι^{c} Ἰησοῦς^{nnms} ὁ^{dnms} Ναζωραῖος^{nnms} οὗτος^{rdnms} καταλύω^{vifa3s} ὁ^{dams} τόπος^{nams} οὗτος^{rdams} καί^{c} ἀλλάσσω^{vifa3s} ὁ^{danp} ἔθος^{nanp} ὅς^{rranp} παραδίδωμι^{viaa3s} ἐγώ$^{rpd-p}$ Μωϋσῆς^{nnms}. **v.15** καί^{c} ἀτενίζω^{vpaanmp} εἰς^{p} αὐτός^{rpams} ἅπας^{aanmpn} ὁ^{dnmp} καθέζομαι^{vppnnmp} ἐν^{p} ὁ^{ddns} συνέδριον^{ndns} ὁράω^{viaa3p} ὁ^{dans} πρόσωπον^{nans} αὐτός^{rpgms} ὡσεί^{bo} πρόσωπον^{nans} ἄγγελος^{ngms}. **7. v.1** λέγω^{viaa3s} δέ^{c} ὁ^{dnms} ἀρχιερεύς^{nnms} εἰ^{qo} ἄρα^{xo} οὗτος^{rdnnp} οὕτω^{bo} ἔχω^{vipa3s}. **v.2** ὁ^{dnms} δέ^{c} φημί^{viix3s} ἀνήρ^{nvmp} ἀδελφός^{nvmp} καί^{c} πατήρ^{nvmp} ἀκούω^{vdaa2p} ὁ^{dnms} θεός^{nnms} ὁ^{dgfs} δόξα^{ngfs} ὁράω^{viap3s} ὁ^{ddms} πατήρ^{ndms} ἐγώ$^{rpg-p}$ Ἀβραάμ^{tp} εἰμί^{vppxdms} ἐν^{p} ὁ^{ddfs} Μεσοποταμία^{ndfs} πρίν^{bo} ἤ^{xo} κατοικέω^{vnaa} αὐτός^{rpams} ἐν^{p} Χαρράν^{tp}. **v.3** καί^{c} λέγω^{viaa3s} πρός^{p} αὐτός^{rpams} ἐξέρχομαι^{vdaa2s} ἐκ^{p} ὁ^{dgfs} γῆ^{ngfs} σύ$^{rpg-s}$ καί^{c} ἐκ^{p} ὁ^{dgfs} συγγένεια^{ngfs} σύ$^{rpg-s}$ καί^{c} δεῦρο^{vdvx2s} εἰς^{p} γῆ^{nafs} ὅς^{rrafs} ἄν^{xo} σύ$^{rpd-s}$ δείκνυμι^{vifa1s}. **v.4** τότε^{bo} ἐξέρχομαι^{vpaanms} ἐκ^{p} γῆ^{ngfs} Χαλδαῖος^{ngmp} κατοικέω^{viaa3s} ἐν^{p} Χαρράν^{tp} κἀκεῖθεν^{bo} μετά^{p} ὁ^{dans} ἀποθνήσκω^{vnaa} ὁ^{dams} πατήρ^{nams} αὐτός^{rpgms} μετοικίζω^{viaa3s} αὐτός^{rpams} εἰς^{p} ὁ^{dafs} γῆ^{nafs} οὗτος^{rdafs} εἰς^{p} ὅς^{rrafs} σύ$^{rpn-p}$ νῦν^{bo} κατοικέω^{vipa2p}. **v.5** καί^{c} οὐ^{xo} δίδωμι^{viaa3s} αὐτός^{rpdms} κληρονομία^{nafs} ἐν^{p} αὐτός^{rpdfs} οὐδέ^{bo} βῆμα^{nans} πούς^{ngms} καί^{c} ἐπαγγέλλομαι^{viad3s} αὐτός^{rpdms} δίδωμι^{vnaa} εἰς^{p} κατάσχεσις^{nafs} αὐτός^{rpafs} καί^{c} ὁ^{ddns} σπέρμα^{ndns} αὐτός^{rpgms} μετά^{p} αὐτός^{rpams} οὐ^{xo} εἰμί^{vppxgns} αὐτός^{rpdms} τέκνον^{ngns}.

τρακόσια. καὶ τὸ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ, εἶπεν ὁ 7
Θεός, καὶ μετὰ ταῦτα ἐξελεύσονται, καὶ λατρεύσουσί μοι ἐν τῷ
τόπῳ τούτῳ. καὶ ἔδωκεν αὐτῷ διαθήκην περιτομῆς, καὶ οὕτως 8
ἐγέννησε τὸν Ἰσαάκ, καὶ περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ,
καὶ ὁ Ἰσαὰκ τὸν Ἰακώβ, καὶ ὁ Ἰακὼβ τοὺς δώδεκα πατριάρχας.
καὶ οἱ πατριάρχαι ζηλώσαντες τὸν Ἰωσὴφ ἀπέδοντο εἰς Αἴγυ- 9
πτον, καὶ ἦν ὁ Θεὸς μετ᾽ αὐτοῦ, καὶ ἐξείλετο αὐτὸν ἐκ πασῶν 10
τῶν θλίψεων αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ χάριν καὶ σοφίαν ἐναντίον
Φαραὼ βασιλέως Αἰγύπτου, καὶ κατέστησεν αὐτὸν ἡγούμενον
ἐπ᾽ Αἴγυπτον καὶ ὅλον τὸν οἶκον αὐτοῦ. ἦλθε δὲ λιμὸς ἐφ᾽ ὅλην 11
τὴν γῆν Αἰγύπτου καὶ Χαναάν, καὶ θλῖψις μεγάλη, καὶ οὐχ εὕ-
ρισκον χορτάσματα οἱ πατέρες ἡμῶν. ἀκούσας δὲ Ἰακὼβ ὄντα 12
σῖτα ἔν Αἰγύπτῳ, ἐξαπέστειλε τοὺς πατέρας ἡμῶν πρῶτον. καὶ 13
ἐν τῷ δευτέρῳ ἀνεγνωρίσθη Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ
φανερὸν ἐγένετο τῷ Φαραὼ τὸ γένος τοῦ Ἰωσήφ. ἀποστείλας 14
δὲ Ἰωσὴφ μετεκαλέσατο τὸν πατέρα αὐτοῦ Ἰακώβ, καὶ πᾶσαν
τὴν συγγένειαν αὐτοῦ, ἐν ψυχαῖς ἑβδομήκοντα πέντε. κατέβη 15
δὲ Ἰακὼβ εἰς Αἴγυπτον, καὶ ἐτελεύτησεν αὐτὸς καὶ οἱ πατέρες
ἡμῶν, καὶ μετετέθησαν εἰς Σιχέμ, καὶ ἐτέθησαν ἐν τῷ μνή- 16
ματι ὃ ὠνήσατο Ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν υἱῶν Ἐμὼρ

---

v.6 λαλέω^{viaa3s} δέ^{c} οὕτω^{bo} ὁ^{dnms} θεός^{nnms} ὅτι^{c} εἰμί^{vifx3s} ὁ^{dnns} σπέρμα^{nnns} αὐτός^{rpgms} πάροικος^{annsn} ἐν^{p} γῇ^{ndfs} ἀλλότριος^{adfsn} καί^{c} δουλόω^{vifa3p} αὐτός^{rpans} καί^{c} κακόω^{vifa3p} ἔτος^{nanp} τετρακόσιοι^{nanp}. **v.7** καί^{c} ὁ^{dans} ἔθνος^{nans} ὅς^{rrdms} ἐάν^{qo} δουλεύω^{vsaa3p} κρίνω^{vifa1s} ἐγώ$^{rpn-s}$ λέγω^{viaa3s} ὁ^{dnms} θεός^{nnms} καί^{c} μετά^{p} οὗτος^{rdanp} ἐξέρχομαι^{vifd3p} καί^{c} λατρεύω^{vifa3p} ἐγώ$^{rpd-s}$ ἐν^{p} ὁ^{ddms} τόπος^{ndms} οὗτος^{rddms}. **v.8** καί^{c} δίδωμι^{viaa3s} αὐτός^{rpdms} διαθήκη^{nafs} περιτομή^{ngfs} καί^{c} οὕτω^{bo} γεννάω^{viaa3s} ὁ^{dams} Ἰσαάκ^{tp} καί^{c} περιτέμνω^{viaa3s} αὐτός^{rpams} ὁ^{ddfs} ἡμέρα^{ndfs} ὁ^{ddfs} ὄγδοος^{adfsn} καί^{c} ὁ^{dnms} Ἰσαάκ^{tp} ὁ^{dams} Ἰακώβ^{tp} καί^{c} ὁ^{dnms} Ἰακώβ^{tp} ὁ^{damp} δώδεκα^{tn} πατριάρχης^{namp}. **v.9** καί^{c} ὁ^{dnmp} πατριάρχης^{nnmp} ζηλόω^{vpaanmp} ὁ^{dams} Ἰωσήφ^{tp} ἀποδίδωμι^{viam3p} εἰς^{p} Αἴγυπτος^{nafs} καί^{c} εἰμί^{viix3s} ὁ^{dnms} θεός^{nnms} μετά^{p} αὐτός^{rpgms}. **v.10** καί^{c} ἐξαιρέω^{viam3s} αὐτός^{rpams} ἐκ^{p} πᾶς^{agfpn} ὁ^{dgfp} θλῖψις^{ngfp} αὐτός^{rpgms} καί^{c} δίδωμι^{viaa3s} αὐτός^{rpdms} χάρις^{nafs} καί^{c} σοφία^{nafs} ἐναντίον^{bo} Φαραώ^{tp} βασιλεύς^{ngms} Αἴγυπτος^{ngfs} καί^{c} καθίστημι^{viaa3s} αὐτός^{rpams} ἡγέομαι^{vppnams} ἐπί^{p} Αἴγυπτος^{nafs} καί^{c} ὅλος^{aamsn} ὁ^{dams} οἶκος^{nams} αὐτός^{rpgms}. **v.11** ἔρχομαι^{viaa3s} δέ^{c} λιμός^{nnms} ἐπί^{p} ὅλος^{aafsn} ὁ^{dafs} γῆ^{nafs} Αἴγυπτος^{ngfs} καί^{c} Χανάαν^{tp} καί^{c} θλῖψις^{nnfs} μέγας^{anfsn} καί^{c} οὐ^{xo} εὑρίσκω^{viia3p} χόρτασμα^{nanp} ὁ^{dnmp} πατήρ^{nnmp} ἐγώ$^{rpg-p}$. **v.12** ἀκούω^{vpaanms} δέ^{c} Ἰακώβ^{tp} εἰμί^{vppxanp} σῖτος^{namp} ἐν^{p} Αἴγυπτος^{ndfs} ἐξαποστέλλω^{viaa3s} ὁ^{damp} πατήρ^{namp} ἐγώ$^{rpg-p}$ πρῶτος^{bo}. **v.13** καί^{c} ἐν^{p} ὁ^{ddms} δεύτερος^{admsn} ἀναγνωρίζομαι^{viap3s} Ἰωσήφ^{tp} ὁ^{ddmp} ἀδελφός^{ndmp} αὐτός^{rpgms} καί^{c} φανερός^{annsn} γίνομαι^{viad3s} ὁ^{ddms} Φαραώ^{tp} ὁ^{dnns} γένος^{nnns} ὁ^{dgms} Ἰωσήφ^{tp}. **v.14** ἀποστέλλω^{vpaanms} δέ^{c} Ἰωσήφ^{tp} μετακαλέω^{viam3s} ὁ^{dams} πατήρ^{nams} αὐτός^{rpgms} Ἰακώβ^{tp} καί^{c} πᾶς^{aafsn} ὁ^{dafs} συγγένεια^{nafs} αὐτός^{rpgms} ἐν^{p} ψυχή^{ndfp} ἑβδομήκοντα^{tn} πέντε^{tn}. **v.15** καταβαίνω^{viaa3s} δέ^{c} Ἰακώβ^{tp} εἰς^{p} Αἴγυπτος^{nafs} καί^{c} τελευτάω^{viaa3s} αὐτός^{rpnms} καί^{c} ὁ^{dnmp} πατήρ^{nnmp} ἐγώ$^{rpg-p}$.

17 τοῦ Σιχέμ. καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας ἧς ὤ-
μοσεν ὁ Θεὸς τῷ Ἀβραάμ, ηὔξησεν ὁ λαὸς καὶ ἐπληθύνθη ἐν
18 Αἰγύπτῳ, ἄχρις οὗ ἀνέστη βασιλεὺς ἕτερος, ὃς οὐκ ᾔδει τὸν Ἰ-
19 ωσήφ. οὗτος κατασοφισάμενος τὸ γένος ἡμῶν, ἐκάκωσε τοὺς
πατέρας ἡμῶν, τοῦ ποιεῖν ἔκθετα τὰ βρέφη αὐτῶν, εἰς τὸ μὴ
20 ζωογονεῖσθαι. ἐν ᾧ καιρῷ ἐγεννήθη Μωσῆς, καὶ ἦν ἀστεῖος
τῷ Θεῷ, ὃς ἀνετράφη μῆνας τρεῖς ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐ-
21 τοῦ. ἐκτεθέντα δὲ αὐτόν, ἀνείλετο αὐτὸν ἡ θυγάτηρ Φαραώ,
22 καὶ ἀνεθρέψατο αὐτὸν ἑαυτῇ εἰς υἱόν. καὶ ἐπαιδεύθη Μωσῆς
πάσῃ σοφίᾳ Αἰγυπτίων, ἦν δὲ δυνατὸς ἐν λόγοις καὶ ἐν ἔργοις.
23 ὡς δὲ ἐπληροῦτο αὐτῷ τεσσαρακονταετὴς χρόνος, ἀνέβη ἐπὶ
τὴν καρδίαν αὐτοῦ ἐπισκέψασθαι τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς
24 υἱοὺς Ἰσραήλ. καὶ ἰδών τινα ἀδικούμενον, ἠμύνατο καὶ ἐ-
ποίησεν ἐκδίκησιν τῷ καταπονουμένῳ, πατάξας τὸν Αἰγύπτιον,
25 ἐνόμιζε δὲ συνιέναι τοὺς ἀδελφοὺς αὐτοῦ ὅτι ὁ Θεὸς διὰ χει-
26 ρὸς αὐτοῦ δίδωσιν αὐτοῖς σωτηρίαν, οἱ δὲ οὐ συνῆκαν. τῇ
δὲ ἐπιούσῃ ἡμέρᾳ ὤφθη αὐτοῖς μαχομένοις, καὶ συνήλασεν
αὐτοὺς εἰς εἰρήνην, εἰπών, Ἄνδρες, ἀδελφοί ἐστε ὑμεῖς, ἱνατί
27 ἀδικεῖτε ἀλλήλους· ὁ δὲ ἀδικῶν τὸν πλησίον ἀπώσατο αὐτόν,

---

v.16 καί^{c} μετατίθημι^{viap3p} εἰς^{p} Συχέμ^{tp} καί^{c} τίθημι^{viap3p} ἐν^{p} ὁ^{ddns} μνῆμα^{ndns} ὅς^{rrans} ὠνέομαι^{viad3s} Ἀβραάμ^{tp} τιμή^{ngfs} ἀργύριον^{ngns} παρά^{p} ὁ^{dgmp} υἱός^{ngmp} Ἐμμώρ^{tp} ὁ^{dgms} Συχέμ^{tp}. **v.17** καθώς^{bo} δέ^{c} ἐγγίζω^{viia3s} ὁ^{dnms} χρόνος^{nnms} ὁ^{dgfs} ἐπαγγελία^{ngfs} ὅς^{rrgfs} ὀμνύω^{viaa3s} ὁ^{dnms} θεός^{nnms} ὁ^{ddms} Ἀβραάμ^{tp} αὐξάνω^{viaa3s} ὁ^{dnms} λαός^{nnms} καί^{c} πληθύνω^{viap3s} ἐν^{p} Αἴγυπτος^{ndfs}. **v.18** ἄχρι^{p} ὅς^{bo} ἀνίστημι^{viaa3s} βασιλεύς^{nnms} ἕτερος^{anmsn} ὅς^{rrnms} οὐ^{xo} οἶδα^{viya3s} ὁ^{dams} Ἰωσήφ^{tp}. **v.19** οὗτος^{rdnms} κατασοφίζομαι^{vpadnms} ὁ^{dans} γένος^{nans} ἐγώ$^{rpg-p}$ κακόω^{viaa3s} ὁ^{damp} πατήρ^{namp} ἐγώ$^{rpg-p}$ ὁ^{dgms} ποιέω^{vnpa} ἔκθετος^{aanpn} ὁ^{danp} βρέφος^{nanp} αὐτός^{rpgmp} εἰς^{p} ὁ^{dans} μή^{xo} ζῳογονέω^{vnpp}. **v.20** ἐν^{p} ὅς^{rrdms} καιρός^{ndms} γεννάω^{viap3s} Μωϋσῆς^{nnms} καί^{c} εἰμί^{viix3s} ἀστεῖος^{anmsn} ὁ^{ddms} θεός^{ndms} ὅς^{rrnms} ἀνατρέφω^{viap3s} μήν^{namp} τρεῖς^{namp} ἐν^{p} ὁ^{ddms} οἶκος^{ndms} ὁ^{dgms} πατήρ^{ngms} αὐτός^{rpgms}. **v.21** ἐκτίθημι^{vpapams} δέ^{c} αὐτός^{rpams} ἀναιρέω^{viam3s} αὐτός^{rpams} ὁ^{dnfs} θυγάτηρ^{nnfs} Φαραώ^{tp} καί^{c} ἀνατρέφω^{viam3s} αὐτός^{rpams} ἑαυτοῦ^{rxdfs} εἰς^{p} υἱός^{nams}. **v.22** καί^{c} παιδεύω^{viap3s} Μωϋσῆς^{nnms} πᾶς^{adfsn} σοφία^{ndfs} Αἰγύπτιος^{agmpn} εἰμί^{viix3s} δέ^{c} δυνατός^{anmsn} ἐν^{p} λόγος^{ndmp} καί^{c} ἐν^{p} ἔργον^{ndnp}. **v.23** ὡς^{bo} δέ^{c} πληρόω^{viip3s} αὐτός^{rpdms} τεσσερακονταετής^{anmsn} χρόνος^{nnms} ἀναβαίνω^{viaa3s} ἐπί^{p} ὁ^{dafs} καρδία^{nafs} αὐτός^{rpgms} ἐπισκέπτομαι^{vnad} ὁ^{damp} ἀδελφός^{namp} αὐτός^{rpgms} ὁ^{damp} υἱός^{namp} Ἰσραήλ^{tp}. **v.24** καί^{c} ὁράω^{vpaanms} τι-σριαμσ ἀδικέω^{vpppams} ἀμύνομαι^{viad3s} καί^{c} ποιέω^{viaa3s} ἐκδίκησις^{nafs} ὁ^{ddms} καταπονέω^{vpppdms} πατάσσω^{vpaanms} ὁ^{dams} Αἰγύπτιος^{aamsn}. **v.25** νομίζω^{viia3s} δέ^{c} συνίημι^{vnpa} ὁ^{damp} ἀδελφός^{namp} αὐτός^{rpgms} ὅτι^{c} ὁ^{dnms} θεός^{nnms} διά^{p} χείρ^{ngfs} αὐτός^{rpgms} δίδωμι^{vipa3s} αὐτός^{rpdmp} σωτηρία^{nafs} ὁ^{dnmp} δέ^{c} οὐ^{xo} συνίημι^{viaa3p}. **v.26** ὁ^{ddfs} δέ^{c} ἔπειμι^{vppxdfs} ἡμέρα^{ndfs} ὁράω^{viap3s} αὐτός^{rpdmp} μάχομαι^{vppndmp} καί^{c} συνελαύνω^{viaa3s} αὐτός^{rpamp} εἰς^{p} εἰρήνη^{nafs} λέγω^{vpaanms} ἀνήρ^{nvmp} ἀδελφός^{nnmp} εἰμί^{vipx2p} σύ$^{rpn-p}$ ἱνατί^{bo} ἀδικέω^{vipa2p} ἀλλήλων^{reamp}.

εἰπών, Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ᾽ ἡμᾶς· μὴ 28
ἀνελεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον·
ἔφυγεν δὲ Μωσῆς ἐν τῷ λόγῳ τούτῳ, καὶ ἐγένετο πάροικος ἐν 29
γῇ Μαδιάμ, οὗ ἐγέννησεν υἱοὺς δύο. καὶ πληρωθέντων ἐτῶν 30
τεσσαράκοντα, ὤφθη αὐτῷ ἐν τῇ ἐρήμῳ τοῦ ὄρους Σινᾶ ἄγγελος
Κυρίου ἐν φλογὶ πυρὸς βάτου. ὁ δὲ Μωσῆς ἰδὼν ἐθαύμασεν 31
τὸ ὅραμα, προσερχομένου δὲ αὐτοῦ κατανοῆσαι, ἐγένετο φωνὴ
Κυρίου πρὸς αὐτόν, Ἐγὼ ὁ Θεὸς τῶν πατέρων σου, ὁ Θεὸς 32
Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ. ἔντρομος δὲ
γενόμενος Μωσῆς οὐκ ἐτόλμα κατανοῆσαι. εἶπε δὲ αὐτῷ ὁ 33
Κύριος, Λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου, ὁ γὰρ τόπος ἐν
ᾧ ἕστηκας γῆ ἁγία ἐστίν. ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ 34
μου τοῦ ἐν Αἰγύπτῳ, καὶ τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα, καὶ
κατέβην ἐξελέσθαι αὐτούς, καὶ νῦν δεῦρο, ἀποστελῶ σε εἰς Αἴ-
γυπτον. τοῦτον τὸν Μωϋσῆν ὃν ἠρνήσαντο εἰπόντες, Τίς σε 35
κατέστησεν ἄρχοντα καὶ δικαστήν· τοῦτον ὁ Θεὸς ἄρχοντα καὶ
λυτρωτὴν ἀπέστειλεν ἐν χειρὶ ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ
βάτῳ. οὗτος ἐξήγαγεν αὐτούς, ποιήσας τέρατα καὶ σημεῖα ἐν 36
γῇ Αἰγύπτου καὶ ἐν Ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐν τῇ ἐρήμῳ ἔτη τεσ-
σαράκοντα. οὗτός ἐστιν ὁ Μωϋσῆς ὁ εἰπὼν τοῖς υἱοῖς Ἰσραήλ, 37

---

v.27 ὁ^{dnms} δέ^{c} ἀδικέω^{vppanms} ὁ^{dams} πλησίον^{bo} ἀπωθέομαι^{viad3s} αὐτός^{rpams} λέγω^{vpaanms} τίς^{rqnms} σύ$^{rpa-s}$ καθίστημι^{viaa3s} ἄρχων^{nams} καί^{c} δικαστής^{nafs} ἐπί^{p} ἐγώ$^{rpa-p}$. **v.28** μή^{xo} ἀναιρέω^{vnaa} ἐγώ$^{rpa-s}$ σύ$^{rpn-s}$ θέλω^{vipa2s} ὅς^{rrams} τρόπος^{nams} ἀναιρέω^{viaa2s} ἐχθές^{bo} ὁ^{dams} Αἰγύπτιος^{aamsn}. **v.29** φεύγω^{viaa3s} δέ^{c} Μωϋσῆς^{nnms} ἐν^{p} ὁ^{ddms} λόγος^{ndms} οὗτος^{rddms} καί^{c} γίνομαι^{viad3s} πάροικος^{anmsn} ἐν^{p} γῆ^{ndfs} Μαδιάμ^{tp} ὅς^{bo} γεννάω^{viaa3s} υἱός^{namp} δύο^{tn}. **v.30** καί^{c} πληρόω^{vpapgnp} ἔτος^{ngnp} τεσσεράκοντα^{tn} ὁράω^{viap3s} αὐτός^{rpdms} ἐν^{p} ὁ^{ddfs} ἔρημος^{adfsn} ὁ^{dgns} ὄρος^{ngns} Σινᾶ^{tp} ἄγγελος^{nnms} κύριος^{ngms} ἐν^{p} φλόξ^{ndfs} πῦρ^{ngns} βάτος^{ngms}. **v.31** ὁ^{dnms} δέ^{c} Μωϋσῆς^{nnms} ὁράω^{vpaanms} θαυμάζω^{viaa3s} ὁ^{dans} ὅραμα^{nans} προσέρχομαι^{vppngms} δέ^{c} αὐτός^{rpgms} κατανοέω^{vnaa} γίνομαι^{viad3s} φωνή^{nnfs} κύριος^{ngms} πρός^{p} αὐτός^{rpams}. **v.32** ἐγώ$^{rpn-s}$ ὁ^{dnms} θεός^{nnms} ὁ^{dgmp} πατήρ^{ngmp} σύ$^{rpg-s}$ ὁ^{dnms} θεός^{nnms} Ἀβραάμ^{tp} καί^{c} ὁ^{dnms} θεός^{nnms} Ἰσαάκ^{tp} καί^{c} ὁ^{dnms} θεός^{nnms} Ἰακώβ^{tp} ἔντρομος^{anmsn} δέ^{c} γίνομαι^{vpadnms} Μωϋσῆς^{nnms} οὐ^{xo} τολμάω^{viia3s} κατανοέω^{vnaa}. **v.33** λέγω^{viaa3s} δέ^{c} αὐτός^{rpdms} ὁ^{dnms} κύριος^{nnms} λύω^{vdaa2s} ὁ^{dans} ὑπόδημα^{nans} ὁ^{dgmp} πούς^{ngmp} σύ$^{rpg-s}$ ὁ^{dnms} γάρ^{c} τόπος^{nnms} ἐν^{p} ὅς^{rrdms} ἵστημι^{vixa2s} γῆ^{nnfs} ἅγιος^{anfsn} εἰμί^{vipx3s}. **v.34** ὁράω^{vpaanms} ὁράω^{viaa1s} ὁ^{dafs} κάκωσις^{nafs} ὁ^{dgms} λαός^{ngms} ἐγώ$^{rpg-s}$ ὁ^{dgms} ἐν^{p} Αἴγυπτος^{ndfs} καί^{c} ὁ^{dgms} στεναγμός^{ngms} αὐτός^{rpgmp} ἀκούω^{viaa1s} καί^{c} καταβαίνω^{viaa1s} ἐξαιρέω^{vnam} αὐτός^{rpamp} καί^{c} νῦν^{bo} δεῦρο^{vdvx2s} ἀποστέλλω^{vifa1s} σύ$^{rpa-s}$ εἰς^{p} Αἴγυπτος^{nafs}. **v.35** οὗτος^{rdams} ὁ^{dams} Μωϋσῆς^{nams} ὅς^{rrams} ἀρνέομαι^{viad3p} λέγω^{vpaanmp} τίς^{rqnms} σύ$^{rpa-s}$ καθίστημι^{viaa3s} ἄρχων^{nams} καί^{c} δικαστής^{nafs} οὗτος^{rdams} ὁ^{dnms} θεός^{nnms} ἄρχων^{nams} καί^{c} λυτρωτής^{nams} ἀποστέλλω^{viaa3s} ἐν^{p} χείρ^{ndfs} ἄγγελος^{ngms} ὁ^{dgms} ὁράω^{vpapgms} αὐτός^{rpdms} ἐν^{p} ὁ^{ddfs} βάτος^{ndms}. **v.36** οὗτος^{rdnms} ἐξάγω^{viaa3s} αὐτός^{rpamp} ποιέω^{vpaanms} τέρας^{nanp} καί^{c} σημεῖον^{nanp} ἐν^{p} γῆ^{ndfs} Αἴγυπτος^{ngfs} καί^{c} ἐν^{p} ἐρυθρός^{adfsn} θάλασσα^{ndfs} καί^{c} ἐν^{p} ὁ^{ddfs} ἔρημος^{adfsn} ἔτος^{nnnp} τεσσεράκοντα^{tn}.

Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν
38 ὑμῶν ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε. οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ
ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ, μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ
ἐν τῷ ὄρει Σινᾶ καὶ τῶν πατέρων ἡμῶν, ὃς ἐδέξατο λόγια ζῶντα
39 δοῦναι ἡμῖν, ᾧ οὐκ ἠθέλησαν ὑπήκοοι γενέσθαι οἱ πατέρες
ἡμῶν, ἀλλ᾽ ἀπώσαντο, καὶ ἐστράφησαν ταῖς καρδίαις αὐτῶν εἰς
40 Αἴγυπτον, εἰπόντες τῷ Ἀαρών, Ποίησον ἡμῖν θεοὺς οἳ προπο-
ρεύσονται ἡμῶν, ὁ γὰρ Μωσῆς οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς
41 Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ. καὶ ἐμοσχοποίησαν
ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀνήγαγον θυσίαν τῷ εἰδώλῳ, καὶ
42 εὐφραίνοντο ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν. ἔστρεψε δὲ ὁ
Θεός, καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρα-
νοῦ, καθὼς γέγραπται ἐν βίβλῳ τῶν προφητῶν, Μὴ σφάγια καὶ
θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ, οἶκος
43 Ἰσραήλ· καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολόχ καὶ τὸ ἄστρον
τοῦ θεοῦ ὑμῶν Ῥεμφάν, τοὺς τύπους οὓς ἐποιήσατε προσκυ-
44 νεῖν αὐτοῖς, καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος. ἡ σκηνὴ
τοῦ μαρτυρίου ἦν τοῖς πατράσιν ἡμῶν ἐν τῇ ἐρήμῳ, καθὼς δι-
ετάξατο ὁ λαλῶν τῷ Μωσῇ, ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον ὃν
45 ἑωράκει. ἣν καὶ εἰσήγαγον διαδεξάμενοι οἱ πατέρες ἡμῶν με-
τὰ Ἰησοῦ ἐν τῇ κατασχέσει τῶν ἐθνῶν, ὧν ἐξῶσεν ὁ Θεὸς ἀπὸ

---

v.37 οὗτος^{rdnms} εἰμί^{vipx3s} ὁ^{dnms} Μωϋσῆς^{nnms} ὁ^{dnms} λέγω^{vpaanms} ὁ^{ddmp} υἱός^{ndmp} Ἰσραήλ^{tp} προφήτης^{nams} σύ$^{rpd-p}$ ἀνίστημι^{vifa3s} κύριος^{nnms} ὁ^{dnms} θεός^{nnms} σύ$^{rpg-p}$ ἐκ^{p} ὁ^{dgmp} ἀδελφός^{ngmp} σύ$^{rpg-p}$ ὡς^{bo} ἐγώ$^{rpa-s}$ αὐτός^{rpgms} ἀκούω^{vifd2p}. **v.38** οὗτος^{rdnms} εἰμί^{vipx3s} ὁ^{dnms} γίνομαι^{vpadnms} ἐν^{p} ὁ^{ddfs} ἐκκλησία^{ndfs} ἐν^{p} ὁ^{ddfs} ἔρημος^{adfsn} μετά^{p} ὁ^{dgms} ἄγγελος^{ngms} ὁ^{dgms} λαλέω^{vppagms} αὐτός^{rpdms} ἐν^{p} ὁ^{ddns} ὄρος^{ndns} Σινᾶ^{tp} καί^{c} ὁ^{dgmp} πατήρ^{ngmp} ἐγώ$^{rpg-p}$ ὅς^{rrnms} δέχομαι^{viad3s} λόγιον^{nanp} ζάω^{vppaanp} δίδωμι^{vnaa} ἐγώ$^{rpd-p}$. **v.39** ὅς^{rrdms} οὐ^{xo} θέλω^{viaa3p} ὑπήκοος^{anmpn} γίνομαι^{vnad} ὁ^{dnmp} πατήρ^{nnmp} ἐγώ$^{rpg-p}$ ἀλλά^{c} ἀπωθέομαι^{viad3p} καί^{c} στρέφω^{viap3p} ὁ^{ddfp} καρδία^{ndfp} αὐτός^{rpgmp} εἰς^{p} Αἴγυπτος^{nafs}. **v.40** λέγω^{vpaanmp} ὁ^{ddms} Ἀαρών^{tp} ποιέω^{vdaa2s} ἐγώ$^{rpd-p}$ θεός^{namp} ὅς^{rrnmp} προπορεύομαι^{vifd3p} ἐγώ$^{rpg-p}$ ὁ^{dnms} γάρ^{c} Μωϋσῆς^{nnms} οὗτος^{rdnms} ὅς^{rrnms} ἐξάγω^{viaa3s} ἐγώ$^{rpa-p}$ ἐκ^{p} γῆ^{ngfs} Αἴγυπτος^{ngfs} οὐ^{xo} οἶδα^{vixa1p} τίς^{rqnns} γίνομαι^{vixa3s} αὐτός^{rpdms}. **v.41** καί^{c} μοσχοποιέω^{viaa3p} ἐν^{p} ὁ^{ddfp} ἡμέρα^{ndfp} ἐκεῖνος^{rddfp} καί^{c} ἀνάγω^{viaa3p} θυσία^{nafs} ὁ^{ddns} εἴδωλον^{ndns} καί^{c} εὐφραίνω^{viip3p} ἐν^{p} ὁ^{ddnp} ἔργον^{ndnp} ὁ^{dgfp} χείρ^{ngfp} αὐτός^{rpgmp}. **v.42** στρέφω^{viaa3s} δέ^{c} ὁ^{dnms} θεός^{nnms} καί^{c} παραδίδωμι^{viaa3s} αὐτός^{rpamp} λατρεύω^{vnpa} ὁ^{ddfs} στρατιά^{ndfs} ὁ^{dgms} οὐρανός^{ngms} καθώς^{bo} γράφω^{vixp3s} ἐν^{p} βίβλος^{ndfs} ὁ^{dgmp} προφήτης^{ngmp} μή^{xo} σφάγιον^{nanp} καί^{c} θυσία^{nafp} προσφέρω^{viaa2p} ἐγώ$^{rpd-s}$ ἔτος^{nanp} τεσσεράκοντα^{tn} ἐν^{p} ὁ^{ddfs} ἔρημος^{adfsn} οἶκος^{nnms} Ἰσραήλ^{tp}. **v.43** καί^{c} ἀναλαμβάνω^{viaa2p} ὁ^{dafs} σκηνή^{nafs} ὁ^{dgms} Μολόχ^{tp} καί^{c} ὁ^{dans} ἄστρον^{nans} ὁ^{dgms} θεός^{ngms} σύ$^{rpg-p}$ Ῥαιφάν^{tp} ὁ^{damp} τύπος^{namp} ὅς^{rramp} ποιέω^{viaa2p} προσκυνέω^{vnpa} αὐτός^{rpdmp} καί^{c} μετοικίζω^{vifa1s} σύ$^{rpa-p}$ ἐπέκεινα^{bo} Βαβυλών^{ngfs}. **v.44** ὁ^{dnfs} σκηνή^{nnfs} ὁ^{dgns} μαρτύριον^{ngns} εἰμί^{viix3s} ὁ^{ddmp} πατήρ^{ndmp} ἐγώ$^{rpg-p}$ ἐν^{p} ὁ^{ddfs} ἔρημος^{adfsn} καθώς^{bo} διατάσσω^{viam3s} ὁ^{dnms} λαλέω^{vppanms} ὁ^{ddms} Μωϋσῆς^{ndms} ποιέω^{vnaa} αὐτός^{rpafs} κατά^{p} ὁ^{dams} τύπος^{nams} ὅς^{rrams} ὁράω^{viya3s}.

προσώπου τῶν πατέρων ἡμῶν, ἕως τῶν ἡμερῶν Δαβίδ, ὃς εὗρε 46
χάριν ἐνώπιον τοῦ Θεοῦ, καὶ ᾐτήσατο εὑρεῖν σκήνωμα τῷ Θε-
ῷ Ἰακώβ. Σολομῶν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον. ἀλλ᾽ οὐχ ὁ 47, 48
ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, καθὼς ὁ προφήτης
λέγει, Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν 49
μου, ποῖον οἶκον οἰκοδομήσετέ μοι λέγει Κύριος, ἢ τίς τόπος
τῆς καταπαύσεώς μου· οὐχὶ ἡ χείρ μου ἐποίησε ταῦτα πάντα· 50
Σκληροτράχηλοι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσίν, ὑ- 51
μεῖς ἀεὶ τῷ Πνεύματι τῷ Ἁγίῳ ἀντιπίπτετε, ὡς οἱ πατέρες ὑμῶν,
καὶ ὑμεῖς. τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν· 52
καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ
δικαίου, οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς γεγένησθε, οἵτινες 53
ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε.
Ἀκούοντες δὲ ταῦτα, διεπρίοντο ταῖς καρδίαις αὐτῶν, καὶ ἔβρυ- 54
χον τοὺς ὀδόντας ἐπ᾽ αὐτόν. ὑπάρχων δὲ πλήρης Πνεύματος 55
Ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανόν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν
ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ, καὶ εἶπεν, Ἰδού, θεωρῶ τοὺς οὐρα- 56
νοὺς ἀνεῳγμένους, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα
τοῦ Θεοῦ. κράξαντες δὲ φωνῇ μεγάλῃ, συνέσχον τὰ ὦτα αὐ- 57

---

v.45 ὅς^{rrafs} καί^{c} εἰσάγω^{viaa3p} διαδέχομαι^{vpadnmp} ὁ^{dnmp} πατήρ^{nnmp} ἐγώ$^{rpg-p}$ μετά^{p} Ἰησοῦς^{ngms} ἐν^{p} ὁ^{ddfs} κατάσχεσις^{ndfs} ὁ^{dgnp} ἔθνος^{ngnp} ὅς^{rrgnp} ἐξωθέω^{viaa3s} ὁ^{dnms} θεός^{nnms} ἀπό^{p} πρόσωπον^{ngns} ὁ^{dgmp} πατήρ^{ngmp} ἐγώ$^{rpg-p}$ ἕως^{c} ὁ^{dgfp} ἡμέρα^{ngfp} Δαυίδ^{tp}. **v.46** ὅς^{rrnms} εὑρίσκω^{viaa3s} χάρις^{nafs} ἐνώπιον^{bo} ὁ^{dgms} θεός^{ngms} καί^{c} αἰτέω^{viam3s} εὑρίσκω^{vnaa} σκήνωμα^{nans} ὁ^{ddms} θεός^{ndms} Ἰακώβ^{tp}. **v.47** Σολομών^{nnms} δέ^{c} οἰκοδομέω^{viaa3s} αὐτός^{rpdms} οἶκος^{nams}. **v.48** ἀλλά^{c} οὐ^{xo} ὁ^{dnms} ὕψιστος^{anmsn} ἐν^{p} χειροποίητος^{admpn} ναός^{ndmp} κατοικέω^{vipa3s} καθώς^{bo} ὁ^{dnms} προφήτης^{nnms} λέγω^{vipa3s}. **v.49** ὁ^{dnms} οὐρανός^{nnms} ἐγώ$^{rpd-s}$ θρόνος^{nnms} ὁ^{dnfs} δέ^{c} γῆ^{nnfs} ὑποπόδιον^{nnns} ὁ^{dgmp} πούς^{ngmp} ἐγώ$^{rpg-s}$ ποῖος^{rqams} οἶκος^{nams} οἰκοδομέω^{vifa2p} ἐγώ$^{rpd-s}$ λέγω^{vipa3s} κύριος^{nnms} ἤ^{xo} τίς^{rqnms} τόπος^{nnms} ὁ^{dgfs} κατάπαυσις^{ngfs} ἐγώ$^{rpg-s}$. **v.50** οὐχί^{xo} ὁ^{dnfs} χείρ^{nnfs} ἐγώ$^{rpg-s}$ ποιέω^{viaa3s} οὗτος^{rdanp} πᾶς^{aanpn}. **v.51** σκληροτράχηλος^{avmpn} καί^{c} ἀπερίτμητος^{avmpn} ὁ^{ddfs} καρδία^{ndfs} καί^{c} ὁ^{ddnp} οὖς^{ndnp} σύ$^{rpn-p}$ ἀεί^{bo} ὁ^{ddns} πνεῦμα^{ndns} ὁ^{ddns} ἅγιος^{adnsn} ἀντιπίπτω^{vipa2p} ὡς^{bo} ὁ^{dnmp} πατήρ^{nnmp} σύ$^{rpg-p}$ καί^{c} σύ$^{rpn-p}$. **v.52** τίς^{rqams} ὁ^{dgmp} προφήτης^{ngmp} οὐ^{xo} διώκω^{viaa3p} ὁ^{dnmp} πατήρ^{nnmp} σύ$^{rpg-p}$ καί^{c} ἀποκτείνω^{viaa3p} ὁ^{damp} προκαταγγέλλω^{vpaaamp} περί^{p} ὁ^{dgfs} ἔλευσις^{ngfs} ὁ^{dgms} δίκαιος^{agmsn} ὅς^{rrgms} νῦν^{bo} σύ$^{rpn-p}$ προδότης^{nnmp} καί^{c} φονεύς^{nnmp} γίνομαι^{vixp2p}. **v.53** ὅστις^{rrnmp} λαμβάνω^{viaa2p} ὁ^{dams} νόμος^{nams} εἰς^{p} διαταγή^{nafp} ἄγγελος^{ngmp} καί^{c} οὐ^{xo} φυλάσσω^{viaa2p}. **v.54** ἀκούω^{vppanmp} δέ^{c} οὗτος^{rdanp} διαπρίω^{viip3p} ὁ^{ddfp} καρδία^{ndfp} αὐτός^{rpgmp} καί^{c} βρύχω^{viia3p} ὁ^{damp} ὀδούς^{namp} ἐπί^{p} αὐτός^{rpams}. **v.55** ὑπάρχω^{vppanms} δέ^{c} πλήρης^{anmsn} πνεῦμα^{ngns} ἅγιος^{agnsn} ἀτενίζω^{vpaanms} εἰς^{p} ὁ^{dams} οὐρανός^{nams} ὁράω^{viaa3s} δόξα^{nafs} θεός^{ngms} καί^{c} Ἰησοῦς^{nams} ἵστημι^{vpxaams} ἐκ^{p} δεξιός^{agmpn} ὁ^{dgms} θεός^{ngms}. **v.56** καί^{c} λέγω^{viaa3s} ἰδού^{vdaa2s} θεωρέω^{vipa1s} ὁ^{damp} οὐρανός^{namp} ἀνοίγω^{vpxpamp} καί^{c} ὁ^{dams} υἱός^{nams} ὁ^{dgms} ἄνθρωπος^{ngms} ἐκ^{p} δεξιός^{agmpn} ἵστημι^{vpxaams} ὁ^{dgms} θεός^{ngms}.

58 τῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ᾽ αὐτόν, καὶ ἐκβαλόντες ἔξω
τῆς πόλεως, ἐλιθοβόλουν, καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια
59 αὐτῶν παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου. καὶ
ἐλιθοβόλουν τὸν Στέφανον, ἐπικαλούμενον καὶ λέγοντα, Κύριε
60 Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου. θεὶς δὲ τὰ γόνατα, ἔκραξε φωνῇ
μεγάλῃ, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. καὶ
τοῦτο εἰπὼν ἐκοιμήθη.

8 Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. Ἐγένετο δὲ
ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν
Ἰεροσολύμοις, πάντες τε διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰ-
2 ουδαίας καὶ Σαμαρείας, πλὴν τῶν ἀποστόλων. συνεκόμισαν
δὲ τὸν Στέφανον ἄνδρες εὐλαβεῖς, καὶ ἐποιήσαντο κοπετὸν μέ-
3 γαν ἐπ᾽ αὐτῷ. Σαῦλος δὲ ἐλυμαίνετο τὴν ἐκκλησίαν, κατὰ
τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας
4 παρεδίδου εἰς φυλακήν. Οἱ μὲν οὖν διασπαρέντες διῆλθον,
5 εὐαγγελιζόμενοι τὸν λόγον. Φίλιππος δὲ κατελθὼν εἰς πόλιν
6 τῆς Σαμαρείας, ἐκήρυσσεν αὐτοῖς τὸν Χριστόν. προσεῖχον τε
οἱ ὄχλοι τοῖς λεγομένοις ὑπὸ τοῦ Φιλίππου ὁμοθυμαδόν, ἐν
7 τῷ ἀκούειν αὐτοὺς καὶ βλέπειν τὰ σημεῖα ἃ ἐποίει. πολλῶν
γὰρ τῶν ἐχόντων πνεύματα ἀκάθαρτα, βοῶντα μεγάλῃ φωνῇ ἐ-
ξήρχετο, πολλοὶ δὲ παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν.

---

v.57 κράζω^{vpaanmp} δέ^{c} φωνή^{ndfs} μέγας^{adfsn} συνέχω^{viaa3p} ὁ^{danp} οὖς^{nanp} αὐτός^{rpgmp} καί^{c} ὁρμάω^{viaa3p} ὁμοθυμαδόν^{bo} ἐπί^{p} αὐτός^{rpams}. **v.58** καί^{c} ἐκβάλλω^{vpaanmp} ἔξω^{bo} ὁ^{dgfs} πόλις^{ngfs} λιθοβολέω^{viia3p} καί^{c} ὁ^{dnmp} μάρτυς^{nnmp} ἀποτίθημι^{viam3p} ὁ^{danp} ἱμάτιον^{nanp} αὐτός^{rpgmp} παρά^{p} ὁ^{damp} πούς^{namp} νεανίας^{ngms} καλέω^{vpppgms} Σαῦλος^{ngms}. **v.59** καί^{c} λιθοβολέω^{viia3p} ὁ^{dams} Στέφανος^{nams} ἐπικαλέω^{vppmams} καί^{c} λέγω^{vppaams} κύριος^{nvms} Ἰησοῦς^{nvms} δέχομαι^{vdad2s} ὁ^{dans} πνεῦμα^{nans} ἐγώ$^{rpg\text{-}s}$. **v.60** τίθημι^{vpaanms} δέ^{c} ὁ^{danp} γόνυ^{nanp} κράζω^{viaa3s} φωνή^{ndfs} μέγας^{adfsn} κύριος^{nvms} μή^{xo} ἵστημι^{vsaa2s} αὐτός^{rpdmp} ὁ^{dafs} ἁμαρτία^{nafs} οὗτος^{rdafs} καί^{c} οὗτος^{rdans} λέγω^{vpaanms} κοιμάομαι^{viap3s}. **8. v.1** Σαῦλος^{nnms} δέ^{c} εἰμί^{viix3s} συνευδοκέω^{vppanms} ὁ^{ddfs} ἀναίρεσις^{ndfs} αὐτός^{rpgms} γίνομαι^{viad3s} δέ^{c} ἐν^{p} ἐκεῖνος^{rddfs} ὁ^{ddfs} ἡμέρα^{ndfs} διωγμός^{nnms} μέγας^{anmsn} ἐπί^{p} ὁ^{dafs} ἐκκλησία^{nafs} ὁ^{dafs} ἐν^{p} Ἱεροσόλυμα^{ndnp} πᾶς^{anmpn} τέ^{xo} διασπείρω^{viap3p} κατά^{p} ὁ^{dafp} χώρα^{nafp} ὁ^{dgfs} Ἰουδαία^{ngfs} καί^{c} Σαμάρεια^{ngfs} πλήν^{bo} ὁ^{dgmp} ἀπόστολος^{ngmp}. **v.2** συγκομίζω^{viaa3p} δέ^{c} ὁ^{dams} Στέφανος^{nams} ἀνήρ^{nnmp} εὐλαβής^{anmpn} καί^{c} ποιέω^{viam3p} κοπετός^{nams} μέγας^{aamsn} ἐπί^{p} αὐτός^{rpdms}. **v.3** Σαῦλος^{nnms} δέ^{c} λυμαίνω^{viin3s} ὁ^{dafs} ἐκκλησία^{nafs} κατά^{p} ὁ^{damp} οἶκος^{namp} εἰσπορεύομαι^{vppnnms} σύρω^{vppanms} τέ^{xo} ἀνήρ^{namp} καί^{c} γυνή^{nafp} παραδίδωμι^{viia3s} εἰς^{p} φυλακή^{nafs}. **v.4** ὁ^{dnmp} μέν^{xo} οὖν^{c} διασπείρω^{vpapnmp} διέρχομαι^{viaa3s} εὐαγγελίζω^{vppmnmp} ὁ^{dams} λόγος^{nams}. **v.5** Φίλιππος^{nnms} δέ^{c} κατέρχομαι^{vpaanms} εἰς^{p} πόλις^{nafs} ὁ^{dgfs} Σαμάρεια^{ngfs} κηρύσσω^{viia3s} αὐτός^{rpdmp} ὁ^{dams} Χριστός^{nams}. **v.6** προσέχω^{viia3p} τέ^{xo} ὁ^{dnmp} ὄχλος^{nnmp} ὁ^{ddnp} λέγω^{vpppdnp} ὑπό^{p} ὁ^{dgms} Φίλιππος^{ngms} ὁμοθυμαδόν^{bo} ἐν^{p} ὁ^{ddms} ἀκούω^{vnpa} αὐτός^{rpamp} καί^{c} βλέπω^{vnpa} ὁ^{danp} σημεῖον^{nanp} ὅς^{rranp} ποιέω^{viia3s}. **v.7** πολύς^{agmpn} γάρ^{c} ὁ^{dgmp} ἔχω^{vppagmp} πνεῦμα^{nanp} ἀκάθαρτος^{aanpn} βοάω^{vppannp} μέγας^{adfsn} φωνή^{ndfs} ἐξέρχομαι^{viin3s} πολύς^{anmpn} δέ^{c} παραλύω^{vpxpnmp} καί^{c} χωλός^{anmpn} θεραπεύω^{viap3p}.

καὶ ἐγένετο χαρὰ μεγάλη ἐν τῇ πόλει ἐκείνῃ. Ἀνὴρ δέ τις ὀ- 8, 9
νόματι Σίμων προϋπῆρχεν ἐν τῇ πόλει μαγεύων καὶ ἐξιστῶν τὸ
ἔθνος τῆς Σαμαρείας, λέγων εἶναί τινα ἑαυτὸν μέγαν, ᾧ προσ- 10
εῖχον πάντες ἀπὸ μικροῦ ἕως μεγάλου, λέγοντες, Οὗτός ἐστιν
ἡ δύναμις τοῦ Θεοῦ ἡ μεγάλη. προσεῖχον δὲ αὐτῷ, διὰ τὸ 11
ἱκανῷ χρόνῳ ταῖς μαγείαις ἐξεστακέναι αὐτούς. ὅτε δὲ ἐπί- 12
στευσαν τῷ Φιλίππῳ εὐαγγελιζομένῳ τὰ περὶ τῆς βασιλείας τοῦ
Θεοῦ καὶ τοῦ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ, ἐβαπτίζοντο ἄν-
δρες τε καὶ γυναῖκες. ὁ δὲ Σίμων καὶ αὐτὸς ἐπίστευσε, καὶ 13
βαπτισθεὶς ἦν προσκαρτερῶν τῷ Φιλίππῳ, θεωρῶν τε δυνάμεις
καὶ σημεῖα γινόμενα, ἐξίστατο. Ἀκούσαντες δὲ οἱ ἐν Ἱερο- 14
σολύμοις ἀπόστολοι ὅτι δέδεκται ἡ Σαμάρεια τὸν λόγον τοῦ
Θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς τὸν Πέτρον καὶ Ἰωάννην, οἵτι- 15
νες καταβάντες προσηύξαντο περὶ αὐτῶν, ὅπως λάβωσι Πνεῦμα
Ἅγιον, οὔπω γὰρ ἦν ἐπ᾽ οὐδενὶ αὐτῶν ἐπιπεπτωκός, μόνον δὲ 16
βεβαπτισμένοι ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. τότε 17
ἐπετίθουν τὰς χεῖρας ἐπ᾽ αὐτούς, καὶ ἐλάμβανον Πνεῦμα Ἅγιον.
θεασάμενος δὲ ὁ Σίμων ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν 18
ἀποστόλων δίδοται τὸ Πνεῦμα τὸ Ἅγιον, προσήνεγκεν αὐτοῖς
χρήματα, λέγων, Δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἐὰν 19

---

v.8 καί^{c} γίνομαι^{viad3s} χαρά^{nnfs} μέγας^{anfsn} ἐν^{p} ὁ^{ddfs} πόλις^{ndfs} ἐκεῖνος^{rddfs}. **v.9** ἀνήρ^{nnms} δέ^{c} τι-σριημσ ὄνομα^{ndns} Σίμων^{nnms} προϋπάρχω^{viia3s} ἐν^{p} ὁ^{ddfs} πόλις^{ndfs} μαγεύω^{vppanms} καί^{c} ἐξίστημι^{vppanms} ὁ^{dans} ἔθνος^{nans} ὁ^{dgfs} Σαμάρεια^{ngfs} λέγω^{vppanms} εἰμί^{vnpx} τι-σριαμσ ἑαυτοῦ^{rxams} μέγας^{aamsn}. **v.10** ὅς^{rrdms} προσέχω^{viia3p} πᾶς^{anmpn} ἀπό^{p} μικρός^{agmsn} ἕως^{c} μέγας^{agmsn} λέγω^{vppanmp} οὗτος^{rdnms} εἰμί^{vipx3s} ὁ^{dnfs} δύναμις^{nnfs} ὁ^{dgms} θεός^{ngms} ὁ^{dnfs} μέγας^{anfsn}. **v.11** προσέχω^{viia3p} δέ^{c} αὐτός^{rpdms} διά^{p} ὁ^{dans} ἱκανός^{admsn} χρόνος^{ndms} ὁ^{ddfp} μαγεία^{ndfp} ἐξίστημι^{vnxa} αὐτός^{rpamp}. **v.12** ὅτε^{bo} δέ^{c} πιστεύω^{viaa3p} ὁ^{ddms} Φίλιππος^{ndms} εὐαγγελίζω^{vppmdms} ὁ^{danp} περί^{p} ὁ^{dgfs} βασιλεία^{ngfs} ὁ^{dgms} θεός^{ngms} καί^{c} ὁ^{dgns} ὄνομα^{ngns} ὁ^{dgms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} βαπτίζω^{viip3p} ἀνήρ^{nnmp} τέ^{xo} καί^{c} γυνή^{nnfp}. **v.13** ὁ^{dnms} δέ^{c} Σίμων^{nnms} καί^{c} αὐτός^{rpnms} πιστεύω^{viaa3s} καί^{c} βαπτίζω^{vpapnms} εἰμί^{viix3s} προσκαρτερέω^{vppanms} ὁ^{ddms} Φίλιππος^{ndms} θεωρέω^{vppanms} τέ^{xo} δύναμις^{nafp} καί^{c} σημεῖον^{nanp} γίνομαι^{vppnanp} ἐξίστημι^{viim3s}. **v.14** ἀκούω^{vpaanmp} δέ^{c} ὁ^{dnmp} ἐν^{p} Ἱεροσόλυμα^{ndnp} ἀπόστολος^{nnmp} ὅτι^{c} δέχομαι^{vixn3s} ὁ^{dnfs} Σαμάρεια^{nnfs} ὁ^{dams} λόγος^{nams} ὁ^{dgms} θεός^{ngms} ἀποστέλλω^{viaa3p} πρός^{p} αὐτός^{rpamp} ὁ^{dams} Πέτρος^{nams} καί^{c} Ἰωάννης^{nams}. **v.15** ὅστις^{rrnmp} καταβαίνω^{vpaanmp} προσεύχομαι^{viad3p} περί^{p} αὐτός^{rpgmp} ὅπως^{bo} λαμβάνω^{vsaa3p} πνεῦμα^{nans} ἅγιος^{aansn}. **v.16** οὔπω^{bo} γάρ^{c} εἰμί^{viix3s} ἐπί^{p} οὐδείς^{admsn} αὐτός^{rpgmp} ἐπιπίπτω^{vpxanns} μόνος^{bo} δέ^{c} βαπτίζω^{vpxpnmp} ὑπάρχω^{viia3p} εἰς^{p} ὁ^{dans} ὄνομα^{nans} ὁ^{dgms} κύριος^{ngms} Ἰησοῦς^{ngms}. **v.17** τότε^{bo} ἐπιτίθημι^{viia3p} ὁ^{dafp} χείρ^{nafp} ἐπί^{p} αὐτός^{rpamp} καί^{c} λαμβάνω^{viia3p} πνεῦμα^{nans} ἅγιος^{aansn}. **v.18** θεάομαι^{vpadnms} δέ^{c} ὁ^{dnms} Σίμων^{nnms} ὅτι^{c} διά^{p} ὁ^{dgfs} ἐπίθεσις^{ngfs} ὁ^{dgfp} χείρ^{ngfp} ὁ^{dgmp} ἀπόστολος^{ngmp} δίδωμι^{vipp3s} ὁ^{dans} πνεῦμα^{nans} ὁ^{dans} ἅγιος^{aansn} προσφέρω^{viaa3s} αὐτός^{rpdmp} χρῆμα^{nanp}.

20 ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ Πνεῦμα Ἅγιον. Πέτρος δὲ εἶπε
πρὸς αὐτόν, Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν
21 δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι. οὐκ ἔστι
σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ. ἡ γὰρ καρδία σου
22 οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ Θεοῦ. μετανόησον οὖν ἀπὸ τῆς
κακίας σου ταύτης, καὶ δεήθητι τοῦ Θεοῦ, εἰ ἄρα ἀφεθήσεταί
23 σοι ἡ ἐπίνοια τῆς καρδίας σου. εἰς γὰρ χολὴν πικρίας καὶ
24 σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα. ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπε,
Δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον, ὅπως μηδὲν ἐπέλθῃ
25 ἐπ᾽ ἐμὲ ὧν εἰρήκατε. Οἱ μὲν οὖν διαμαρτυράμενοι καὶ λαλή-
σαντες τὸν λόγον τοῦ Κυρίου, ὑπέστρεψαν εἰς Ἰερουσαλήμ,
26 πολλάς τε κώμας τῶν Σαμαρειτῶν εὐηγγελίσαντο. Ἄγγελος
δὲ Κυρίου ἐλάλησε πρὸς Φίλιππον, λέγων, Ἀνάστηθι καὶ πο-
ρεύου κατὰ μεσημβρίαν ἐπὶ τὴν ὁδὸν τὴν καταβαίνουσαν ἀπὸ
27 Ἰερουσαλὴμ εἰς Γάζαν, αὕτη ἐστὶν ἔρημος. καὶ ἀναστὰς ἐ-
πορεύθη, καὶ ἰδοὺ ἀνὴρ Αἰθίοψ εὐνοῦχος δυνάστης Κανδάκης
τῆς βασιλίσσης Αἰθιόπων, ὃς ἦν ἐπὶ πάσης τῆς γάζης αὐτῆς,
28 ὃς ἐληλύθει προσκυνήσων εἰς Ἰερουσαλήμ, ἦν τε ὑποστρέφων
καὶ καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ, ἀνεγίνωσκε τὸν προ-
29 φήτην Ἡσαΐαν. εἶπε δὲ τὸ Πνεῦμα τῷ Φιλίππῳ, Πρόσελθε

---

v.19 λέγω^{vppanms} δίδωμι^{vdaa2p} κἀγώ$^{rpd\text{-}s}$ ὁ^{dafs} ἐξουσία^{nafs} οὗτος^{rdafs} ἵνα^{c} ὅς^{rrdms} ἐάν^{qo} ἐπιτίθημι^{vsaa1s} ὁ^{dafp} χείρ^{nafp} λαμβάνω^{vspa3s} πνεῦμα^{nans} ἅγιος^{aansn}. **v.20** Πέτρος^{nnms} δέ^{c} λέγω^{viaa3s} πρός^{p} αὐτός^{rpams} ὁ^{dnns} ἀργύριον^{nnns} σύ$^{rpg\text{-}s}$ σύν^{p} σύ$^{rpd\text{-}s}$ εἰμί^{vopx3s} εἰς^{p} ἀπώλεια^{nafs} ὅτι^{c} ὁ^{dafs} δωρεά^{nafs} ὁ^{dgms} θεός^{ngms} νομίζω^{viaa2s} διά^{p} χρῆμα^{ngnp} κτάομαι^{vnpn}. **v.21** οὐ^{xo} εἰμί^{vipx3s} σύ$^{rpd\text{-}s}$ μερίς^{nnfs} οὐδέ^{bo} κλῆρος^{nnms} ἐν^{p} ὁ^{ddms} λόγος^{ndms} οὗτος^{rddms} ὁ^{dnfs} γάρ^{c} καρδία^{nnfs} σύ$^{rpg\text{-}s}$ οὐ^{xo} εἰμί^{vipx3s} εὐθύς^{anfsn} ἐνώπιον^{bo} ὁ^{dgms} θεός^{ngms}. **v.22** μετανοέω^{vdaa2s} οὖν^{c} ἀπό^{p} ὁ^{dgfs} κακία^{ngfs} σύ$^{rpg\text{-}s}$ οὗτος^{rdgfs} καί^{c} δέομαι^{vdao2s} ὁ^{dgms} θεός^{ngms} εἰ^{qo} ἄρα^{xo} ἀφίημι^{vifp3s} σύ$^{rpd\text{-}s}$ ὁ^{dnfs} ἐπίνοια^{nnfs} ὁ^{dgfs} καρδία^{ngfs} σύ$^{rpg\text{-}s}$. **v.23** εἰς^{p} γάρ^{c} χολή^{nafs} πικρία^{ngfs} καί^{c} σύνδεσμος^{nams} ἀδικία^{ngfs} ὁράω^{vipa1s} σύ$^{rpa\text{-}s}$ εἰμί^{vppxams}. **v.24** ἀποκρίνομαι^{vpaonms} δέ^{c} ὁ^{dnms} Σίμων^{nnms} λέγω^{viaa3s} δέομαι^{vdao2p} σύ$^{rpn\text{-}p}$ ὑπέρ^{p} ἐγώ$^{rpg\text{-}s}$ πρός^{p} ὁ^{dams} κύριος^{nams} ὅπως^{bo} μηδείς^{annsn} ἐπέρχομαι^{vsaa3s} ἐπί^{p} ἐγώ$^{rpa\text{-}s}$ ὅς^{rrgnp} λέγω^{vixa2p}. **v.25** ὁ^{dnmp} μέν^{xo} οὖν^{c} διαμαρτύρομαι^{vpadnmp} καί^{c} λαλέω^{vpaanmp} ὁ^{dams} λόγος^{nams} ὁ^{dgms} κύριος^{ngms} ὑποστρέφω^{viaa3p} εἰς^{p} Ἰερουσαλήμ^{tp} πολύς^{aafpn} τέ^{xo} κώμη^{nafp} ὁ^{dgmp} Σαμαρίτης^{ngmp} εὐαγγελίζω^{viam3p}. **v.26** ἄγγελος^{nnms} δέ^{c} κύριος^{ngms} λαλέω^{viaa3s} πρός^{p} Φίλιππος^{nams} λέγω^{vppanms} ἀνίστημι^{vdaa2s} καί^{c} πορεύομαι^{vdpn2s} κατά^{p} μεσημβρία^{nafs} ἐπί^{p} ὁ^{dafs} ὁδός^{nafs} ὁ^{dafs} καταβαίνω^{vppaafs} ἀπό^{p} Ἰερουσαλήμ^{tp} εἰς^{p} Γάζα^{nafs} οὗτος^{rdnfs} εἰμί^{vipx3s} ἔρημος^{anfsn}. **v.27** καί^{c} ἀνίστημι^{vpaanms} πορεύομαι^{viao3s} καί^{c} ἰδού^{vdaa2s} ἀνήρ^{nnms} Αἰθίοψ^{nnms} εὐνοῦχος^{nnms} δυνάστης^{nnms} Κανδάκη^{ngfs} ὁ^{dgfs} βασίλισσα^{ngfs} Αἰθίοψ^{ngmp} ὅς^{rrnms} εἰμί^{viix3s} ἐπί^{p} πᾶς^{agfsn} ὁ^{dgfs} γάζα^{ngfs} αὐτός^{rpgfs} ὅς^{rrnms} ἔρχομαι^{viya3s} προσκυνέω^{vpfanms} εἰς^{p} Ἰερουσαλήμ^{tp}. **v.28** εἰμί^{viix3s} τέ^{xo} ὑποστρέφω^{vppanms} καί^{c} κάθημαι^{vppnnms} ἐπί^{p} ὁ^{dgns} ἅρμα^{ngns} αὐτός^{rpgms} ἀναγινώσκω^{viia3s} ὁ^{dams} προφήτης^{nams} Ἡσαΐας^{nams}.

καὶ κολλήθητι τῷ ἅρματι τούτῳ. προσδραμὼν δὲ ὁ Φίλιππος 30
ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος τὸν προφήτην Ἡσαΐαν, καὶ εἶ-
πεν, Ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις· ὁ δὲ εἶπε, Πῶς γὰρ ἂν 31
δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με· παρεκάλεσέ τε τὸν Φίλιπ-
πον ἀναβάντα καθίσαι σὺν αὐτῷ. ἡ δὲ περιοχὴ τῆς γραφῆς ἣν 32
ἀνεγίνωσκεν ἦν αὕτη, Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς
ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοί-
γει τὸ στόμα αὐτοῦ. ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ 33
ἤρθη, τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται· ὅτι αἴρεται ἀπὸ τῆς
γῆς ἡ ζωὴ αὐτοῦ. ἀποκριθεὶς δὲ ὁ εὐνοῦχος τῷ Φιλίππῳ εἶπε, 34
Δέομαί σου, περὶ τίνος ὁ προφήτης λέγει τοῦτο· περὶ ἑαυτοῦ,
ἢ περὶ ἑτέρου τινός· ἀνοίξας δὲ ὁ Φίλιππος τὸ στόμα αὐτοῦ, 35
καὶ ἀρξάμενος ἀπὸ τῆς γραφῆς ταύτης, εὐηγγελίσατο αὐτῷ τὸν
Ἰησοῦν. ὡς δὲ ἐπορεύοντο κατὰ τὴν ὁδόν, ἦλθον ἐπί τι ὕδωρ, 36
καί φησιν ὁ εὐνοῦχος, Ἰδού, ὕδωρ, τί κωλύει με βαπτισθῆναι·
εἶπε δὲ ὁ Φίλιππος, Εἰ πιστεύεις ἐξ ὅλης τῆς καρδίας, ἔξεστιν. 37
ἀποκριθεὶς δὲ εἶπε, Πιστεύω τὸν υἱὸν τοῦ Θεοῦ εἶναι τὸν Ἰη-
σοῦν Χριστόν. καὶ ἐκέλευσε στῆναι τὸ ἅρμα, καὶ κατέβησαν 38
ἀμφότεροι εἰς τὸ ὕδωρ, ὅ τε Φίλιππος καὶ ὁ εὐνοῦχος, καὶ ἐβά-
πτισεν αὐτόν. ὅτε δὲ ἀνέβησαν ἐκ τοῦ ὕδατος, Πνεῦμα Κυρίου 39

---

v.29 λέγω^{viaa3s} δέ^{c} ὁ^{dnns} πνεῦμα^{nnns} ὁ^{ddms} Φίλιππος^{ndms} προσέρχομαι^{vdaa2s} καί^{c} κολλάω^{vdap2s} ὁ^{ddns} ἅρμα^{ndns} οὗτος^{rddns}. **v.30** προστρέχω^{vpaanms} δέ^{c} ὁ^{dnms} Φίλιππος^{nnms} ἀκούω^{viaa3s} αὐτός^{rpgms} ἀναγινώσκω^{vppagms} ὁ^{dams} προφήτης^{nams} Ἡσαΐας^{nams} καί^{c} λέγω^{viaa3s} ἆρα^{xo} γέ^{xo} γινώσκω^{vipa2s} ὅς^{rranp} ἀναγινώσκω^{vipa2s}. **v.31** ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} πῶς^{bo} γάρ^{c} ἄν^{xo} δύναμαι^{vopn1s} ἐάν^{qo} μή^{xo} τι-σρινμσ ὁδηγέω^{vsaa3s} ἐγώ$^{rpa-s}$ παρακαλέω^{viaa3s} τέ^{xo} ὁ^{dams} Φίλιππος^{nams} ἀναβαίνω^{vpaaams} καθίζω^{vnaa} σύν^{p} αὐτός^{rpdms}. **v.32** ὁ^{dnfs} δέ^{c} περιοχή^{nnfs} ὁ^{dgfs} γραφή^{ngfs} ὅς^{rrafs} ἀναγινώσκω^{viia3s} εἰμί^{viix3s} οὗτος^{rdnfs} ὡς^{bo} πρόβατον^{nnns} ἐπί^{p} σφαγή^{nafs} ἄγω^{viap3s} καί^{c} ὡς^{bo} ἀμνός^{nnms} ἐναντίον^{bo} ὁ^{dgms} κείρω^{vppagms} αὐτός^{rpams} ἄφωνος^{anmsn} οὕτω^{bo} οὐ^{xo} ἀνοίγω^{vipa3s} ὁ^{dans} στόμα^{nans} αὐτός^{rpgms}. **v.33** ἐν^{p} ὁ^{ddfs} ταπείνωσις^{ndfs} αὐτός^{rpgms} ὁ^{dnfs} κρίσις^{nnfs} αὐτός^{rpgms} αἴρω^{viap3s} ὁ^{dafs} δέ^{c} γενεά^{nafs} αὐτός^{rpgms} τίς^{rqnms} διηγέομαι^{vifd3s} ὅτι^{c} αἴρω^{vipp3s} ἀπό^{p} ὁ^{dgfs} γῆ^{ngfs} ὁ^{dnfs} ζωή^{nnfs} αὐτός^{rpgms}. **v.34** ἀποκρίνομαι^{vpaonms} δέ^{c} ὁ^{dnms} εὐνοῦχος^{nnms} ὁ^{ddms} Φίλιππος^{ndms} λέγω^{viaa3s} δέομαι^{vipn1s} σύ$^{rpg-s}$ περί^{p} τίς^{rqgms} ὁ^{dnms} προφήτης^{nnms} λέγω^{vipa3s} οὗτος^{rdans} περί^{p} ἑαυτοῦ^{rxgms} ἤ^{xo} περί^{p} ἕτερος^{agmsn} τι-σριγμς. **v.35** ἀνοίγω^{vpaanms} δέ^{c} ὁ^{dnms} Φίλιππος^{nnms} ὁ^{dans} στόμα^{nans} αὐτός^{rpgms} καί^{c} ἄρχω^{vpamnms} ἀπό^{p} ὁ^{dgfs} γραφή^{ngfs} οὗτος^{rdgfs} εὐαγγελίζω^{viam3s} αὐτός^{rpdms} ὁ^{dams} Ἰησοῦς^{nams}. **v.36** ὡς^{bo} δέ^{c} πορεύομαι^{viin3p} κατά^{p} ὁ^{dafs} ὁδός^{nafs} ἔρχομαι^{viaa3p} ἐπί^{p} τι-σριανσ ὕδωρ^{nans} καί^{c} φημί^{vipx3s} ὁ^{dnms} εὐνοῦχος^{nnms} ἰδού^{vdaa2s} ὕδωρ^{nnns} τίς^{rqnns} κωλύω^{vipa3s} ἐγώ$^{rpa-s}$ βαπτίζω^{vnap}. **v.37** λέγω^{viaa3s} δέ^{c} ὁ^{dnms} Φίλιππος^{nnms} εἰ^{qo} πιστεύω^{vipa2s} ἐκ^{p} ὅλος^{agfsn} ὁ^{dgfs} καρδία^{ngfs} ἔξεστι^{vipq3s} ἀποκρίνομαι^{vpaonms} δέ^{c} λέγω^{viaa3s} πιστεύω^{vipa1s} ὁ^{dams} υἱός^{nams} ὁ^{dgms} θεός^{ngms} εἰμί^{vnpx} ὁ^{dams} Ἰησοῦς^{nams} Χριστός^{nams}. **v.38** καί^{c} κελεύω^{viaa3s} ἵστημι^{vnaa} ὁ^{dans} ἅρμα^{nans} καί^{c} καταβαίνω^{viaa3p} ἀμφότεροι^{anmpn} εἰς^{p} ὁ^{dans} ὕδωρ^{nans} ὁ^{dnms} τέ^{xo} Φίλιππος^{nnms} καί^{c} ὁ^{dnms} εὐνοῦχος^{nnms} καί^{c} βαπτίζω^{viaa3s} αὐτός^{rpams}.

ἥρπασε τὸν Φίλιππον, καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι ὁ εὐνοῦχος,
40 ἐπορεύετο γὰρ τὴν ὁδὸν αὐτοῦ χαίρων. Φίλιππος δὲ εὑρέθη
εἰς Ἄζωτον, καὶ διερχόμενος εὐηγγελίζετο τὰς πόλεις πάσας,
ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Καισάρειαν.

9 Ὁ δὲ Σαῦλος, ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθη-
2 τὰς τοῦ Κυρίου, προσελθὼν τῷ ἀρχιερεῖ, ᾐτήσατο παρ᾽ αὐτοῦ
ἐπιστολὰς εἰς Δαμασκὸν πρὸς τὰς συναγωγάς, ὅπως ἐάν τινας
εὕρῃ τῆς ὁδοῦ ὄντας ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀ-
3 γάγῃ εἰς Ἰερουσαλήμ. ἐν δὲ τῷ πορεύεσθαι, ἐγένετο αὐτὸν
ἐγγίζειν τῇ Δαμασκῷ, καὶ ἐξαίφνης περιήστραψεν αὐτὸν φῶς
4 ἀπὸ τοῦ οὐρανοῦ, καὶ πεσὼν ἐπὶ τὴν γῆν, ἤκουσε φωνὴν λέ-
5 γουσαν αὐτῷ, Σαούλ, Σαούλ, τί με διώκεις· εἶπε δέ, Τίς εἶ,
Κύριε· ὁ δὲ Κύριος εἶπεν, Ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώκεις,
σκληρόν σοι πρὸς κέντρα λακτίζειν. τρέμων τε καὶ θαμβῶν
εἶπε, Κύριε, τί με θέλεις ποιῆσαι καὶ ὁ Κύριος πρὸς αὐτόν, Ἀ-
νάστηθι καὶ εἴσελθε εἰς τὴν πόλιν, καὶ λαληθήσεταί σοι τί σε
7 δεῖ ποιεῖν. οἱ δὲ ἄνδρες οἱ συνοδεύοντες αὐτῷ εἱστήκεισαν
8 ἐννεοί, ἀκούοντες μὲν τῆς φωνῆς, μηδένα δὲ θεωροῦντες. ἠ-
γέρθη δὲ ὁ Σαῦλος ἀπὸ τῆς γῆς, ἀνεῳγμένων δὲ τῶν ὀφθαλμῶν
αὐτοῦ, οὐδένα ἔβλεπε, χειραγωγοῦντες δὲ αὐτὸν εἰσήγαγον εἰς
9 Δαμασκόν. καὶ ἦν ἡμέρας τρεῖς μὴ βλέπων, καὶ οὐκ ἔφαγεν

---

v.39 ὅτε^{bo} δέ^{c} ἀναβαίνω^{viaa3p} ἐκ^{p} ὁ^{dgns} ὕδωρ^{ngns} πνεῦμα^{nnns} κύριος^{ngms} ἁρπάζω^{viaa3s} ὁ^{dams} Φίλιππος^{nams} καί^{c} οὐ^{xo} ὁράω^{viaa3s} αὐτός^{rpams} οὐκέτι^{bo} ὁ^{dnms} εὐνοῦχος^{nnms} πορεύομαι^{viin3s} γάρ^{c} ὁ^{dafs} ὁδός^{nafs} αὐτός^{rpgms} χαίρω^{vppanms}. **v.40** Φίλιππος^{nnms} δέ^{c} εὑρίσκω^{viap3s} εἰς^{p} Ἄζωτος^{nafs} καί^{c} διέρχομαι^{vppnnms} εὐαγγελίζω^{viim3s} ὁ^{dafp} πόλις^{nafp} πᾶς^{aafpn} ἕως^{c} ὁ^{dgms} ἔρχομαι^{vnaa} αὐτός^{rpams} εἰς^{p} Καισάρεια^{nafs}. **9. v.1** ὁ^{dnms} δέ^{c} Σαῦλος^{nnms} ἔτι^{bo} ἐμπνέω^{vppanms} ἀπειλή^{ngfs} καί^{c} φόνος^{ngms} εἰς^{p} ὁ^{damp} μαθητής^{namp} ὁ^{dgms} κύριος^{ngms} προσέρχομαι^{vpaanms} ὁ^{ddms} ἀρχιερεύς^{ndms}. **v.2** αἰτέω^{viam3s} παρά^{p} αὐτός^{rpgms} ἐπιστολή^{nafp} εἰς^{p} Δαμασκός^{nafs} πρός^{p} ὁ^{dafp} συναγωγή^{nafp} ὅπως^{bo} ἐάν^{qo} τι-σριαμπ εὑρίσκω^{vsaa3s} ὁ^{dgfs} ὁδός^{ngfs} εἰμί^{vppxamp} ἀνήρ^{namp} τέ^{xo} καί^{c} γυνή^{nafp} δέω^{vpxpamp} ἄγω^{vsaa3s} εἰς^{p} Ἰερουσαλήμ^{tp}. **v.3** ἐν^{p} δέ^{c} ὁ^{ddms} πορεύομαι^{vnpn} γίνομαι^{viad3s} αὐτός^{rpams} ἐγγίζω^{vnpa} ὁ^{ddfs} Δαμασκός^{ndfs} καί^{c} ἐξαίφνης^{bo} περιαστράπτω^{viaa3s} αὐτός^{rpams} φῶς^{nnns} ἀπό^{p} ὁ^{dgms} οὐρανός^{ngms}. **v.4** καί^{c} πίπτω^{vpaanms} ἐπί^{p} ὁ^{dafs} γῆ^{nafs} ἀκούω^{viaa3s} φωνή^{nafs} λέγω^{vppaafs} αὐτός^{rpdms} Σαούλ^{tp} Σαούλ^{tp} τίς^{rqans} ἐγώ$^{rpa-s}$ διώκω^{vipa2s}. **v.5** λέγω^{viaa3s} δέ^{c} τίς^{rqnms} εἰμί^{vipx2s} κύριος^{nvms} ὁ^{dnms} δέ^{c} κύριος^{nnms} λέγω^{viaa3s} ἐγώ$^{rpn-s}$ εἰμί^{vipx1s} Ἰησοῦς^{nnms} ὅς^{rrams} σύ$^{rpn-s}$ διώκω^{vipa2s} σκληρός^{annsn} σύ$^{rpd-s}$ πρός^{p} κέντρον^{nanp} λακτίζω^{vnpa}. **v.6** τρέμω^{vppanms} τέ^{xo} καί^{c} θαμβέω^{vppanms} λέγω^{viaa3s} κύριος^{nvms} τίς^{rqans} ἐγώ$^{rpa-s}$ θέλω^{vipa2s} ποιέω^{vnaa} καί^{c} ὅς^{dnms} κύριος^{nnms} πρός^{p} αὐτός^{rpams} ἀνίστημι^{vdaa2s} καί^{c} εἰσέρχομαι^{vdaa2s} εἰς^{p} ὁ^{dafs} πόλις^{nafs} καί^{c} λαλέω^{vifp3s} σύ$^{rpd-s}$ τίς^{rqans} σύ$^{rpa-s}$ δεῖ^{vipq3s} ποιέω^{vnpa}. **v.7** ὁ^{dnmp} δέ^{c} ἀνήρ^{nnmp} ὁ^{dnmp} συνοδεύω^{vppanmp} αὐτός^{rpdms} ἵστημι^{viya3p} ἐνεός^{anmpn} ἀκούω^{vppanmp} μέν^{xo} ὁ^{dgfs} φωνή^{ngfs} μηδείς^{aamsn} δέ^{c} θεωρέω^{vppanmp}. **v.8** ἐγείρω^{viap3s} δέ^{c} ὁ^{dnms} Σαῦλος^{nnms} ἀπό^{p} ὁ^{dgfs} γῆ^{ngfs} ἀνοίγω^{vpxpgmp} δέ^{c} ὁ^{dgmp} ὀφθαλμός^{ngmp} αὐτός^{rpgms} οὐδείς^{aamsn} βλέπω^{viia3s} χειραγωγέω^{vppanmp} δέ^{c} αὐτός^{rpams} εἰσάγω^{viaa3p} εἰς^{p} Δαμασκός^{nafs}.

οὐδὲ ἔπιεν. 10 Ἦν δέ τις μαθητὴς ἐν Δαμασκῷ ὀνόματι Ἁνανίας, καὶ εἶπε πρὸς αὐτὸν ὁ Κύριος ἐν ὁράματι, Ἁνανία. ὁ δὲ εἶπεν, 11 Ἰδοὺ ἐγώ, Κύριε. ὁ δὲ Κύριος πρὸς αὐτόν, Ἀναστὰς πορεύθητι ἐπὶ τὴν ῥύμην τὴν καλουμένην Εὐθεῖαν, καὶ ζήτησον ἐν οἰκίᾳ Ἰούδα Σαῦλον ὀνόματι, Ταρσέα, ἰδοὺ γὰρ προσεύχεται, καὶ εἶδεν ἐν ὁράματι ἄνδρα ὀνόματι Ἀνανίαν εἰσελθόντα καὶ 12 ἐπιθέντα αὐτῷ χεῖρα, ὅπως ἀναβλέψῃ. ἀπεκρίθη δὲ ὁ Ἀνα- 13 νίας, Κύριε, ἤκήκοα ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου, ὅσα κακὰ ἐποίησε τοῖς ἁγίοις σου ἐν Ἰερουσαλήμ, καὶ ὧδε ἔχει 14 ἐξουσίαν παρὰ τῶν ἀρχιερέων, δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου. εἶπε δὲ πρὸς αὐτὸν ὁ Κύριος, Πορεύου, 15 ὅτι σκεῦος ἐκλογῆς μοι ἐστίν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων, υἱῶν τε Ἰσραήλ, ἐγὼ γὰρ 16 ὑποδείξω αὐτῷ ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν. ἀπῆλθε δὲ Ἁνανίας καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν, καὶ ἐπιθεὶς 17 ἐπ᾽ αὐτὸν τὰς χεῖρας εἶπε, Σαοὺλ ἀδελφέ, ὁ Κύριος ἀπέσταλκέ με, Ἰησοῦς ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ ᾗ ἤρχου, ὅπως ἀναβλέψῃς καὶ πλησθῇς Πνεύματος Ἁγίου. καὶ εὐθέως ἀπέπεσον ἀπὸ 18 τῶν ὀφθαλμῶν αὐτοῦ ὡσεὶ λεπίδες, ἀνέβλεψέ τε παραχρῆμα, καὶ ἀναστὰς ἐβαπτίσθη, καὶ λαβὼν τροφὴν ἐνίσχυσεν. Ἐγέ- 19

---

v.9 καίᶜ εἰμίᵛⁱⁱˣ³ˢ ἡμέραⁿᵃᶠᵖ τρεῖςⁿᵃᶠᵖ μήˣᵒ βλέπωᵛᵖᵖᵃⁿᵐˢ καίᶜ οὐˣᵒ ἐσθίωᵛⁱᵃᵃ³ˢ οὐδὲᵇᵒ πίνωᵛⁱᵃᵃ³ˢ. **v.10** εἰμίᵛⁱˣ³ˢ δέᶜ τι-σρινμσ μαθητήςⁿⁿᵐˢ ἐνᵖ Δαμασκόςⁿᵈᶠˢ ὄνομαⁿᵈⁿˢ Ἁνανίαςⁿⁿᵐˢ καίᶜ λέγωᵛⁱᵃᵃ³ˢ πρόςᵖ αὐτόςʳᵖᵃᵐˢ ὁᵈⁿᵐˢ κύριοςⁿⁿᵐˢ ἐνᵖ ὅραμαⁿᵈⁿˢ Ἁνανίαςⁿᵛᵐˢ ὁᵈⁿᵐˢ δέᶜ λέγωᵛⁱᵃᵃ³ˢ ἰδούᵛᵈᵃᵃ²ˢ ἐγώʳᵖⁿ⁻ˢ κύριοςⁿᵛᵐˢ. **v.11** ὁᵈⁿᵐˢ δέᶜ κύριοςⁿⁿᵐˢ πρόςᵖ αὐτόςʳᵖᵃᵐˢ ἀνίστημιᵛᵖᵃᵃⁿᵐˢ πορεύομαιᵛᵈᵃᵒ²ˢ ἐπίᵖ ὁᵈᵃᶠˢ ῥύμηⁿᵃᶠˢ ὁᵈᵃᶠˢ καλέωᵛᵖᵖᵖᵃᶠˢ εὐθύςᵃᵃᶠˢⁿ καίᶜ ζητέωᵛᵈᵃᵃ²ˢ ἐνᵖ οἰκίαⁿᵈᶠˢ Ἰούδαςⁿᵍᵐˢ Σαῦλοςⁿᵃᵐˢ ὄνομαⁿᵈⁿˢ Ταρσεύςⁿᵃᵐˢ ἰδούᵛᵈᵃᵃ²ˢ γάρᶜ προσεύχομαιᵛⁱᵖⁿ³ˢ. **v.12** καίᶜ ὁράωᵛⁱᵃᵃ³ˢ ἐνᵖ ὅραμαⁿᵈⁿˢ ἀνήρⁿᵃᵐˢ ὄνομαⁿᵈⁿˢ Ἁνανίαςⁿᵃᵐˢ εἰσέρχομαιᵛᵖᵃᵃᵃᵐˢ καίᶜ ἐπιτίθημιᵛᵖᵃᵃᵃᵐˢ αὐτόςʳᵖᵈᵐˢ χείρⁿᵃᶠˢ ὅπωςᵇᵒ ἀναβλέπωᵛˢᵃᵃ³ˢ. **v.13** ἀποκρίνομαιᵛⁱᵃᵈ³ˢ δέᶜ ὁᵈⁿᵐˢ Ἁνανίαςⁿⁿᵐˢ κύριοςⁿᵛᵐˢ ἀκούωᵛⁱˣᵃ¹ˢ ἀπόᵖ πολύςᵃᵍᵐᵖⁿ περίᵖ ὁᵈᵍᵐˢ ἀνήρⁿᵍᵐˢ οὗτοςʳᵈᵍᵐˢ ὅσοςʳᶜᵃⁿᵖ κακόςᵃᵃⁿᵖⁿ ποιέωᵛⁱᵃᵃ³ˢ ὁᵈᵈᵐᵖ ἅγιοςᵃᵈᵐᵖⁿ σύʳᵖᵍ⁻ˢ ἐνᵖ Ἰερουσαλήμᵗᵖ. **v.14** καίᶜ ὧδεᵇᵒ ἔχωᵛⁱᵖᵃ³ˢ ἐξουσίαⁿᵃᶠˢ παράᵖ ὁᵈᵍᵐᵖ ἀρχιερεύςⁿᵍᵐᵖ δέωᵛⁿᵃᵃ πᾶςᵃᵃᵐᵖⁿ ὁᵈᵃᵐᵖ ἐπικαλέωᵛᵖᵖᵐᵃᵐᵖ ὁᵈᵃⁿˢ ὄνομαⁿᵃⁿˢ σύʳᵖᵍ⁻ˢ. **v.15** λέγωᵛⁱᵃᵃ³ˢ δέᶜ πρόςᵖ αὐτόςʳᵖᵃᵐˢ ὁᵈⁿᵐˢ κύριοςⁿⁿᵐˢ πορεύομαιᵛᵈᵖⁿ²ˢ ὅτιᶜ σκεῦοςⁿⁿⁿˢ ἐκλογῆⁿᵍᶠˢ ἐγώʳᵖᵈ⁻ˢ εἰμίᵛⁱᵖˣ³ˢ οὗτοςʳᵈⁿᵐˢ ὁᵈᵍᵐˢ βαστάζωᵛⁿᵃᵃ ὁᵈᵃⁿˢ ὄνομαⁿᵃⁿˢ ἐγώʳᵖᵍ⁻ˢ ἐνώπιονᵇᵒ ἔθνοςⁿᵍⁿᵖ καίᶜ βασιλεύςⁿᵍᵐᵖ υἱόςⁿᵍᵐᵖ τέˣᵒ Ἰσραήλᵗᵖ. **v.16** ἐγώʳᵖⁿ⁻ˢ γάρᶜ ὑποδείκνυμιᵛⁱᶠᵃ¹ˢ αὐτόςʳᵖᵈᵐˢ ὅσοςʳᶜᵃⁿᵖ δεῖᵛⁱᵖᵠ³ˢ αὐτόςʳᵖᵃᵐˢ ὑπέρᵖ ὁᵈᵍⁿˢ ὄνομαⁿᵍⁿˢ ἐγώʳᵖᵍ⁻ˢ πάσχωᵛⁿᵃᵃ. **v.17** ἀπέρχομαιᵛⁱᵃᵃ³ˢ δέᶜ Ἁνανίαςⁿⁿⁿˢ καίᶜ εἰσέρχομαιᵛⁱᵃᵃ³ˢ εἰςᵖ ὁᵈᵃᶠˢ οἰκίαⁿᵃᶠˢ καίᶜ ἐπιτίθημιᵛᵖᵃᵃⁿᵐˢ ἐπίᵖ αὐτόςʳᵖᵃᵐˢ ὁᵈᵃᶠᵖ χείρⁿᵃᶠᵖ λέγωᵛⁱᵃᵃ³ˢ Σαούλᵗᵖ ἀδελφόςⁿᵛᵐˢ ὁᵈⁿᵐˢ κύριοςⁿⁿᵐˢ ἀποστέλλωᵛⁱˣᵃ³ˢ ἐγώʳᵖᵃ⁻ˢ Ἰησοῦςⁿⁿᵐˢ ὁᵈⁿᵐˢ ὁράωᵛᵖᵃᵖⁿᵐˢ σύʳᵖᵈ⁻ˢ ἐνᵖ ὁᵈᵈᶠˢ ὁδόςⁿᵈᶠˢ ὅςʳʳᵈᶠˢ ἔρχομαιᵛⁱⁱⁿ²ˢ ὅπωςᵇᵒ ἀναβλέπωᵛˢᵃᵃ²ˢ καίᶜ πίμπλημιᵛˢᵃᵖ²ˢ πνεῦμαⁿᵍⁿˢ ἅγιοςᵃᵍⁿˢⁿ. **v.18** καίᶜ εὐθέωςᵇᵒ ἀποπίπτωᵛⁱᵃᵃ³ᵖ ἀπόᵖ ὁᵈᵍᵐᵖ ὀφθαλμόςⁿᵍᵐᵖ αὐτόςʳᵖᵍᵐˢ ὡσείᵇᵒ λεπίςⁿⁿᶠᵖ ἀναβλέπωᵛⁱᵃᵃ³ˢ τέˣᵒ παραχρῆμαᵇᵒ καίᶜ ἀνίστημιᵛᵖᵃᵃⁿᵐˢ βαπτίζωᵛⁱᵃᵖ³ˢ.

νετο δὲ ὁ Σαῦλος μετὰ τῶν ἐν Δαμασκῷ μαθητῶν ἡμέρας τινάς.
20 καὶ εὐθέως ἐν ταῖς συναγωγαῖς ἐκήρυσσε τὸν Χριστόν, ὅτι οὗ-
21 τός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες
καὶ ἔλεγον, Οὐχ οὗτός ἐστιν ὁ πορθήσας ἐν Ἰερουσαλὴμ τοὺς
ἐπικαλουμένους τὸ ὄνομα τοῦτο, καὶ ὧδε εἰς τοῦτο ἐληλύθει
22 ἵνα δεδεμένους αὐτοὺς ἀγάγῃ ἐπὶ τοὺς ἀρχιερεῖς· Σαῦλος δὲ
μᾶλλον ἐνεδυναμοῦτο, καὶ συνέχυνε τοὺς Ἰουδαίους τοὺς κα-
τοικοῦντας ἐν Δαμασκῷ, συμβιβάζων ὅτι οὗτός ἐστιν ὁ Χριστός.
23 Ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναί, συνεβουλεύσαντο οἱ Ἰου-
24 δαῖοι ἀνελεῖν αὐτόν, ἐγνώσθη δὲ τῷ Σαύλῳ ἡ ἐπιβουλὴ αὐτῶν.
παρετήρουν τε τὰς πύλας ἡμέρας τε καὶ νυκτός, ὅπως αὐτὸν
25 ἀνέλωσι, λαβόντες δὲ αὐτὸν οἱ μαθηταὶ νυκτός, καθῆκαν διὰ
26 τοῦ τείχους, χαλάσαντες ἐν σπυρίδι. Παραγενόμενος δὲ ὁ
Σαῦλος εἰς Ἰερουσαλήμ, ἐπείρᾶτο κολλᾶσθαι τοῖς μαθηταῖς,
καὶ πάντες ἐφοβοῦντο αὐτόν, μὴ πιστεύοντες ὅτι ἐστὶ μαθητής.
27 Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτὸν ἦγαγε πρὸς τοὺς ἀποστό-
λους, καὶ διηγήσατο αὐτοῖς πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον,
καὶ ὅτι ἐλάλησεν αὐτῷ, καὶ πῶς ἐν Δαμασκῷ ἐπαρρησιάσατο
28 ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ. καὶ ἦν μετ᾽ αὐτῶν εἰσπορευόμενος
29 καὶ ἐκπορευόμενος ἐν Ἰερουσαλήμ, καὶ παρρησιαζόμενος ἐν
τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, ἐλάλει τε καὶ συνεζήτει πρὸς

---

v.19 καί^{c} λαμβάνω^{vpaanms} τροφή^{nafs} ἐνισχύω^{viaa3s} γίνομαι^{viad3s} δέ^{c} ὁ^{dnms} Σαῦλος^{nnms} μετά^{p} ὁ^{dgmp} ἐν^{p} Δαμασκός^{ndfs} μαθητής^{ngmp} ἡμέρα^{nafp} τι-σριαφπ. **v.20** καί^{c} εὐθέως^{bo} ἐν^{p} ὁ^{ddfp} συναγωγή^{ndfp} κηρύσσω^{viia3s} ὁ^{dams} Χριστός^{nams} ὅτι^{c} οὗτος^{rdnms} εἰμί^{vipx3s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} θεός^{ngms}. **v.21** ἐξίστημι^{viim3p} δέ^{c} πᾶς^{anmpn} ὁ^{dnmp} ἀκούω^{vppanmp} καί^{c} λέγω^{viia3p} οὐ^{xo} οὗτος^{rdnms} εἰμί^{vipx3s} ὁ^{dnms} πορθέω^{vpaanms} ἐν^{p} Ἰερουσαλήμ^{tp} ὁ^{damp} ἐπικαλέω^{vppmamp} ὁ^{dans} ὄνομα^{nans} οὗτος^{rdans} καί^{c} ὧδε^{bo} εἰς^{p} οὗτος^{rdans} ἔρχομαι^{viya3s} ἵνα^{c} δέω^{vpxpamp} αὐτός^{rpamp} ἄγω^{vsaa3s} ἐπί^{p} ὁ^{damp} ἀρχιερεύς^{namp}. **v.22** Σαῦλος^{nnms} δέ^{c} μᾶλλον^{bo} ἐνδυναμόω^{viip3s} καί^{c} συγχέω^{viia3s} ὁ^{damp} Ἰουδαῖος^{aampn} ὁ^{damp} κατοικέω^{vppaamp} ἐν^{p} Δαμασκός^{ndfs} συμβιβάζω^{vppanms} ὅτι^{c} οὗτος^{rdnms} εἰμί^{vipx3s} ὁ^{dnms} Χριστός^{nnms}. **v.23** ὡς^{bo} δέ^{c} πληρόω^{viip3p} ἡμέρα^{nnfp} ἱκανός^{anfpn} συμβουλεύω^{viam3p} ὁ^{dnmp} Ἰουδαῖος^{anmpn} ἀναιρέω^{vnaa} αὐτός^{rpams}. **v.24** γινώσκω^{viap3s} δέ^{c} ὁ^{ddms} Σαῦλος^{ndms} ὁ^{dnfs} ἐπιβουλή^{nnfs} αὐτός^{rpgmp} παρατηρέω^{viia3p} τέ^{xo} ὁ^{dafp} πύλη^{nafp} ἡμέρα^{ngfs} τέ^{xo} καί^{c} νύξ^{ngfs} ὅπως^{bo} αὐτός^{rpams} ἀναιρέω^{vsaa3p}. **v.25** λαμβάνω^{vpaanmp} δέ^{c} αὐτός^{rpams} ὁ^{dnmp} μαθητής^{nnmp} νύξ^{ngfs} καθίημι^{viaa3p} διά^{p} ὁ^{dgns} τεῖχος^{ngns} χαλάω^{vpaanmp} ἐν^{p} σπυρίς^{ndfs}. **v.26** παραγίνομαι^{vpadnms} δέ^{c} ὁ^{dnms} Σαῦλος^{nnms} εἰς^{p} Ἰερουσαλήμ^{tp} πειράομαι^{viin3s} κολλάω^{vnpp} ὁ^{ddmp} μαθητής^{ndmp} καί^{c} πᾶς^{anmpn} φοβέομαι^{viin3p} αὐτός^{rpams} μή^{xo} πιστεύω^{vppanmp} ὅτι^{c} εἰμί^{vipx3s} μαθητής^{nnms}. **v.27** Βαρναβᾶς^{nnms} δέ^{c} ἐπιλαμβάνομαι^{vpadnms} αὐτός^{rpams} ἄγω^{viaa3s} πρός^{p} ὁ^{damp} ἀπόστολος^{namp} καί^{c} διηγέομαι^{viad3s} αὐτός^{rpdmp} πῶς^{bo} ἐν^{p} ὁ^{ddfs} ὁδός^{ndfs} ὁράω^{viaa3s} ὁ^{dams} κύριος^{nams} καί^{c} ὅτι^{c} λαλέω^{viaa3s} αὐτός^{rpdms} καί^{c} πῶς^{bo} ἐν^{p} Δαμασκός^{ndfs} παρρησιάζομαι^{viad3s} ἐν^{p} ὁ^{ddns} ὄνομα^{ndns} ὁ^{dgms} Ἰησοῦς^{ngms}. **v.28** καί^{c} εἰμί^{viix3s} μετά^{p} αὐτός^{rpgmp} εἰσπορεύομαι^{vppnnms} καί^{c} ἐκπορεύομαι^{vppnnms} ἐν^{p} Ἰερουσαλήμ^{tp}.

τοὺς Ἑλληνιστάς, οἱ δὲ ἐπεχείρουν αὐτὸν ἀνελεῖν. ἐπιγνόν- 30
τες δὲ οἱ ἀδελφοὶ κατήγαγον αὐτὸν εἰς Καισάρειαν, καὶ ἐξα-
πέστειλαν αὐτὸν εἰς Ταρσόν. αἱ μὲν οὖν ἐκκλησίαι καθ' ὅλης 31
τῆς Ἰουδαίας καὶ Γαλιλαίας καὶ Σαμαρείας εἶχον εἰρήνην οἰ-
κοδομούμεναι, καὶ πορευόμεναι τῷ φόβῳ τοῦ Κυρίου καὶ τῇ
παρακλήσει τοῦ Ἁγίου Πνεύματος ἐπληθύνοντο. Ἐγένετο δὲ 32
Πέτρον διερχόμενον διὰ πάντων κατελθεῖν καὶ πρὸς τοὺς ἁγί-
ους τοὺς κατοικοῦντας Λύδδαν. εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα 33
Αἰνέαν ὀνόματι, ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραββάτῳ, ὃς
ἦν παραλελυμένος. καὶ εἶπεν αὐτῷ ὁ Πέτρος, Αἰνέα, ἰᾶταί σε 34
Ἰησοῦς ὁ Χριστός, ἀνάστηθι καὶ στρῶσον σεαυτῷ. καὶ εὐθέως
ἀνέστη. καὶ εἶδον αὐτὸν πάντες οἱ κατοικοῦντες Λύδδαν καὶ 35
τὸν Σάρωνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν Κύριον. Ἐν Ἰόππῃ 36
δέ τις ἦν μαθήτρια ὀνόματι Ταβιθά, ἣ διερμηνευομένη λέγεται
Δορκάς, αὕτη ἦν πλήρης ἀγαθῶν ἔργων καὶ ἐλεημοσυνῶν ὧν
ἐποίει. ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐ- 37
τὴν ἀποθανεῖν, λούσαντες δὲ αὐτὴν ἔθηκαν ἐν ὑπερῴῳ. ἐγγὺς 38
δὲ οὔσης Λύδδης τῇ Ἰόππῃ, οἱ μαθηταὶ ἀκούσαντες ὅτι Πέτρος
ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν δύο ἄνδρας πρὸς αὐτόν, παρακα-
λοῦντες μὴ ὀκνήσαι διελθεῖν ἕως αὐτῶν. ἀναστὰς δὲ Πέτρος 39
συνῆλθεν αὐτοῖς, ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον,

---

v.29 καί[c] παρρησιάζομαι[vppnnms] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] ὁ[dgms] κύριος[ngms] Ἰησοῦς[ngms] λαλέω[viia3s] τε[xo] καί[c] συζητέω[viia3s] πρός[p] ὁ[damp] Ἑλληνιστής[namp] ὁ[dnmp] δέ[c] ἐπιχειρέω[viia3p] αὐτός[rpams] ἀναιρέω[vnaa]. **v.30** ἐπιγινώσκω[vpaanmp] δέ[c] ὁ[dnmp] ἀδελφός[nnmp] κατάγω[viaa3p] αὐτός[rpams] εἰς[p] Καισάρεια[nafs] καί[c] ἐξαποστέλλω[viaa3p] αὐτός[rpams] εἰς[p] Ταρσός[nafs]. **v.31** ὁ[dnfp] μέν[xo] οὖν[c] ἐκκλησία[nnfp] κατά[p] ὅλος[agfsn] ὁ[dgfs] Ἰουδαία[ngfs] καί[c] Γαλιλαία[ngfs] καί[c] Σαμάρεια[ngfs] ἔχω[viia3p] εἰρήνη[nafs] οἰκοδομέω[vpppnfp] καί[c] πορεύομαι[vppnnfp] ὁ[ddms] φόβος[ndms] ὁ[dgms] κύριος[ngms] καί[c] ὁ[ddfs] παράκλησις[ndfs] ὁ[dgns] ἅγιος[agnsn] πνεῦμα[ngns] πληθύνω[viip3p]. **v.32** γίνομαι[viad3s] δέ[c] Πέτρος[nams] διέρχομαι[vppnams] διά[p] πᾶς[agnpn] κατέρχομαι[vnaa] καί[c] πρός[p] ὁ[damp] ἅγιος[aampn] ὁ[damp] κατοικέω[vppaamp] Λύδδα[nafs]. **v.33** εὑρίσκω[viaa3s] δέ[c] ἐκεῖ[bo] ἄνθρωπος[nams] τι-σριαμσ Αἰνέας[nams] ὄνομα[ndns] ἐκ[p] ἔτος[ngnp] ὀκτώ[tn] κατάκειμαι[vppnams] ἐπί[p] κράβαττος[ndms] ὅς[rrnms] εἰμί[viix3s] παραλύω[vpxpnms]. **v.34** καί[c] λέγω[viaa3s] αὐτός[rpdms] ὁ[dnms] Πέτρος[nnms] Αἰνέας[nvms] ἰάομαι[vipn3s] σύ[rpa-s] Ἰησοῦς[nnms] ὁ[dnms] Χριστός[nnms] ἀνίστημι[vdaa2s] καί[c] στρωννύω[vdaa2s] σεαυτοῦ[rxdms] καί[c] εὐθέως[bo] ἀνίστημι[viaa3s]. **v.35** καί[c] ὁράω[viaa3p] αὐτός[rpams] πᾶς[annmpn] ὁ[dnmp] κατοικέω[vppanmp] Λύδδα[nafs] καί[c] ὁ[dams] Σαρών[nams] ὅστις[rrnmp] ἐπιστρέφω[viaa3p] ἐπί[p] ὁ[dams] κύριος[nams]. **v.36** ἐν[p] Ἰόππη[ndfs] δέ[c] τι-σριναμσ εἰμί[viix3s] μαθήτρια[nnfs] ὄνομα[ndns] Ταβιθά[tp] ὅς[rrnfs] διερμηνεύω[vpppnfs] λέγω[vipp3s] Δορκάς[nnfs] οὗτος[rpnfs] εἰμί[viix3s] πλήρης[anfsn] ἀγαθός[agnpn] ἔργον[ngnp] καί[c] ἐλεημοσύνη[ngfp] ὅς[rrgfp] ποιέω[viia3s]. **v.37** γίνομαι[viad3s] δέ[c] ἐν[p] ὁ[ddfp] ἡμέρα[ndfp] ἐκεῖνος[rddfp] ἀσθενέω[vpaaafs] αὐτός[rpafs] ἀποθνῄσκω[vnaa] λούω[vpaanmp] δέ[c] αὐτός[rpafs] τίθημι[viaa3p] ἐν[p] ὑπερῷον[ndns]. **v.38** ἐγγύς[bo] δέ[c] εἰμί[vppxgfs] Λύδδα[ngfs] ὁ[ddfs] Ἰόππη[ndfs] ὁ[dnmp] μαθητής[nnmp] ἀκούω[vpaanmp] ὅτι[c] Πέτρος[nnms] εἰμί[vipx3s] ἐν[p] αὐτός[rpdfs] ἀποστέλλω[viaa3p] δύο[tn] ἀνήρ[namp] πρός[p] αὐτός[rpams] παρακαλέω[vppanmp] μή[xo] ὀκνέω[vnaa] διέρχομαι[vnaa] ἕως[c] αὐτός[rpgmp].

καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια ὅσα ἐποίει μετ᾽ αὐτῶν οὖσα ἡ Δορκάς.
40 ἐκβαλὼν δὲ ἔξω πάντας ὁ Πέτρος θεὶς τὰ γόνατα προσηύξατο, καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα, εἶπε, Ταβιθά, ἀνάστηθι. ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον, ἀνεκά-
41 θισε. δοὺς δὲ αὐτῇ χεῖρα, ἀνέστησεν αὐτήν, φωνήσας δὲ τοὺς
42 ἁγίους καὶ τὰς χήρας, παρέστησεν αὐτὴν ζῶσαν. γνωστὸν δὲ ἐγένετο καθ᾽ ὅλης τῆς Ἰόππης, καὶ πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν
43 Κύριον. ἐγένετο δὲ ἡμέρας ἱκανὰς μεῖναι αὐτὸν ἐν Ἰόππῃ παρά τινι Σίμωνι βυρσεῖ.

10 Ἀνὴρ δέ τις ἦν ἐν Καισαρείᾳ ὀνόματι Κορνήλιος, ἑκατοντάρ-
2 χης ἐκ σπείρης τῆς καλουμένης Ἰταλικῆς, εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, ποιῶν τε ἐλεημοσύνας
3 πολλὰς τῷ λαῷ, καὶ δεόμενος τοῦ Θεοῦ διὰ παντός. εἶδεν ἐν �ράματι φανερῶς, ὡσεὶ ὥραν ἐννάτην τῆς ἡμέρας, ἄγγελον τοῦ
4 Θεοῦ εἰσελθόντα πρὸς αὐτὸν, καὶ εἰπόντα αὐτῷ, Κορνήλιε. ὁ δὲ ἀτενίσας αὐτῷ καὶ ἔμφοβος γενόμενος εἶπε, Τί ἐστι, Κύριε· εἶπε δὲ αὐτῷ, Αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέ-
5 βησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. καὶ νῦν πέμψον εἰς Ἰόππην ἄνδρας, καὶ μετάπεμψαι Σίμωνα ὃς ἐπικαλεῖται Πέ-

---

v.39 ἀνίστημι^{vpaanms} δέ^{c} Πέτρος^{nnms} συνέρχομαι^{viaa3s} αὐτός^{rpdmp} ὅς^{rrams} παραγίνομαι^{vpadams} ἀνάγω^{viaa3p} εἰς^{p} ὁ^{dans} ὑπερῷον^{nans} καί^{c} παρίστημι^{viaa3p} αὐτός^{rpdms} πᾶς^{anfpn} ὁ^{dnfp} χήρα^{nnfp} κλαίω^{vppanfp} καί^{c} ἐπιδείκνυμι^{vppmnfp} χιτών^{namp} καί^{c} ἱμάτιον^{nanp} ὅσος^{rcanp} ποιέω^{viia3s} μετά^{p} αὐτός^{rpgfp} εἰμί^{vppxnfs} ὁ^{dnfs} Δορκάς^{nnfs}. **v.40** ἐκβάλλω^{vpaanms} δέ^{c} ἔξω^{bo} πᾶς^{aampn} ὁ^{dnms} Πέτρος^{nnms} τίθημι^{vpaanms} ὁ^{danp} γόνυ^{nanp} προσεύχομαι^{viad3s} καί^{c} ἐπιστρέφω^{vpaanms} πρός^{p} ὁ^{dans} σῶμα^{nans} λέγω^{viaa3s} Ταβιθά^{tp} ἀνίστημι^{vdaa2s} ὁ^{dnfs} δέ^{c} ἀνοίγω^{viaa3s} ὁ^{damp} ὀφθαλμός^{namp} αὐτός^{rpgfs} καί^{c} ὁράω^{vpaanfs} ὁ^{dams} Πέτρος^{nams} ἀνακαθίζω^{viaa3s}. **v.41** δίδωμι^{vpaanms} δέ^{c} αὐτός^{rpdfs} χείρ^{nafs} ἀνίστημι^{viaa3s} αὐτός^{rpafs} φωνέω^{vpaanms} δέ^{c} ὁ^{damp} ἅγιος^{aampn} καί^{c} ὁ^{dafp} χήρα^{nafp} παρίστημι^{viaa3s} αὐτός^{rpafs} ζάω^{vppaafs}. **v.42** γνωστός^{annsn} δέ^{c} γίνομαι^{viad3s} κατά^{p} ὅλος^{agfsn} ὁ^{dgfs} Ἰόππη^{ngfs} καί^{c} πολύς^{anmpn} πιστεύω^{viaa3p} ἐπί^{p} ὁ^{dams} κύριος^{nams}. **v.43** γίνομαι^{viad3s} δέ^{c} ἡμέρα^{nafp} ἱκανός^{aafpn} μένω^{vnaa} αὐτός^{rpams} ἐν^{p} Ἰόππη^{ndfs} παρά^{p} τι-σριδμσ Σίμων^{ndms} βυρσεύς^{ndms}. **10. v.1** ἀνήρ^{nnms} δέ^{c} τι-σρινμσ εἰμί^{viix3s} ἐν^{p} Καισάρεια^{ndfs} ὄνομα^{ndns} Κορνήλιος^{nnms} ἑκατοντάρχης^{nnms} ἐκ^{p} σπεῖρα^{ngfs} ὁ^{dgfs} καλέω^{vpppgfs} Ἰταλικός^{agfsn}. **v.2** εὐσεβής^{anmsn} καί^{c} φοβέομαι^{vppnnms} ὁ^{dams} θεός^{nams} σύν^{p} πᾶς^{admsn} ὁ^{ddms} οἶκος^{ndms} αὐτός^{rpgms} ποιέω^{vppanms} τέ^{xo} ἐλεημοσύνη^{nafp} πολύς^{aafpn} ὁ^{ddms} λαός^{ndms} καί^{c} δέομαι^{vppnnms} ὁ^{dgms} θεός^{ngms} διά^{p} πᾶς^{bo}. **v.3** ὁράω^{viaa3s} ἐν^{p} ὅραμα^{ndns} φανερῶς^{bo} ὡσεί^{bo} ὥρα^{nafs} ἔνατος^{aafsn} ὁ^{dgfs} ἡμέρα^{ngfs} ἄγγελος^{nams} ὁ^{dgms} θεός^{ngms} εἰσέρχομαι^{vpaaams} πρός^{p} αὐτός^{rpams} καί^{c} λέγω^{vpaaams} αὐτός^{rpdms} Κορνήλιος^{nvms}. **v.4** ὁ^{dnms} δέ^{c} ἀτενίζω^{vpaanms} αὐτός^{rpdms} καί^{c} ἔμφοβος^{anmsn} γίνομαι^{vpadnms} λέγω^{viaa3s} τίς^{rqnns} εἰμί^{vipx3s} κύριος^{nvms} λέγω^{viaa3s} δέ^{c} αὐτός^{rpdms} ὁ^{dnfp} προσευχή^{nnfp} σύ$^{rpg-s}$ καί^{c} ὁ^{dnfp} ἐλεημοσύνη^{nnfp} σύ$^{rpg-s}$ ἀναβαίνω^{viaa3p} εἰς^{p} μνημόσυνον^{nans} ἐνώπιον^{bo} ὁ^{dgms} θεός^{ngms}.

τρος, οὗτος ξενίζεται παρά τινι Σίμωνι βυρσεῖ, ᾧ ἐστιν οἰκία 6
παρὰ θάλασσαν, οὗτος λαλήσει σοι τί σε δεῖ ποιεῖν. ὡς δὲ 7
ἀπῆλθεν ὁ ἄγγελος ὁ λαλῶν τῷ Κορνηλίῳ, φωνήσας δύο τῶν
οἰκετῶν αὐτοῦ, καὶ στρατιώτην εὐσεβῆ τῶν προσκαρτερούντων
αὐτῷ, καὶ ἐξηγησάμενος αὐτοῖς ἅπαντα, ἀπέστειλεν αὐτοὺς 8
εἰς τὴν Ἰόππην. Τῇ δὲ ἐπαύριον ὁδοιπορούντων ἐκείνων καὶ 9
τῇ πόλει ἐγγιζόντων, ἀνέβη Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι,
περὶ ὥραν ἕκτην, ἐγένετο δὲ πρόσπεινος, καὶ ἤθελε γεύσα- 10
σθαι, παρασκευαζόντων δὲ ἐκείνων, ἐπέπεσεν ἐπ᾽ αὐτὸν ἔκστα-
σις, καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ καταβαῖνον ἐπ 11
αὐτὸν σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς δεδε-
μένον, καὶ καθιέμενον ἐπὶ τῆς γῆς, ἐν ᾧ ὑπῆρχε πάντα τὰ 12
τετράποδα τῆς γῆς καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ πετεινὰ
τοῦ οὐρανοῦ. καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν, Ἀναστάς, Πέ- 13
τρε, θῦσον καὶ φάγε. ὁ δὲ Πέτρος εἶπε, Μηδαμῶς, Κύριε, ὅτι 14
οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον. καὶ φωνὴ πάλιν 15
ἐκ δευτέρου πρὸς αὐτόν, Ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.
τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ πάλιν ἀνελήφθη τὸ σκεῦος εἰς 16
τὸν οὐρανόν. Ὡς δὲ ἐν ἑαυτῷ διηπόρει ὁ Πέτρος τί ἂν εἴη τὸ 17
ὅραμα ὃ εἶδε, καὶ ἰδού, οἱ ἄνδρες οἱ ἀπεσταλμένοι ἀπὸ τοῦ Κορ-
νηλίου, διερωτήσαντες τὴν οἰκίαν Σίμωνος, ἐπέστησαν ἐπὶ τὸν

---

v.5 καί^{c} νῦν^{bo} πέμπω^{vdaa2s} εἰς^{p} Ἰόππη^{nafs} ἀνήρ^{namp} καί^{c} μεταπέμπομαι^{vdad2s} Σίμων^{nams} ὅς^{rrnms} ἐπικαλέω^{vipp3s} Πέτρος^{nnms}. **v.6** οὗτος^{rdnms} ξενίζω^{vipp3s} παρά^{p} τι-σριδμσ Σίμων^{ndms} βυρσεύς^{ndms} ὅς^{rrdms} εἰμί^{vipx3s} οἰκία^{nnfs} παρά^{p} θάλασσα^{nafs} οὗτος^{rdnms} λαλέω^{vifa3s} σύ$^{rpd-s}$ τίς^{rqans} σύ$^{rpa-s}$ δεῖ^{vipq3s} ποιέω^{vnpa}. **v.7** ὡς^{bo} δέ^{c} ἀπέρχομαι^{viaa3s} ὁ^{dnms} ἄγγελος^{nnms} ὁ^{dnms} λαλέω^{vppanms} ὁ^{ddms} Κορνήλιος^{ndms} φωνέω^{vpaanms} δύο^{tn} ὁ^{dgmp} οἰκέτης^{ngmp} αὐτός^{rpgms} καί^{c} στρατιώτης^{nams} εὐσεβής^{aamsn} ὁ^{dgmp} προσκαρτερέω^{vppagmp} αὐτός^{rpdms}. **v.8** καί^{c} ἐξηγέομαι^{vpadnms} αὐτός^{rpdmp} ἅπας^{aanpn} ἀποστέλλω^{viaa3s} αὐτός^{rpamp} εἰς^{p} ὁ^{dafs} Ἰόππη^{nafs}. **v.9** ὁ^{ddfs} δέ^{c} ἐπαύριον^{bo} ὁδοιπορέω^{vppagmp} ἐκεῖνος^{rdgmp} καί^{c} ὁ^{ddfs} πόλις^{ndfs} ἐγγίζω^{vppagmp} ἀναβαίνω^{viaa3s} Πέτρος^{nnms} ἐπί^{p} ὁ^{dans} δῶμα^{nans} προσεύχομαι^{vnad} περί^{p} ὥρα^{nafs} ἕκτος^{aafsn}. **v.10** γίνομαι^{viad3s} δέ^{c} πρόσπεινος^{anmsn} καί^{c} θέλω^{viia3s} γεύομαι^{vnad} παρασκευάζω^{vppagmp} δέ^{c} ἐκεῖνος^{rdgmp} ἐπιπίπτω^{viaa3s} ἐπί^{p} αὐτός^{rpams} ἔκστασις^{nnfs}. **v.11** καί^{c} θεωρέω^{vipa3s} ὁ^{dams} οὐρανός^{nams} ἀνοίγω^{vpxpams} καί^{c} καταβαίνω^{vppaans} ἐπί^{p} αὐτός^{rpams} σκεῦος^{nans} τι-σ-ριανσ ὡς^{bo} ὀθόνη^{nafs} μέγας^{aafsn} τέσσαρες^{ndfp} ἀρχή^{ndfp} δέω^{vpxpams} καί^{c} καθίημι^{vpppans} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs}. **v.12** ἐν^{p} ὅς^{rrdns} ὑπάρχω^{viia3s} πᾶς^{annpn} ὁ^{dnnp} τετράπους^{annpn} ὁ^{dgfs} γῆ^{ngfs} καί^{c} ὁ^{dnnp} θηρίον^{nnnp} καί^{c} ὁ^{dnnp} ἑρπετόν^{nnnp} καί^{c} ὁ^{dnnp} πετεινός^{nnnp} ὁ^{dgms} οὐρανός^{ngms}. **v.13** καί^{c} γίνομαι^{viad3s} φωνή^{nnfs} πρός^{p} αὐτός^{rpams} ἀνίστημι^{vpaanms} Πέτρος^{nvms} θύω^{vdaa2s} καί^{c} ἐσθίω^{vdaa2s}. **v.14** ὁ^{dnms} δέ^{c} Πέτρος^{nnms} λέγω^{viaa3s} μηδαμῶς^{bo} κύριος^{nvms} ὅτι^{c} οὐδέποτε^{bo} ἐσθίω^{viaa1s} πᾶς^{aansn} κοινός^{aansn} ἤ^{xo} ἀκάθαρτος^{aansn}. **v.15** καί^{c} φωνή^{nnfs} πάλιν^{bo} ἐκ^{p} δεύτερος^{agnsn} πρός^{p} αὐτός^{rpams} ὅς^{rranp} ὁ^{dnms} θεός^{nnms} καθαρίζω^{viaa3s} σύ$^{rpn-s}$ μή^{xo} κοινόω^{vdpa2s}. **v.16** οὗτος^{rdnns} δέ^{c} γίνομαι^{viad3s} ἐπί^{p} τρίς^{bo} καί^{c} πάλιν^{bo} ἀναλαμβάνω^{viap3s} ὁ^{dnns} σκεῦος^{nnns} εἰς^{p} ὁ^{dams} οὐρανός^{nams}.

18 πυλῶνα, καὶ φωνήσαντες ἐπυνθάνοντο εἰ Σίμων, ὁ ἐπικαλού-
19 μενος Πέτρος, ἐνθάδε ξενίζεται. τοῦ δὲ Πέτρου ἐνθυμουμένου
περὶ τοῦ ὁράματος, εἶπεν αὐτῷ τὸ Πνεῦμα, Ἰδού, ἄνδρες τρεῖς
20 ζητοῦσί σε. ἀλλὰ ἀναστὰς κατάβηθι, καὶ πορεύου σὺν αὐτοῖς,
21 μηδὲν διακρινόμενος, διότι ἐγὼ ἀπέσταλκα αὐτούς. κατα-
βὰς δὲ Πέτρος πρὸς τοὺς ἄνδρας τοῦς ἀπεσταλμένους ἀπὸ τοῦ
Κορνηλίου πρὸς αὐτόν, εἶπεν, Ἰδού, ἐγώ εἰμι ὃν ζητεῖτε, τίς ἡ
22 αἰτία δι᾽ ἣν πάρεστε· οἱ δὲ εἶπον, Κορνήλιος ἑκατοντάρχης,
ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν Θεόν, μαρτυρούμενός τε ὑ-
πὸ ὅλου τοῦ ἔθνους τῶν Ἰουδαίων, ἐχρηματίσθη ὑπὸ ἀγγέλου
ἁγίου μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἀκοῦσαι ῥή-
23 ματα παρὰ σοῦ. εἰσκαλεσάμενος οὖν αὐτοὺς ἐξένισε. Τῇ δὲ
ἐπαύριον ὁ Πέτρος ἐξῆλθε σὺν αὐτοῖς, καί τινες τῶν ἀδελφῶν
24 τῶν ἀπὸ τῆς Ἰόππης συνῆλθον αὐτῷ. καὶ τῇ ἐπαύριον εἰσῆλ-
θον εἰς τὴν Καισάρειαν. ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτούς,
συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους
25 φίλους. ὡς δὲ ἐγένετο εἰσελθεῖν τὸν Πέτρον, συναντήσας αὐ-
26 τῷ ὁ Κορνήλιος, πεσὼν ἐπὶ τοὺς πόδας, προσεκύνησεν. ὁ δὲ
Πέτρος αὐτὸν ἤγειρε, λέγων, Ἀνάστηθι, κἀγὼ αὐτὸς ἄνθρωπός

---

v.17 ὡς^{bo} δέ^{c} ἐν^{p} ἑαυτοῦ^{rxdms} διαπορέω^{viia3s} ὁ^{dnms} Πέτρος^{nnms} τίς^{rqnns} ἄν^{xo} εἰμί^{vopx3s} ὁ^{dnns} ὅραμα^{nnns} ὃς^{rrans} ὁράω^{viaa3s} καί^{c} ἰδού^{vdaa2s} ὁ^{dnmp} ἀνήρ^{nnmp} ὁ^{dnmp} ἀποστέλλω^{vpxpnmp} ἀπό^{p} ὁ^{dgms} Κορνήλιος^{ngms} διερωτάω^{vpaanmp} ὁ^{dafs} οἰκία^{nafs} Σίμων^{ngms} ἐφίστημι^{viaa3p} ἐπί^{p} ὁ^{dams} πυλών^{nams}. **v.18** καί^{c} φωνέω^{vpaanmp} πυνθάνομαι^{viin3p} εἰ^{qo} Σίμων^{nnms} ὁ^{dnms} ἐπικαλέω^{vpppnms} Πέτρος^{nnms} ἐνθάδε^{bo} ξενίζω^{vipp3s}. **v.19** ὁ^{dgms} δέ^{c} Πέτρος^{ngms} ἐνθυμέομαι^{vppngms} περί^{p} ὁ^{dgns} ὅραμα^{ngns} λέγω^{viaa3s} αὐτός^{rpdms} ὁ^{dnns} πνεῦμα^{nnns} ἰδού^{vdaa2s} ἀνήρ^{nnmp} τρεῖς^{nnmp} ζητέω^{vipa3p} σύ$^{rpa-s}$. **v.20** ἀλλά^{c} ἀνίστημι^{vpaanms} καταβαίνω^{vdaa2s} καί^{c} πορεύομαι^{vdpn2s} σύν^{p} αὐτός^{rpdmp} μηδείς^{aansn} διακρίνω^{vppmnms} διότι^{c} ἐγώ$^{rpn-s}$ ἀποστέλλω^{vixa1s} αὐτός^{rpamp}. **v.21** καταβαίνω^{vpaanms} δέ^{c} Πέτρος^{nnms} πρός^{p} ὁ^{damp} ἀνήρ^{namp} ὁ^{damp} ἀποστέλλω^{vpxpamp} ἀπό^{p} ὁ^{dgms} Κορνήλιος^{ngms} πρός^{p} αὐτός^{rpams} λέγω^{viaa3s} ἰδού^{vdaa2s} ἐγώ$^{rpn-s}$ εἰμί^{vipx1s} ὃς^{rrams} ζητέω^{vipa2p} τίς^{rqnfs} ὁ^{dnfs} αἰτία^{nnfs} διά^{p} ὅς^{rrafs} πάρειμι^{vipx2p}. **v.22** ὁ^{dnmp} δέ^{c} λέγω^{viaa3p} Κορνήλιος^{nnms} ἑκατοντάρχης^{nnms} ἀνήρ^{nnms} δίκαιος^{anmsn} καί^{c} φοβέομαι^{vppnnms} ὁ^{dams} θεός^{nams} μαρτυρέω^{vpppnms} τέ^{xo} ὑπό^{p} ὅλος^{agnsn} ὁ^{dgns} ἔθνος^{ngns} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} χρηματίζω^{viap3s} ὑπό^{p} ἄγγελος^{ngms} ἅγιος^{agmsn} μεταπέμπομαι^{vnad} σύ$^{rpa-s}$ εἰς^{p} ὁ^{dams} οἶκος^{nams} αὐτός^{rpgms} καί^{c} ἀκούω^{vnaa} ῥῆμα^{nanp} παρά^{p} σύ$^{rpg-s}$. **v.23** εἰσκαλέομαι^{vpadnms} οὖν^{c} αὐτός^{rpamp} ξενίζω^{viaa3s} ὁ^{ddfs} δέ^{c} ἐπαύριον^{bo} ὁ^{dnms} Πέτρος^{nnms} ἐξέρχομαι^{viaa3s} σύν^{p} αὐτός^{rpdmp} καί^{c} τι-σρινμπ ὁ^{dgmp} ἀδελφός^{ngmp} ὁ^{dgmp} ἀπό^{p} ὁ^{dgfs} Ἰόππη^{ngfs} συνέρχομαι^{viaa3p} αὐτός^{rpdms}. **v.24** καί^{c} ὁ^{ddfs} ἐπαύριον^{bo} εἰσέρχομαι^{viaa3p} εἰς^{p} ὁ^{dafs} Καισάρεια^{nafs} ὁ^{dnms} δέ^{c} Κορνήλιος^{nnms} εἰμί^{viix3s} προσδοκάω^{vppanms} αὐτός^{rpamp} συγκαλέω^{vpamnms} ὁ^{damp} συγγενής^{aampn} αὐτός^{rpgms} καί^{c} ὁ^{damp} ἀναγκαῖος^{aampn} φίλος^{aampn}. **v.25** ὡς^{bo} δέ^{c} γίνομαι^{viad3s} εἰσέρχομαι^{vnaa} ὁ^{dams} Πέτρος^{nams} συναντάω^{vpaanms} αὐτός^{rpdms} ὁ^{dnms} Κορνήλιος^{nnms} πίπτω^{vpaanms} ἐπί^{p} ὁ^{damp} πούς^{namp} προσκυνέω^{viaa3s}.

εἰμι. καὶ συνομιλῶν αὐτῷ εἰσῆλθε, καὶ εὑρίσκει συνεληλυθό- 27
τας πολλούς, ἔφη τε πρὸς αὐτούς, Ὑμεῖς ἐπίστασθε ὡς ἀθέμι- 28
τόν ἐστιν ἀνδρὶ Ἰουδαίῳ κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύ-
λῳ, καὶ ἐμοὶ ὁ Θεὸς ἔδειξε μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν
ἄνθρωπον, διὸ καὶ ἀναντιρρήτως ἦλθον μεταπεμφθείς. πυν- 29
θάνομαι οὖν, τίνι λόγῳ μετεπέμψασθέ με. καὶ ὁ Κορνήλιος 30
ἔφη, Ἀπὸ τετάρτης ἡμέρας μέχρι ταύτης τῆς ὥρας ἤμην νη-
στεύων, καὶ τὴν ἐννάτην ὥραν προσευχόμενος ἐν τῷ οἴκῳ μου,
καὶ ἰδού, ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ, καὶ φησι, 31
Κορνήλιε, εἰσηκούσθη σου ἡ προσευχή, καὶ αἱ ἐλεημοσύναι
σου ἐμνήσθησαν ἐνώπιον τοῦ Θεοῦ. πέμψον οὖν εἰς Ἰόππην, 32
καὶ μετακάλεσαι Σίμωνα ὃς ἐπικαλεῖται Πέτρος, οὗτος ξενίζεται
ἐν οἰκίᾳ Σίμωνος βυρσέως παρὰ θάλασσαν, ὃς παραγενόμενος
λαλήσει σοι. Ἐξαυτῆς οὖν ἔπεμψα πρός σε, σύ τε καλῶς ἐ- 33
ποίησας παραγενόμενος. νῦν οὖν πάντες ἡμεῖς ἐνώπιον τοῦ
Θεοῦ πάρεσμεν ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ
Θεοῦ. ἀνοίξας δὲ Πέτρος τὸ στόμα, εἶπεν, Ἐπ' ἀληθείας κα- 34
ταλαμβάνομαι ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός, ἀλλ' ἐν 35
παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην,
δεκτὸς αὐτῷ ἐστι. τὸν λόγον ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραήλ, 36
εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ οὗτός ἐστι πάν-

---

v.26 ὁ[dnms] δέ[c] Πέτρος[nnms] αὐτός[rpams] ἐγείρω[viaa3s] λέγω[vppanms] ἀνίστημι[vdaa2s] κἀγώ[rpn-s] αὐτός[rpnms] ἄνθρωπος[nnms] εἰμί[vipx1s]. **v.27** καί[c] συνομιλέω[vppanms] αὐτός[rpdms] εἰσέρχομαι[viaa3s] καί[c] εὑρίσκω[vipa3s] συνέρχομαι[vpxaamp] πολύς[aampn]. **v.28** φημί[viix3s] τέ[xo] πρός[p] αὐτός[rpamp] σύ[rpn-p] ἐπίσταμαι[vipn2p] ὡς[bo] ἀθέμιτος[annsn] εἰμί[vipx3s] ἀνήρ[ndms] Ἰουδαῖος[admsn] κολλάω[vnpp] ἤ[xo] προσέρχομαι[vnpn] ἀλλόφυλος[admsn] καί[c] ἐγώ[rpd-s] ὁ[dnms] θεός[nnms] δείκνυμι[viaa3s] μηδείς[aamsn] κοινός[aamsn] ἤ[xo] ἀκάθαρτος[aamsn] λέγω[vnpa] ἄνθρωπος[nams]. **v.29** διό[c] καί[c] ἀναντιρρήτως[bo] ἔρχομαι[viaa1s] μεταπέμπομαι[vpapnms] πυνθάνομαι[vipn1s] οὖν[c] τίς[rqdms] λόγος[ndms] μεταπέμπομαι[viad2p] ἐγώ[rpa-s]. **v.30** καί[c] ὁ[dnms] Κορνήλιος[nnms] φημί[viix3s] ἀπό[p] τέταρτος[agfsn] ἡμέρα[ngfs] μέχρι[bo] οὗτος[rdgfs] ὁ[dgfs] ὥρα[ngfs] εἰμί[viix1s] νηστεύω[vppanms] καί[c] ὁ[dafs] ἔνατος[aafsn] ὥρα[nafs] προσεύχομαι[vppnnms] ἐν[p] ὁ[ddms] οἶκος[ndms] ἐγώ[rpg-s] καί[c] ἰδού[vdaa2s] ἀνήρ[nnms] ἵστημι[viaa3s] ἐνώπιον[bo] ἐγώ[rpg-s] ἐν[p] ἐσθής[ndfs] λαμπρός[adfsn]. **v.31** καί[c] φημί[vipx3s] Κορνήλιος[nvms] εἰσακούω[viap3s] σύ[rpg-s] ὁ[dnfs] προσευχή[nnfs] καί[c] ὁ[dnfp] ἐλεημοσύνη[nnfp] σύ[rpg-s] μιμνῄσκομαι[viap3p] ἐνώπιον[bo] ὁ[dgms] θεός[ngms]. **v.32** πέμπω[vdaa2s] οὖν[c] εἰς[p] Ἰόππη[nafs] καί[c] μετακαλέω[vdam2s] Σίμων[nams] ὅς[rrnms] ἐπικαλέω[vipp3s] Πέτρος[nnms] οὗτος[rdnms] ξενίζω[vipp3s] ἐν[p] οἰκία[ndfs] Σίμων[ngms] βυρσεύς[ngms] παρά[p] θάλασσα[nafs] ὅς[rrnms] παραγίνομαι[vpadnms] λαλέω[vifa3s] σύ[rpd-s]. **v.33** ἐξαυτῆς[bo] οὖν[c] πέμπω[viaa1s] πρός[p] σύ[rpa-s] σύ[rpn-s] τέ[xo] καλῶς[bo] ποιέω[viaa2s] παραγίνομαι[vpadnms] νῦν[bo] οὖν[c] πᾶς[annmpn] ἐγώ[rpn-p] ἐνώπιον[bo] ὁ[dgms] θεός[ngms] πάρειμι[vipx1p] ἀκούω[vnaa] πᾶς[aanpn] ὁ[danp] προστάσσω[vpxpanp] σύ[rpd-s] ὑπό[p] ὁ[dgms] θεός[ngms]. **v.34** ἀνοίγω[vpaanms] δέ[c] Πέτρος[nnms] ὁ[dans] στόμα[nans] λέγω[viaa3s] ἐπί[p] ἀλήθεια[ngfs] καταλαμβάνω[vipm1s] ὅτι[c] οὐ[xo] εἰμί[vipx3s] προσωπολήμπτης[nnms] ὁ[dnms] θεός[nnms]. **v.35** ἀλλά[c] ἐν[p] πᾶς[adnsn] ἔθνος[ndns] ὁ[dnms] φοβέομαι[vppnnms] αὐτός[rpams] καί[c] ἐργάζομαι[vppnnms] δικαιοσύνη[nafs] δεκτός[anmsn] αὐτός[rpdms] εἰμί[vipx3s].

37 των Κύριο͞ς. ὑμεῖς οἴδατε τὸ γενόμενον ῥῆμα καθ' ὅλης τῆς
Ἰουδαίας, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας, μετὰ τὸ βάπτισμα ὃ ἐ-
38 κήρυξεν Ἰωάννης, Ἰησοῦν τὸν ἀπὸ Ναζαρέθ, ὡς ἔχρισεν αὐτὸν
ὁ Θεὸς Πνεύματι Ἁγίῳ καὶ δυνάμει, ὃς διῆλθεν εὐεργετῶν καὶ
ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου,
39 ὅτι ὁ Θεὸς ἦν μετ' αὐτοῦ. καὶ ἡμεῖς ἐσμεν μάρτυρες πάντων
ὧν ἐποίησεν ἔν τε τῇ χώρᾳ τῶν Ἰουδαίων καὶ ἐν Ἰερουσαλήμ,
40 ὃν ἀνεῖλον κρεμάσαντες ἐπὶ ξύλου. τοῦτον ὁ Θεὸς ἤγειρε τῇ
41 τρίτῃ ἡμέρᾳ, καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι, οὐ παντὶ τῷ
λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ θεοῦ,
ἡμῖν, οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ ἀνα-
42 στῆναι αὐτὸν ἐκ νεκρῶν. καὶ παρήγγειλεν ἡμῖν κηρύξαι τῷ
λαῷ, καὶ διαμαρτύρασθαι ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ
43 Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν. τούτῳ πάντες οἱ προφῆται
μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ
44 πάντα τὸν πιστεύοντα εἰς αὐτόν. Ἔτι λαλοῦντος τοῦ Πέτρου
τὰ ῥήματα ταῦτα, ἐπέπεσε τὸ Πνεῦμα τὸ Ἅγιον ἐπὶ πάντας τοὺς
45 ἀκούοντας τὸν λόγον. καὶ ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοί,
ὅσοι συνῆλθον τῷ Πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ Ἁ-
46 γίου Πνεύματος ἐκκέχυται. ἤκουον γὰρ αὐτῶν λαλούντων

---

v.36 ὁ^{dams} λόγος^{nams} ὅς^{rrams} ἀποστέλλω^{viaa3s} ὁ^{ddmp} υἱός^{ndmp} Ἰσραήλ^{tp} εὐαγγελίζω^{vppmnms} εἰρήνη^{nafs} διά^{p} Ἰησοῦς^{ngms} Χριστός^{ngms} οὗτος^{rdnms} εἰμί^{vipx3s} πᾶς^{agmpn} κύριος^{nnms}. **v.37** σύ$^{rpn-p}$ οἶδα^{vixa2p} ὁ^{dans} γίνομαι^{vpadans} ῥῆμα^{nans} κατά^{p} ὅλος^{agfsn} ὁ^{dgfs} Ἰουδαία^{ngfs} ἄρχω^{vpamans} ἀπό^{p} ὁ^{dgfs} Γαλιλαία^{ngfs} μετά^{p} ὁ^{dans} βάπτισμα^{nans} ὅς^{rrans} κηρύσσω^{viaa3s} Ἰωάννης^{nnms}. **v.38** Ἰησοῦς^{nams} ὁ^{dams} ἀπό^{p} Ναζαρά^{tp} ὡς^{bo} χρίω^{viaa3s} αὐτός^{rpams} ὁ^{dnms} θεός^{nnms} πνεῦμα^{ndns} ἅγιος^{adnsn} καί^{c} δύναμις^{ndfs} ὅς^{rrnms} διέρχομαι^{viaa3s} εὐεργετέω^{vppanms} καί^{c} ἰάομαι^{vppnnms} πᾶς^{aampn} ὁ^{damp} καταδυναστεύω^{vpppamp} ὑπό^{p} ὁ^{dgms} διάβολος^{agmsn} ὅτι^{c} ὁ^{dnms} θεός^{nnms} εἰμί^{viix3s} μετά^{p} αὐτός^{rpgms}. **v.39** καί^{c} ἐγώ$^{rpn-p}$ εἰμί^{vipx1p} μάρτυς^{nnmp} πᾶς^{agnpn} ὅς^{rrgnp} ποιέω^{viaa3s} ἐν^{p} τέ^{xo} ὁ^{ddfs} χώρα^{ndfs} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} καί^{c} ἐν^{p} Ἰερουσαλήμ^{tp} ὅς^{rrams} ἀναιρέω^{viaa3p} κρεμάννυμι^{vpaanmp} ἐπί^{p} ξύλον^{ngns}. **v.40** οὗτος^{rdams} ὁ^{dnms} θεός^{nnms} ἐγείρω^{viaa3s} ὁ^{ddfs} τρίτος^{adfsn} ἡμέρα^{ndfs} καί^{c} δίδωμι^{viaa3s} αὐτός^{rpams} ἐμφανής^{aamsn} γίνομαι^{vnad}. **v.41** οὐ^{xo} πᾶς^{admsn} ὁ^{ddms} λαός^{ndms} ἀλλά^{c} μάρτυς^{ndmp} ὁ^{ddmp} προχειροτονέω^{vpxpdmp} ὑπό^{p} ὁ^{dgms} θεός^{ngms} ἐγώ$^{rpd-p}$ ὅστις^{rrnmp} συνεσθίω^{viaa1p} καί^{c} συμπίνω^{viaa1p} αὐτός^{rpdms} μετά^{p} ὁ^{dans} ἀνίστημι^{vnaa} αὐτός^{rpams} ἐκ^{p} νεκρός^{agmpn}. **v.42** καί^{c} παραγγέλλω^{viaa3s} ἐγώ$^{rpd-p}$ κηρύσσω^{vnaa} ὁ^{ddms} λαός^{ndms} καί^{c} διαμαρτύρομαι^{vnad} ὅτι^{c} αὐτός^{rpnms} εἰμί^{vipx3s} ὁ^{dnms} ὁρίζω^{vpxpnms} ὑπό^{p} ὁ^{dgms} θεός^{ngms} κριτής^{nnms} ζάω^{vppagmp} καί^{c} νεκρός^{agmpn}. **v.43** οὗτος^{rddms} πᾶς^{anmpn} ὁ^{dnmp} προφήτης^{nnmp} μαρτυρέω^{vipa3p} ἄφεσις^{nafs} ἁμαρτία^{ngfp} λαμβάνω^{vnaa} διά^{p} ὁ^{dgns} ὄνομα^{ngns} αὐτός^{rpgms} πᾶς^{aamsn} ὁ^{dams} πιστεύω^{vppaams} εἰς^{p} αὐτός^{rpams}. **v.44** ἔτι^{bo} λαλέω^{vppagms} ὁ^{dgms} Πέτρος^{ngms} ὁ^{danp} ῥῆμα^{nanp} οὗτος^{rdanp} ἐπιπίπτω^{viaa3s} ὁ^{dnns} πνεῦμα^{nnns} ὁ^{dnns} ἅγιος^{annsn} ἐπί^{p} πᾶς^{aampn} ὁ^{damp} ἀκούω^{vppaamp} ὁ^{dams} λόγος^{nams}. **v.45** καί^{c} ἐξίστημι^{viaa3p} ὁ^{dnmp} ἐκ^{p} περιτομή^{ngfs} πιστός^{anfpn} ὅσος^{rcnmp} συνέρχομαι^{viaa3p} ὁ^{ddms} Πέτρος^{ndms} ὅτι^{c} καί^{c} ἐπί^{p} ὁ^{danp} ἔθνος^{nanp} ὁ^{dnfs} δωρεά^{nnfs} ὁ^{dgns} ἅγιος^{agnsn} πνεῦμα^{ngns} ἐκχέω^{vixp3s}.

γλώσσαις, καὶ μεγαλυνόντων τὸν Θεόν. τότε ἀπεκρίθη ὁ Πέ-
τρος, Μήτι τὸ ὕδωρ κωλῦσαι δύναταί τις, τοῦ μὴ βαπτισθῆναι 47
τούτους, οἵτινες τὸ Πνεῦμα τὸ Ἅγιον ἔλαβον καθὼς καὶ ἡμεῖς·
προσέταξέ τε αὐτοὺς βαπτισθῆναι ἐν τῷ ὀνόματι τοῦ Κυρίου. 48
τότε ἠρώτησαν αὐτὸν ἐπιμεῖναι ἡμέρας τινάς.

11 Ἤκουσαν δὲ οἱ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ οἱ ὄντες κατὰ τὴν
Ἰουδαίαν ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο τὸν λόγον τοῦ Θεοῦ. καὶ 2
ὅτε ἀνέβη Πέτρος εἰς Ἰεροσόλυμα, διεκρίνοντο πρὸς αὐτὸν οἱ
ἐκ περιτομῆς, λέγοντες, ὅτι Πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας 3
εἰσῆλθες, καὶ συνέφαγες αὐτοῖς. ἀρξάμενος δὲ ὁ Πέτρος ἐξετί- 4
θετο αὐτοῖς καθεξῆς λέγων, Ἐγὼ ἤμην ἐν πόλει Ἰόππῃ προσ- 5
ευχόμενος, καὶ εἶδον ἐν ἐκστάσει ὅραμα, καταβαῖνον σκεῦός τι,
ὡς ὀθόνην μεγάλην τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐκ τοῦ οὐ-
ρανοῦ, καὶ ἦλθεν ἄχρις ἐμοῦ, εἰς ἣν ἀτενίσας κατενόουν, καὶ 6
εἶδον τὰ τετράποδα τῆς γῆς καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ
πετεινὰ τοῦ οὐρανοῦ. ἤκουσα δὲ φωνῆς λεγούσης μοι, Ἀνα- 7
στάς, Πέτρε, θῦσον καὶ φάγε. εἶπον δέ, Μηδαμῶς Κύριε, ὅτι 8
πᾶν κοινὸν ἢ ἀκάθαρτον οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου.
ἀπεκρίθη δὲ μοι φωνὴ ἐκ δευτέρου ἐκ τοῦ οὐρανοῦ, Ἃ ὁ Θεὸς 9
ἐκαθάρισε, σὺ μὴ κοίνου. τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ πάλιν 10

---

v.46 ἀκούω^{viia3p} γάρ^{c} αὐτός^{rpgmp} λαλέω^{vppagmp} γλῶσσα^{ndfp} καί^{c} μεγαλύνω^{vppagmp} ὁ^{dams} θεός^{nams} τότε^{bo} ἀποκρίνομαι^{viad3s} ὁ^{dnms} Πέτρος^{nnms}. **v.47** μήτι^{xo} ὁ^{dans} ὕδωρ^{nans} κωλύω^{vnaa} δύναμαι^{vipn3s} τι-σρινμσ ὁ^{dgms} μή^{xo} βαπτίζω^{vnap} οὗτος^{rdamp} ὅστις^{rrnmp} ὁ^{dans} πνεῦμα^{nans} ὁ^{dans} ἅγιος^{aansn} λαμβάνω^{viaa3p} καθώς^{bo} καί^{c} ἐγώ$^{rpn-p}$. **v.48** προστάσσω^{viaa3s} τε^{xo} αὐτός^{rpamp} βαπτίζω^{vnap} ἐν^{p} ὁ^{ddns} ὄνομα^{ndns} ὁ^{dgms} κύριος^{ngms} τότε^{bo} ἐρωτάω^{viaa3p} αὐτός^{rpams} ἐπιμένω^{vnaa} ἡμέρα^{nafp} τι-σριαφπ. **11. v.1** ἀκούω^{viaa3p} δέ^{c} ὁ^{dnmp} ἀπόστολος^{nnmp} καί^{c} ὁ^{dnmp} ἀδελφός^{nnmp} ὁ^{dnmp} εἰμί^{vppxnmp} κατά^{p} ὁ^{dafs} Ἰουδαία^{nafs} ὅτι^{c} καί^{c} ὁ^{dnnp} ἔθνος^{nnnp} δέχομαι^{viad3p} ὁ^{dams} λόγος^{nams} ὁ^{dgms} θεός^{ngms}. **v.2** καί^{c} ὅτε^{bo} ἀναβαίνω^{viaa3s} Πέτρος^{nnms} εἰς^{p} Ἰεροσόλυμα^{nafs} διακρίνω^{viim3p} πρός^{p} αὐτός^{rpams} ὁ^{dnmp} ἐκ^{p} περιτομή^{ngfs}. **v.3** λέγω^{vppanmp} ὅτι^{c} πρός^{p} ἀνήρ^{namp} ἀκροβυστία^{nafs} ἔχω^{vppaamp} εἰσέρχομαι^{viaa2s} καί^{c} συνεσθίω^{viaa2s} αὐτός^{rpdmp}. **v.4** ἄρχω^{vpamnms} δέ^{c} ὁ^{dnms} Πέτρος^{nnms} ἐκτίθημι^{viim3s} αὐτός^{rpdmp} καθεξῆς^{bo} λέγω^{vppanms}. **v.5** ἐγώ$^{rpn-s}$ εἰμί^{viix1s} ἐν^{p} πόλις^{ndfs} Ἰόππη^{ndfs} προσεύχομαι^{vppnnms} καί^{c} ὁράω^{viaa1s} ἐν^{p} ἔκστασις^{ndfs} ὅραμα^{nans} καταβαίνω^{vppaans} σκεῦος^{nnns} τι-σριννσ ὡς^{bo} ὀθόνη^{nafs} μέγας^{aafsn} τέσσαρες^{ndfp} ἀρχή^{ndfp} καθίημι^{vpppafs} ἐκ^{p} ὁ^{dgms} οὐρανός^{ngms} καί^{c} ἔρχομαι^{viaa3s} ἄχρι^{p} ἐγώ$^{rpg-s}$. **v.6** εἰς^{p} ὅς^{rrafs} ἀτενίζω^{vpaanms} κατανοέω^{viia1s} καί^{c} ὁράω^{viaa1s} ὁ^{danp} τετράπους^{aanpn} ὁ^{dgfs} γῆ^{ngfs} καί^{c} ὁ^{danp} θηρίον^{nanp} καί^{c} ὁ^{danp} ἑρπετόν^{nanp} καί^{c} ὁ^{danp} πετεινός^{nanp} ὁ^{dgms} οὐρανός^{ngms}. **v.7** ἀκούω^{viaa1s} δέ^{c} φωνή^{ngfs} λέγω^{vppagfs} ἐγώ$^{rpd-s}$ ἀνίστημι^{vpaanms} Πέτρος^{nvms} θύω^{vdaa2s} καί^{c} ἐσθίω^{vdaa2s}. **v.8** λέγω^{viaa1s} δέ^{c} μηδαμῶς^{bo} κύριος^{nvms} ὅτι^{c} πᾶς^{aansn} κοινός^{aansn} ἤ^{xo} ἀκάθαρτος^{aansn} οὐδέποτε^{bo} εἰσέρχομαι^{viaa3s} εἰς^{p} ὁ^{dans} στόμα^{nans} ἐγώ$^{rpg-s}$. **v.9** ἀποκρίνομαι^{viad3s} δέ^{c} ἐγώ$^{rpd-s}$ φωνή^{nnfs} ἐκ^{p} δεύτερος^{agnsn} ἐκ^{p} ὁ^{dgms} οὐρανός^{ngms} ὅς^{rranp} ὁ^{dnms} θεός^{nnms} καθαρίζω^{viaa3s} σύ$^{rpn-s}$ μή^{xo} κοινόω^{vdpa2s}.

11 ἀνεσπάσθη ἅπαντα εἰς τὸν οὐρανόν. καὶ ἰδού, ἐξαυτῆς τρεῖς
ἄνδρες ἐπέστησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ ἤμην, ἀπεσταλμένοι ἀπὸ
12 Καισαρείας πρός με. εἶπε δὲ μοι τὸ Πνεῦμα συνελθεῖν αὐτοῖς,
μηδὲν διακρινόμενον. ἦλθον δὲ σὺν ἐμοὶ καὶ οἱ ἓξ ἀδελφοὶ
13 οὗτοι, καὶ εἰσήλθομεν εἰς τὸν οἶκον τοῦ ἀνδρός, ἀπήγγειλέ
τε ἡμῖν πῶς εἶδε τὸν ἄγγελον ἐν τῷ οἴκῳ αὐτοῦ σταθέντα, καὶ
εἰπόντα αὐτῷ, Ἀπόστειλον εἰς Ἰόππην ἄνδρας, καὶ μετάπεμψαι
14 Σίμωνα, τὸν ἐπικαλούμενον Πέτρον, ὃς λαλήσει ῥήματα πρός
15 σε, ἐν οἷς σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου. ἐν δὲ τῷ ἄρξασθαί
με λαλεῖν, ἐπέπεσε τὸ Πνεῦμα τὸ Ἅγιον ἐπ' αὐτούς, ὥσπερ καὶ
16 ἐφ' ἡμᾶς ἐν ἀρχῇ. ἐμνήσθην δὲ τοῦ ῥήματος Κυρίου, ὡς ἔ-
λεγεν, Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε
17 ἐν Πνεύματι Ἁγίῳ. εἰ οὖν τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς ὁ
Θεὸς ὡς καὶ ἡμῖν, πιστεύσασιν ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστόν,
18 ἐγὼ δὲ τίς ἤμην δυνατὸς κωλῦσαι τὸν Θεόν· ἀκούσαντες δὲ
ταῦτα ἡσύχασαν, καὶ ἐδόξαζον τὸν Θεόν, λέγοντες, Ἄραγε καὶ
19 τοῖς ἔθνεσιν ὁ Θεὸς τὴν μετάνοιαν ἔδωκεν εἰς ζωήν. Οἱ μὲν
οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ Στεφά-
νῳ διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ
20 λαλοῦντες τὸν λόγον εἰ μὴ μόνον Ἰουδαίοις. ἦσαν δέ τινες ἐξ
αὐτῶν ἄνδρες Κύπριοι καὶ Κυρηναῖοι, οἵτινες εἰσελθόντες εἰς

---

v.10 οὗτος^{rdnns} δέ^{c} γίνομαι^{viad3s} ἐπί^{p} τρίς^{bo} καί^{c} πάλιν^{bo} ἀνασπάω^{viap3s} ἅπας^{annpn} εἰς^{p} ὁ^{dams} οὐρανός^{nams}. **v.11** καί^{c} ἰδού^{vdaa2s} ἐξαυτῆς^{bo} τρεῖς^{nnmp} ἀνήρ^{nnmp} ἐφίστημι^{viaa3p} ἐπί^{p} ὁ^{dafs} οἰκία^{nafs} ἐν^{p} ὅς^{rrdfs} εἰμί^{viix1s} ἀποστέλλω^{vpxpnmp} ἀπό^{p} Καισάρεια^{ngfs} πρός^{p} ἐγώ$^{rpa-s}$. **v.12** λέγω^{viaa3s} δέ^{c} ἐγώ$^{rpd-s}$ ὁ^{dnns} πνεῦμα^{nnns} συνέρχομαι^{vnaa} αὐτός^{rpdmp} μηδείς^{aansn} διακρίνω^{vppmams} ἔρχομαι^{viaa3p} δέ^{c} σύν^{p} ἐγώ$^{rpd-s}$ καί^{c} ὁ^{dnmp} ἓξ^{tn} ἀδελφός^{nnmp} οὗτος^{rdnmp} καί^{c} εἰσέρχομαι^{viaa1p} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} ὁ^{dgms} ἀνήρ^{ngms}. **v.13** ἀπαγγέλλω^{viaa3s} τέ^{xo} ἐγώ$^{rpd-p}$ πῶς^{bo} ὁράω^{viaa3s} ὁ^{dams} ἄγγελος^{nams} ἐν^{p} ὁ^{ddms} οἶκος^{ndms} αὐτός^{rpgms} ἵστημι^{vpapams} καί^{c} λέγω^{vpaaams} αὐτός^{rpdms} ἀποστέλλω^{vdaa2s} εἰς^{p} Ἰόππη^{nafs} ἀνήρ^{namp} καί^{c} μεταπέμπομαι^{vdad2s} Σίμων^{nams} ὁ^{dams} ἐπικαλέω^{vpppams} Πέτρος^{nams}. **v.14** ὅς^{rrnms} λαλέω^{vifa3s} ῥῆμα^{nanp} πρός^{p} σύ$^{rpa-s}$ ἐν^{p} ὅς^{rrdnp} σῴζω^{vifp2s} σύ$^{rpn-s}$ καί^{c} πᾶς^{anmsn} ὁ^{dnms} οἶκος^{nnms} σύ$^{rpg-s}$. **v.15** ἐν^{p} δέ^{c} ὁ^{ddms} ἄρχω^{vnam} ἐγώ$^{rpa-s}$ λαλέω^{vnpa} ἐπιπίπτω^{viaa3s} ὁ^{dnns} πνεῦμα^{nnns} ὁ^{dnns} ἅγιος^{annsn} ἐπί^{p} αὐτός^{rpamp} ὥσπερ^{bo} καί^{c} ἐπί^{p} ἐγώ$^{rpa-p}$ ἐν^{p} ἀρχή^{ndfs}. **v.16** μιμνήσκομαι^{viap1s} δέ^{c} ὁ^{dgns} ῥῆμα^{ngns} κύριος^{ngms} ὡς^{bo} λέγω^{viia3s} Ἰωάννης^{nnms} μέν^{xo} βαπτίζω^{viaa3s} ὕδωρ^{ndns} σύ$^{rpn-p}$ δέ^{c} βαπτίζω^{vifp2p} ἐν^{p} πνεῦμα^{ndns} ἅγιος^{adnsn}. **v.17** εἰ^{qo} οὖν^{c} ὁ^{dafs} ἴσος^{aafsn} δωρεά^{nafs} δίδωμι^{viaa3s} αὐτός^{rpdmp} ὁ^{dnms} θεός^{nnms} ὡς^{bo} καί^{c} ἐγώ$^{rpd-p}$ πιστεύω^{vpaadmp} ἐπί^{p} ὁ^{dams} κύριος^{nams} Ἰησοῦς^{nams} Χριστός^{nams} ἐγώ$^{rpn-s}$ δέ^{c} τίς^{rqnms} εἰμί^{viix1s} δυνατός^{anmsn} κωλύω^{vnaa} ὁ^{dams} θεός^{nams}. **v.18** ἀκούω^{vpaanmp} δέ^{c} οὗτος^{rdanp} ἡσυχάζω^{viaa3p} καί^{c} δοξάζω^{viia3p} ὁ^{dams} θεός^{nams} λέγω^{vppanmp} ἀρά^{xo} καί^{c} ὁ^{ddnp} ἔθνος^{ndnp} ὁ^{dnms} θεός^{nnms} ὁ^{dafs} μετάνοια^{nafs} δίδωμι^{viaa3s} εἰς^{p} ζωή^{nafs}. **v.19** ὁ^{dnmp} μέν^{xo} οὖν^{c} διασπείρω^{vpapnmp} ἀπό^{p} ὁ^{dgfs} θλῖψις^{ngfs} ὁ^{dgfs} γίνομαι^{vpadgfs} ἐπί^{p} Στέφανος^{ndms} διέρχομαι^{viaa3s} ἕως^{c} Φοινίκη^{ngfs} καί^{c} Κύπρος^{ngfs} καί^{c} Ἀντιόχεια^{ngfs} μηδείς^{admsn} λαλέω^{vppanmp} ὁ^{dams} λόγος^{nams} εἰ^{qo} μή^{xo} μόνος^{bo} Ἰουδαῖος^{admpn}.

Ἀντιόχειαν, ἐλάλουν πρὸς τοὺς Ἕλληνιστάς, εὐαγγελιζόμενοι
τὸν Κύριον Ἰησοῦν. καὶ ἦν χεὶρ Κυρίου μετ' αὐτῶν, πολύς τε 21
ἀριθμὸς πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν Κύριον. ἠκούσθη δὲ ὁ 22
λόγος εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς ἐν Ἱεροσολύμοις περὶ αὐ-
λάμεθα, ἔδοξεν ἡμῖν γενομένοις ὁμοθυμαδόν, ἐκλεξαμένους 25
ἄνδρας πέμψαι πρὸς ὑμᾶς, σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ
καὶ Παύλῳ, ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ 26
τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἀπεστάλκα- 27
μεν οὖν Ἰούδαν καὶ Σίλαν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλον-
τας τὰ αὐτά. ἔδοξε γὰρ τῷ Ἁγίῳ Πνεύματι, καὶ ἡμῖν, μηδὲν 28
πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος, πλὴν τῶν ἐπάναγκες τούτων, ἀ- 29
πέχεσθαι εἰδωλοθύτων καὶ αἵματος καὶ πνικτοῦ καὶ πορνείας,
ἐξ ὧν διατηροῦντες ἑαυτούς, εὖ πράξετε. ἔρρωσθε. Οἱ μὲν οὖν 30
ἀπολυθέντες ἦλθον εἰς Ἀντιόχειαν, καὶ συναγαγόντες τὸ πλῆ-
θος, ἐπέδωκαν τὴν ἐπιστολήν. ἀναγνόντες δέ, ἐχάρησαν ἐπὶ τῇ 31
παρακλήσει. Ἰούδας δὲ καὶ Σίλας, καὶ αὐτοὶ προφῆται ὄντες, 32
διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφούς, καὶ ἐπεστήρι-
ξαν. ποιήσαντες δὲ χρόνον, ἀπελύθησαν μετ᾽ εἰρήνης ἀπὸ τῶν 33
ἀδελφῶν πρὸς τοὺς ἀποστόλους. ἔδοξε δὲ τῷ Σίλᾳ ἐπιμεῖναι 34
αὐτοῦ. Παῦλος δὲ καὶ Βαρνάβας διέτριβον ἐν Ἀντιοχείᾳ δι- 35
δάσκοντες καὶ εὐαγγελιζόμενοι, μετὰ καὶ ἑτέρων πολλῶν, τὸν
λόγον τοῦ Κυρίου. Μετὰ δέ τινας ἡμέρας εἶπε Παῦλος πρὸς 36
Βαρνάβαν, Ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς
ἡμῶν κατὰ πᾶσαν πόλιν, ἐν αἷς κατηγγείλαμεν τὸν λόγον τοῦ

---

v.24 ἐπειδή[c] ἀκούω[viaa1p] ὅτι[c] τι-σρινμπ ἐκ[p] ἐγώ[rpg-p] ἐξέρχομαι[vpaanmp] ταράσσω[viaa3p] σύ[rpa-p] λόγος[ndmp] ἀνασκευάζω[vppanmp] ὁ[dafp] ψυχή[nafp] σύ[rpg-p] λέγω[vppanmp] περιτέμνω[vnpp] καί[c] τηρέω[vnpa] ὁ[dams] νόμος[nams] ὅς[rrdmp] οὐ[xo] διαστέλλω[viam1p]. **v.25** δοκέω[viaa3s] ἐγώ[rpd-p] γίνομαι[vpaddmp] ὁμοθυμαδόν[bo] ἐκλέγω[vpamamp] ἀνήρ[namp] πέμπω[vnaa] πρός[p] σύ[rpa-p] σύν[p] ὁ[ddmp] ἀγαπητός[admpn] ἐγώ[rpg-p] Βαρναβᾶς[ndms] καί[c] Παῦλος[ndms]. **v.26** ἄνθρωπος[ndmp] παραδίδωμι[vpxadmp] ὁ[dafp] ψυχή[nafp] αὐτός[rpgmp] ὑπέρ[p] ὁ[dgns] ὄνομα[ngns] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.27** ἀποστέλλω[vixa1p] οὖν[c] Ἰούδας[nams] καί[c] Σιλᾶς[nams] καί[c] αὐτός[rpamp] διά[p] λόγος[ngms] ἀπαγγέλλω[vppaamp] ὁ[danp] αὐτός[rpanp]. **v.28** δοκέω[viaa3s] γάρ[c] ὁ[ddns] ἅγιος[adnsn] πνεῦμα[ndns] καί[c] ἐγώ[rpd-p] μηδείς[aansn] πολύς[aansc] ἐπιτίθημι[vnpm] σύ[rpd-p] βάρος[nans] πλήν[bo] ὁ[dgnp] ἐπάναγκες[bo] οὗτος[rdgnp]. **v.29** ἀπέχω[vnpm] εἰδωλόθυτος[agnpn] καί[c] αἷμα[ngns] καί[c] πνικτός[agnsn] καί[c] πορνεία[ngfs] ἐκ[p] ὅς[rrgnp] διατηρέω[vppanmp] ἑαυτοῦ[rxamp] εὖ[bo] πράσσω[vifa2p] ῥώννυμαι[vdxp2p]. **v.30** ὁ[dnmp] μέν[xo] οὖν[c] ἀπολύω[vpapnmp] ἔρχομαι[viaa3p] εἰς[p] Ἀντιόχεια[nafs] καί[c] συνάγω[vpaanmp] ὁ[dans] πλῆθος[nans] ἐπιδίδωμι[viaa3p] ὁ[dafs] ἐπιστολή[nafs]. **v.31** ἀναγινώσκω[vpaanmp] δέ[c] χαίρω[viao3p] ἐπί[p] ὁ[ddfs] παράκλησις[ndfs]. **v.32** Ἰούδας[nnms] δέ[c] καί[c] Σιλᾶς[nnms] καί[c] αὐτός[rpnmp] προφήτης[nnmp] εἰμί[vppxnmp] διά[p] λόγος[ngms] πολύς[agmsn] παρακαλέω[viaa3p] ὁ[damp] ἀδελφός[namp] καί[c] ἐπιστηρίζω[viaa3p]. **v.33** ποιέω[vpaanmp] δέ[c] χρόνος[nams] ἀπολύω[viap3p] μετά[p] εἰρήνη[ngfs] ἀπό[p] ὁ[dgmp] ἀδελφός[ngmp] πρός[p] ὁ[damp] ἀπόστολος[namp]. **v.34** δοκέω[viaa3s] δέ[c] ὁ[ddms] Σιλᾶς[ndms] ἐπιμένω[vnaa] αὐτοῦ[bo]. **v.35** Παῦλος[nnms] δέ[c] καί[c] Βαρναβᾶς[nnms] διατρίβω[viia3p] ἐν[p] Ἀντιόχεια[ndfs] διδάσκω[vppanmp] καί[c] εὐαγγελίζω[vppmnmp] μετά[p] καί[c] ἕτερος[agmpn] πολύς[agmpn] ὁ[dams] λόγος[nams] ὁ[dgms] κύριος[ngms].

37 Κυρίου, πῶς ἔχουσι. Βαρνάβας δὲ ἐβουλεύσατο συμπαραλα-
38 βεῖν τὸν Ἰωάννην, τὸν καλούμενον Μάρκον. Παῦλος δὲ ἠξίου,
τὸν ἀποστάντα ἀπ᾽ αὐτῶν ἀπὸ Παμφυλίας, καὶ μὴ συνελθόντα
39 αὐτοῖς εἰς τὸ ἔργον, μὴ συμπαραλαβεῖν τοῦτον. ἐγένετο οὖν
παροξυσμός, ὥστε ἀποχωρισθῆναι αὐτοὺς ἀπ᾽ ἀλλήλων, τόν τε
Βαρνάβαν παραλαβόντα τὸν Μάρκον, ἐκπλεῦσαι εἰς Κύπρον,
40 Παῦλος δὲ ἐπιλεξάμενος Σίλαν ἐξῆλθε, παραδοθεὶς τῇ χάριτι
41 τοῦ Θεοῦ ὑπὸ τῶν ἀδελφῶν. διήρχετο δὲ τὴν Συρίαν καὶ Κιλι-
κίαν, ἐπιστηρίζων τὰς ἐκκλησίας.

16 Κατήντησε δὲ εἰς Δέρβην καὶ Λύστραν, καὶ ἰδού, μαθητής
τις ἦν ἐκεῖ, ὀνόματι Τιμόθεος, υἱὸς γυναικός τινος Ἰουδαίας
2 πιστῆς, πατρὸς δὲ Ἕλληνος, ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύ-
3 στροις καὶ Ἰκονίῳ ἀδελφῶν. τοῦτον ἠθέλησεν ὁ Παῦλος σὺν
αὐτῷ ἐξελθεῖν, καὶ λαβὼν περιέτεμεν αὐτόν, διὰ τοὺς Ἰουδαί-
ους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις, ᾔδεισαν γὰρ ἅπαντες τὸν
4 πατέρα αὐτοῦ, ὅτι Ἕλλην ὑπῆρχεν. ὡς δὲ διεπορεύοντο τὰς
πόλεις, παρεδίδουν αὐτοῖς φυλάσσειν τὰ δόγματα τὰ κεκριμένα
ὑπὸ τῶν ἀποστόλων καὶ τῶν πρεσβυτέρων τῶν ἐν Ἰερουσαλήμ.
5 αἱ μὲν οὖν ἐκκλησίαι ἐστερεοῦντο τῇ πίστει, καὶ ἐπερίσσευον τῷ
6 ἀριθμῷ καθ᾽ ἡμέραν. Διελθόντες δὲ τὴν Φρυγίαν καὶ τὴν Γα-

---

v.36 μετάp δέc τι-σριαφπ ἡμέραnafp λέγωviaa3s Παῦλοςnnms πρόςp Βαρναβᾶςnams ἐπιστρέφωvpaanmp δήxo ἐπισκέπτομαιvsad1p ὁdamp ἀδελφόςnamp ἐγώrpg-p κατάp πᾶςaafsn πόλιςnafs ἐνp ὅςrrdfp καταγγέλλωviaa1p ὁdams λόγοςnams ὁdgms κύριοςngms πῶςbo ἔχωvipa3p. **v.37** Βαρναβᾶςnnms δέc βουλεύομαιviad3s συμπαραλαμβάνωvnaa ὁdams Ἰωάννηςnams ὁdams καλέωvpppams Μᾶρκοςnams. **v.38** Παῦλοςnnms δέc ἀξιόωviia3s ὁdams ἀφίστημιvpaaams ἀπόp αὐτόςrpgmp ἀπόp Παμφυλίαngfs καιc μήxo συνέρχομαιvpaaams αὐτόςrpdmp εἰςp ὁdans ἔργονnans μήxo συμπαραλαμβάνωvnaa οὗτοςrdams. **v.39** γίνομαιviad3s οὖνc παροξυσμόςnnms ὥστεc ἀποχωρίζωvnap αὐτόςrpamp ἀπόp ἀλλήλωνregmp ὁdams τέxo Βαρναβᾶςnams παραλαμβάνωvpaaams ὁdams Μᾶρκοςnams ἐκπλέωvnaa εἰςp Κύπροςnafs. **v.40** Παῦλοςnnms δέc ἐπιλέγωvpamnms Σιλᾶςnams ἐξέρχομαιviaa3s παραδίδωμιvpapnms ὁddfs χάριςndfs ὁdgms θεόςngms ὑπόp ὁdgmp ἀδελφόςngmp. **v.41** διέρχομαιviin3s δέc ὁdafs Συρίαnafs καιc Κιλικίαnafs ἐπιστηρίζωvppanms ὁdafp ἐκκλησίαnafp. **16. v.1** καταντάωviaa3s δέc εἰςp Δέρβηnafs καιc Λύστραnafs καιc ἰδούvdaa2s μαθητήςnnms τι-σριναμσ εἰμίviix3s ἐκεῖbo ὄνομαndns Τιμόθεοςnnms υἱόςnnms γυνήngfs τίςrigfs Ἰουδαῖοςagfsn πιστόςagfsn πατήρngms δέc Ἕλληνngms. **v.2** ὅςrrnms μαρτυρέωviip3s ὑπόp ὁdgmp ἐνp Λύστραndnp καιc Ἰκόνιονndns ἀδελφόςngmp. **v.3** οὗτοςrdams θέλωviaa3s ὁdnms Παῦλοςnnms σύνp αὐτόςrpdms ἐξέρχομαιvnaa καιc λαμβάνωvpaanms περιτέμνωviaa3s αὐτόςrpams διάp ὁdamp Ἰουδαῖοςaampn ὁdamp εἰμίvppxamp ἐνp ὁddmp τόποςndmp ἐκεῖνοςrddmp οἶδαviya3p γάρc ἅπαςanmpn ὁdams πατήρnams αὐτόςrpgms ὅτιc Ἕλληνnnms ὑπάρχωviia3s. **v.4** ὡςbo δέc διαπορεύομαιviin3p ὁdafp πόλιςnafp παραδίδωμιviia3p αὐτόςrpdmp φυλάσσωvnpa ὁdanp δόγμαnanp ὁdanp κρίνωvpxpanp ὑπόp ὁdgmp ἀπόστολοςngmp καιc ὁdgmp πρεσβύτεροςagmpn ὁdgmp ἐνp Ἰερουσαλήμtp. **v.5** ὁdnfp μένxo οὖνc ἐκκλησίαnnfp στερεόωviip3p ὁddfs πίστιςndfs καιc περισσεύωviia3p ὁddms ἀριθμόςndms κατάp ἡμέραnafs.

λατικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ Ἁγίου Πνεύματος λαλῆσαι
τὸν λόγον ἐν τῇ Ἀσίᾳ, ἐλθόντες κατὰ τὴν Μυσίαν ἐπείραζον κα- 7
τὰ τὴν Βιθυνίαν πορεύεσθαι, καὶ οὐκ εἴασεν αὐτοὺς τὸ Πνεῦμα,
παρελθόντες δὲ τὴν Μυσίαν κατέβησαν εἰς Τρωάδα. καὶ ὅ- 8, 9
ραμα διὰ τῆς νυκτὸς ὤφθη τῷ Παύλῳ, ἀνήρ τις ἦν Μακεδὼν
ἑστώς, παρακαλῶν αὐτὸν καὶ λέγων, Διαβὰς εἰς Μακεδονίαν,
βοήθησον ἡμῖν. ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητήσαμεν 10
ἐξελθεῖν εἰς τὴν Μακεδονίαν, συμβιβάζοντες ὅτι προσκέκληται
ἡμᾶς ὁ Κύριος εὐαγγελίσασθαι αὐτούς. Ἀναχθέντες οὖν ἀπὸ 11
τῆς Τρωάδος, εὐθυδρομήσαμεν εἰς Σαμοθρᾴκην, τῇ τε ἐπιούσῃ
εἰς Νεάπολιν, ἐκειθέν τε εἰς Φιλίππους, ἥτις ἐστὶ πρώτη τῆς 12
μερίδος τῆς Μακεδονίας πόλις, κολωνία, ἦμεν δὲ ἐν ταύτῃ τῇ
πόλει διατρίβοντες ἡμέρας τινάς. τῇ τε ἡμέρᾳ τῶν σαββάτων ἐξ- 13
ήλθομεν ἔξω τῆς πόλεως παρὰ ποταμόν, οὗ ἐνομίζετο προσευ-
χὴ εἶναι, καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις γυναιξί.
καί τις γυνὴ ὀνόματι Λυδία, πορφυρόπωλις πόλεως Θυατείρων, 14
σεβομένη τὸν Θεόν, ἤκουεν, ἧς ὁ Κύριος διήνοιξε τὴν καρδίαν,
προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου. ὡς δὲ ἐβαπτί- 15
σθη, καὶ ὁ οἶκος αὐτῆς, παρεκάλεσε λέγουσα, Εἰ κεκρίκατέ με
πιστὴν τῷ Κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου, μείνατε.
καὶ παρεβιάσατο ἡμᾶς. Ἐγένετο δὲ πορευομένων ἡμῶν εἰς 16

---

v.6 διέρχομαι^{vpaanmp} δέ^{c} ὁ^{dafs} Φρυγία^{nafs} καί^{c} ὁ^{dafs} Γαλατικός^{aafsn} χώρα^{nafs} κωλύω^{vpapnmp} ὑπό^{p} ὁ^{dgns} ἅγιος^{agnsn} πνεῦμα^{ngns} λαλέω^{vnaa} ὁ^{dams} λόγος^{nams} ἐν^{p} ὁ^{ddfs} Ἀσία^{ndfs}.
v.7 ἔρχομαι^{vpaanmp} κατά^{p} ὁ^{dafs} Μυσία^{nafs} πειράζω^{viia3p} κατά^{p} ὁ^{dafs} Βιθυνία^{nafs} πορεύομαι^{vnpn} καί^{c} οὐ^{xo} ἐάω^{viaa3s} αὐτός^{rpamp} ὁ^{dnns} πνεῦμα^{nnns}. **v.8** παρέρχομαι^{vpaanmp} δέ^{c} ὁ^{dafs} Μυσία^{nafs} καταβαίνω^{viaa3p} εἰς^{p} Τρῳάς^{nafs}. **v.9** καί^{c} ὅραμα^{nnns} διά^{p} ὁ^{dgfs} νύξ^{ngfs} ὁράω^{viap3s} ὁ^{ddms} Παῦλος^{ndms} ἀνήρ^{nnms} τι-σρινμσ εἰμί^{viix3s} Μακεδών^{nnms} ἵστημι^{vpxanms} παρακαλέω^{vppanms} αὐτός^{rpams} καί^{c} λέγω^{vppanms} διαβαίνω^{vpaanms} εἰς^{p} Μακεδονία^{nafs} βοηθέω^{vdaa2s} ἐγώ$^{rpd-p}$.
v.10 ὡς^{bo} δέ^{c} ὁ^{dans} ὅραμα^{nans} ὁράω^{viaa3s} εὐθέως^{bo} ζητέω^{viaa1p} ἐξέρχομαι^{vnaa} εἰς^{p} ὁ^{dafs} Μακεδονία^{nafs} συμβιβάζω^{vppanmp} ὅτι^{c} προσκαλέομαι^{vixn3s} ἐγώ$^{rpa-p}$ ὁ^{dnms} κύριος^{nnms} εὐαγγελίζω^{vnam} αὐτός^{rpamp}. **v.11** ἀνάγω^{vpapnmp} οὖν^{c} ἀπό^{p} ὁ^{dgfs} Τρῳάς^{ngfs} εὐθυδρομέω^{viaa1p} εἰς^{p} Σαμοθρᾴκη^{nafs} ὁ^{ddfs} τέ^{xo} ἔπειμι^{vppxdfs} εἰς^{p} Νεάπολις^{nafs}. **v.12** ἐκεῖθεν^{bo} τέ^{xo} εἰς^{p} Φίλιπποι^{nams} ὅστις^{rrnfs} εἰμί^{vipx3s} πρῶτος^{anfsn} ὁ^{dgfs} μερίς^{ngfs} ὁ^{dgfs} Μακεδονία^{ngfs} πόλις^{nnfs} κολωνία^{nnfs} εἰμί^{viix1p} δέ^{c} ἐν^{p} οὗτος^{rddfs} ὁ^{ddfs} πόλις^{ndfs} διατρίβω^{vppanmp} ἡμέρα^{nafp} τι-σριαφπ. **v.13** ὁ^{ddfs} τέ^{xo} ἡμέρα^{ndfs} ὁ^{dgnp} σάββατον^{ngnp} ἐξέρχομαι^{viaa1p} ἔξω^{bo} ὁ^{dgfs} πόλις^{ngfs} παρά^{p} ποταμός^{nams} ὅς^{bo} νομίζω^{viip3s} προσευχή^{nnfs} εἰμί^{vnpx} καί^{c} καθίζω^{vpaanmp} λαλέω^{viia1p} ὁ^{ddfp} συνέρχομαι^{vpaadfp} γυνή^{ndfp}. **v.14** καί^{c} τι-σρινφσ γυνή^{nnfs} ὄνομα^{ndns} Λυδία^{nnfs} πορφυρόπωλις^{nnfs} πόλις^{ngfs} Θυάτειρα^{ngnp} σέβω^{vppnnfs} ὁ^{dams} θεός^{nams} ἀκούω^{viia3s} ὅς^{rrgfs} ὁ^{dnms} κύριος^{nnms} διανοίγω^{viaa3s} ὁ^{dafs} καρδία^{nafs} προσέχω^{vnpa} ὁ^{ddnp} λαλέω^{vpppdnp} ὑπό^{p} ὁ^{dgms} Παῦλος^{ngms}. **v.15** ὡς^{bo} δέ^{c} βαπτίζω^{viap3s} καί^{c} ὁ^{dnms} οἶκος^{nnms} αὐτός^{rpgfs} παρακαλέω^{viaa3s} λέγω^{vppanfs} εἰ^{qo} κρίνω^{vixa2p} ἐγώ$^{rpa-s}$ πιστός^{aafsn} ὁ^{ddms} κύριος^{ndms} εἰμί^{vnpx} εἰσέρχομαι^{vpaanmp} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} ἐγώ$^{rpg-s}$ μένω^{vdaa2p} καί^{c} παραβιάζομαι^{viad3s} ἐγώ$^{rpa-p}$.

προσευχήν, παιδίσκην τινὰ ἔχουσαν πνεῦμα Πύθωνος ἀπαντῆσαι ἡμῖν, ἥτις ἐργασίαν πολλὴν παρεῖχε τοῖς κυρίοις αὐτῆς,
17 μαντευομένη. αὕτη κατακολουθήσασα τῷ Παύλῳ καὶ ἡμῖν, ἔκραζε λέγουσα, Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψί-
18 στου εἰσίν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας. τοῦτο δὲ ἐποίει ἐπὶ πολλὰς ἡμέρας. διαπονηθεὶς δὲ ὁ Παῦλος, καὶ ἐπιστρέψας, τῷ πνεύματι εἶπε, Παραγγέλλω σοι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, ἐξελθεῖν ἀπ᾽ αὐτῆς. καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ.
19 ἰδόντες δὲ οἱ κύριοι αὐτῆς ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, ἐπιλαβόμενοι τὸν Παῦλον καὶ τὸν Σίλαν, εἵλκυσαν εἰς τὴν
20 ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας, καὶ προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς εἶπον, Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν
21 πόλιν, Ἰουδαῖοι ὑπάρχοντες, καὶ καταγγέλλουσιν ἔθη ἃ οὐκ
22 ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ ποιεῖν, Ῥωμαίοις οὖσι. καὶ συνεπέστη ὁ ὄχλος κατ᾽ αὐτῶν, καὶ οἱ στρατηγοὶ περιρρήξαν-
23 τες αὐτῶν τὰ ἱμάτια ἐκέλευον ῥαβδίζειν. πολλάς τε ἐπιθέντες αὐτοῖς πληγὰς ἔβαλον εἰς φυλακήν, παραγγείλαντες τῷ δεσμο-
24 φύλακι ἀσφαλῶς τηρεῖν αὐτούς, ὃς, παραγγελίαν τοιαύτην εἰληφώς, ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακήν, καὶ τοὺς
25 πόδας αὐτῶν ἠσφαλίσατο εἰς τὸ ξύλον. κατὰ δὲ τὸ μεσονύ-κτιον Παῦλος καὶ Σίλας προσευχόμενοι ὕμνουν τὸν Θεόν, ἐπη-

---

v.16 γίνομαι^{viad3s} δέ^{c} πορεύομαι^{vppngmp} ἐγώ$^{rpg\text{-}p}$ εἰς^{p} προσευχή^{nafs} παιδίσκη^{nafs} τι-σραιφσ ἔχω^{vppaafs} πνεῦμα^{nans} πύθων^{ngms} ἀπαντάω^{vnaa} ἐγώ$^{rpd\text{-}p}$ ὅστις^{rrnfs} ἐργασία^{nafs} πολύς^{aafsn} παρέχω^{viia3s} ὁ^{ddmp} κύριος^{ndmp} αὐτός^{rpgfs} μαντεύομαι^{vppnnfs}. **v.17** οὗτος^{rdnfs} κατακολουθέω^{vpaanfs} ὁ^{ddms} Παῦλος^{ndms} καί^{c} ἐγώ$^{rpd\text{-}p}$ κράζω^{viia3s} λέγω^{vppanfs} οὗτος^{rdnmp} ὁ^{dnmp} ἄνθρωπος^{nnmp} δοῦλος^{nnmp} ὁ^{dgms} θεός^{ngms} ὁ^{dgms} ὕψιστος^{agmsn} εἰμί^{vipx3p} ὅστις^{rrnmp} καταγγέλλω^{vipa3p} ἐγώ$^{rpd\text{-}p}$ ὁδός^{nafs} σωτηρία^{ngfs}. **v.18** οὗτος^{rdans} δέ^{c} ποιέω^{viia3s} ἐπί^{p} πολύς^{aafpn} ἡμέρα^{nafp} διαπονέομαι^{vpadnms} δέ^{c} ὁ^{dnms} Παῦλος^{nnms} καί^{c} ἐπιστρέφω^{vpaanms} ὁ^{ddns} πνεῦμα^{ndns} λέγω^{viaa3s} παραγγέλλω^{vipa1s} σύ$^{rpd\text{-}s}$ ἐν^{p} ὁ^{ddns} ὄνομα^{ndns} Ἰησοῦς^{ngms} Χριστός^{ngms} ἐξέρχομαι^{vnaa} ἀπό^{p} αὐτός^{rpgfs} καί^{c} ἐξέρχομαι^{viaa3s} αὐτός^{rpdfs} ὁ^{ddfs} ὥρα^{ndfs}. **v.19** ὁράω^{vpaanmp} δέ^{c} ὁ^{dnmp} κύριος^{nnmp} αὐτός^{rpgfs} ὅτι^{c} ἐξέρχομαι^{viaa3s} ὁ^{dnfs} ἐλπίς^{nnfs} ὁ^{dgfs} ἐργασία^{ngfs} αὐτός^{rpgmp} ἐπιλαμβάνομαι^{vpadnmp} ὁ^{dams} Παῦλος^{nams} καί^{c} ὁ^{dams} Σιλᾶς^{nams} ἕλκω^{viaa3p} εἰς^{p} ὁ^{dafs} ἀγορά^{nafs} ἐπί^{p} ὁ^{damp} ἄρχων^{namp}. **v.20** καί^{c} προσάγω^{vpaanmp} αὐτός^{rpamp} ὁ^{ddmp} στρατηγός^{ndmp} λέγω^{viaa3p} οὗτος^{rdnmp} ὁ^{dnmp} ἄνθρωπος^{nnmp} ἐκταράσσω^{vipa3p} ἐγώ$^{rpg\text{-}p}$ ὁ^{dafs} πόλις^{nafs} Ἰουδαῖος^{anmpn} ὑπάρχω^{vppanmp}. **v.21** καί^{c} καταγγέλλω^{vipa3p} ἔθος^{nanp} ὅς^{rranp} οὐ^{xo} ἔξεστι^{vipq3s} ἐγώ$^{rpd\text{-}p}$ παραδέχομαι^{vnpn} οὐδέ^{bo} ποιέω^{vnpa} Ῥωμαῖος^{admpn} εἰμί^{vppxdmp}. **v.22** καί^{c} συνεφίστημι^{viaa3s} ὁ^{dnms} ὄχλος^{nnms} κατά^{p} αὐτός^{rpgmp} καί^{c} ὁ^{dnmp} στρατηγός^{nnmp} περιρήγνυμι^{vpaanmp} αὐτός^{rpgmp} ὁ^{danp} ἱμάτιον^{nanp} κελεύω^{viia3p} ῥαβδίζω^{vnpa}. **v.23** πολύς^{aafpn} τέ^{xo} ἐπιτίθημι^{vpaanmp} αὐτός^{rpdmp} πληγή^{nafp} βάλλω^{viaa3p} εἰς^{p} φυλακή^{nafs} παραγγέλλω^{vpaanmp} ὁ^{ddms} δεσμοφύλαξ^{ndms} ἀσφαλῶς^{bo} τηρέω^{vnpa} αὐτός^{rpamp}. **v.24** ὅς^{rrnms} παραγγελία^{nafs} τοιοῦτος^{rdafs} λαμβάνω^{vpxanms} βάλλω^{viaa3s} αὐτός^{rpamp} εἰς^{p} ὁ^{dafs} ἐσώτερος^{aafsn} φυλακή^{nafs} καί^{c} ὁ^{damp} πούς^{namp} αὐτός^{rpgmp} ἀσφαλίζω^{viad3s} εἰς^{p} ὁ^{dans} ξύλον^{nans}.

κροῶντο δὲ αὐτῶν οἱ δέσμιοι, ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας, 26
ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου, ἀνεῴχθησάν τε
παραχρῆμα αἱ θύραι πᾶσαι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη. ἐξ- 27
υπνος δὲ γενόμενος ὁ δεσμοφύλαξ, καὶ ἰδὼν ἀνεῳγμένας τὰς
θύρας τῆς φυλακῆς, σπασάμενος μάχαιραν, ἔμελλεν ἑαυτὸν
ἀναιρεῖν, νομίζων ἐκπεφευγέναι τοὺς δεσμίους. ἐφώνησε δὲ 28
φωνῇ μεγάλῃ ὁ Παῦλος λέγων, Μηδὲν πράξῃς σεαυτῷ κακόν,
ἅπαντες γάρ ἐσμεν ἐνθάδε. αἰτήσας δὲ φῶτα εἰσεπήδησε, καὶ 29
ἔντρομος γενόμενος προσέπεσε τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, καὶ 30
προαγαγὼν αὐτοὺς ἔξω ἔφη, Κύριοι, τί με δεῖ ποιεῖν ἵνα σωθῶ·
οἱ δὲ εἶπον, Πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ 31
σωθήσῃ σὺ καὶ ὁ οἶκός σου. καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον 32
τοῦ Κυρίου, καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ. καὶ παραλαβὼν 33
αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς ἔλουσεν ἀπὸ τῶν πληγῶν,
καὶ ἐβαπτίσθη αὐτὸς καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα. ἀνα- 34
γαγών τε αὐτοὺς εἰς τὸν οἶκον αὐτοῦ παρέθηκε τράπεζαν, καὶ
ἠγαλλιάσατο πανοικὶ πεπιστευκὼς τῷ Θεῷ. Ἡμέρας δὲ γε- 35
νομένης ἀπέστειλαν οἱ στρατηγοὶ τοὺς ῥαβδούχους λέγοντες,
Ἀπόλυσον τοὺς ἀνθρώπους ἐκείνους. ἀπήγγειλε δὲ ὁ δεσμο- 36
φύλαξ τοὺς λόγους τούτους πρὸς τὸν Παῦλον ὅτι Ἀπεστάλκασιν
οἱ στρατηγοί, ἵνα ἀπολυθῆτε, νῦν οὖν ἐξελθόντες πορεύεσθε ἐν

---

v.25 κατάp δέc ὁdans μεσονύκτιονnans Παῦλοςnnms καίc Σιλᾶςnnms προσεύχομαιvppnnmp ὑμνέωviia3p ὁdams θεόςnams ἐπακροάομαιviin3p δέc αὐτόςrpgmp ὁdnmp δέσμιοςnnmp. **v.26** ἄφνωbo δέc σεισμόςnnms γίνομαιviad3s μέγαςanmsn ὥστεc σαλεύωvnap ὁdanp θεμέλιονnanp ὁdgns δεσμωτήριονngns ἀνοίγωviap3p τέxo παραχρῆμαbo ὁdnfp θύραnnfp πᾶςanfpn καίc πᾶςagmpn ὁdnnp δεσμόςnnnp ἀνίημιviap3s. **v.27** ἔξυπνοςanmsn δέc γίνομαιvpadnms ὁdnms δεσμοφύλαξnnms καίc ὁράωvpaanms ἀνοίγωvpxpafp ὁdafp θύραnafp ὁdgfs φυλακήngfs σπάωvpamnms μάχαιρανafs μέλλωviia3s ἑαυτοῦrxams ἀναιρέωvnpa νομίζωvppanms ἐκφεύγωvnxa ὁdamp δέσμιοςnamp. **v.28** φωνέωviaa3s δέc φωνήndfs μέγαςadfsn ὁdnms Παῦλοςnnms λέγωvppanms μηδείςaansn πράσσωvsaa2s σεαυτοῦrxdms κακόςaansn ἅπαςanmpn γάρc εἰμίvipx1p ἐνθάδεbo. **v.29** αἰτέωvpaanms δέc φῶςnanp εἰσπηδάωviaa3s καίc ἔντρομοςanmsn γίνομαιvpadnms προσπίπτωviaa3s ὁddms Παῦλοςndms καίc ὁddms Σιλᾶςndms. **v.30** καίc προάγωvpaanms αὐτόςrpamp ἔξωbo φημίviix3s κύριοςnvmp τίςrqans ἐγώrpa-s δεῖvipq3s ποιέωvnpa ἵναc σῴζωvsap1s. **v.31** ὁdnmp δέc λέγωviaa3p πιστεύωvdaa2s ἐπίp ὁdams κύριοςnams Ἰησοῦςnams Χριστόςnams καίc σῴζωvifp2s σύrpn-s καίc ὁdnms οἶκοςnnms σύrpg-s. **v.32** καίc λαλέωviaa3p αὐτόςrpdms ὁdams λόγοςnams ὁdgms κύριοςngms καίc πᾶςadmpn ὁddmp ἐνp ὁddfs οἰκίαndfs αὐτόςrpgms. **v.33** καίc παραλαμβάνωvpaanms αὐτόςrpamp ἐνp ἐκεῖνοςrddfs ὁddfs ὥραndfs ὁdgfs νύξngfs λούωviaa3s ἀπόp ὁdgfp πληγήngfp καίc βαπτίζωviap3s αὐτόςrpnms καίc ὁdnmp αὐτόςrpgms πᾶςanmpn παραχρῆμαbo. **v.34** ἀνάγωvpaanms τέxo αὐτόςrpamp εἰςp ὁdams οἶκοςnams αὐτόςrpgms παρατίθημιviaa3s τράπεζαnafs καίc ἀγαλλιάωviad3s πανοικεὶbo πιστεύωvpxanms ὁddms θεόςndms. **v.35** ἡμέραngfs δέc γίνομαιvpadgfs ἀποστέλλωviaa3p ὁdnmp στρατηγόςnnmp ὁdamp ῥαβδοῦχοςnamp λέγωvppanmp ἀπολύωvdaa2s ὁdamp ἄνθρωποςnamp ἐκεῖνοςrdamp.

37 εἰρήνῃ. ὁ δὲ Παῦλος ἔφη πρὸς αὐτούς, Δείραντες ἡμᾶς δημο-
σίᾳ, ἀκατακρίτους, ἀνθρώπους Ῥωμαίους ὑπάρχοντας, ἔβαλον
εἰς φυλακήν, καὶ νῦν λάθρα ἡμᾶς ἐκβάλλουσιν· οὐ γάρ, ἀλ-
38 λὰ ἐλθόντες αὐτοὶ ἡμᾶς ἐξαγαγέτωσαν. ἀνήγγειλαν δὲ τοῖς
στρατηγοῖς οἱ ῥαβδοῦχοι τὰ ῥήματα ταῦτα, καὶ ἐφοβήθησαν
39 ἀκούσαντες ὅτι Ῥωμαῖοί εἰσι, καὶ ἐλθόντες παρεκάλεσαν αὐ-
40 τούς, καὶ ἐξαγαγόντες ἠρώτων ἐξελθεῖν τῆς πόλεως. ἐξελθόντες
δὲ ἐκ τῆς φυλακῆς εἰσῆλθον εἰς τὴν Λυδίαν, καὶ ἰδόντες τοὺς
ἀδελφούς, παρεκάλεσαν αὐτούς, καὶ ἐξῆλθον.

17 Διοδεύσαντες δὲ τὴν Ἀμφίπολιν καὶ Ἀπολλωνίαν, ἦλθον εἰς
2 Θεσσαλονίκην, ὅπου ἦν ἡ συναγωγὴ τῶν Ἰουδαίων, κατὰ δὲ τὸ
εἰωθὸς τῷ Παύλῳ εἰσῆλθε πρὸς αὐτούς, καὶ ἐπὶ σάββατα τρία
3 διελέγετο αὐτοῖς ἀπὸ τῶν γραφῶν, διανοίγων καὶ παρατιθέ-
μενος, ὅτι τὸν Χριστὸν ἔδει παθεῖν καὶ ἀναστῆναι ἐκ νεκρῶν,
καὶ ὅτι οὗτός ἐστιν ὁ Χριστὸς Ἰησοῦς, ὃν ἐγὼ καταγγέλλω ὑ-
4 μῖν. καί τινες ἐξ αὐτῶν ἐπείσθησαν, καὶ προσεκληρώθησαν
τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, τῶν τε σεβομένων Ἑλλήνων πολὺ πλῆ-
5 θος, γυναικῶν τε τῶν πρώτων οὐκ ὀλίγαι. ζηλώσαντες δὲ οἱ
ἀπειθοῦντες Ἰουδαῖοι, καὶ προσλαβόμενοι τῶν ἀγοραίων τινὰς
ἄνδρας πονηρούς, καὶ ὀχλοποιήσαντες, ἐθορύβουν τὴν πόλιν,
ἐπιστάντες τε τῇ οἰκίᾳ Ἰάσονος, ἐζήτουν αὐτοὺς ἀγαγεῖν εἰς τὸν

---

v.36 ἀπαγγέλλω^{viaa3s} δέ^{c} ὁ^{dnms} δεσμοφύλαξ^{nnms} ὁ^{damp} λόγος^{namp} οὗτος^{rdamp} πρός^{p} ὁ^{dams} Παῦλος^{nams} ὅτι^{c} ἀποστέλλω^{vixa3p} ὁ^{dnmp} στρατηγός^{nnmp} ἵνα^{c} ἀπολύω^{vsap2p} νῦν^{bo} οὖν^{c} ἐξέρχομαι^{vpaanmp} πορεύομαι^{vdpn2p} ἐν^{p} εἰρήνη^{ndfs}. **v.37** ὁ^{dnms} δέ^{c} Παῦλος^{nnms} φημί^{viix3s} πρός^{p} αὐτός^{rpamp} δέρω^{vpaanmp} ἐγώ$^{rpa-p}$ δημόσιος^{adfsn} ἀκατάκριτος^{aampn} ἄνθρωπος^{namp} Ῥωμαῖος^{aampn} ὑπάρχω^{vppaamp} βάλλω^{viaa3p} εἰς^{p} φυλακή^{nafs} καί^{c} νῦν^{bo} λάθρα^{bo} ἐγώ$^{rpa-p}$ ἐκβάλλω^{vipa3p} οὐ^{xo} γάρ^{c} ἀλλά^{c} ἔρχομαι^{vpaanmp} αὐτός^{rpnmp} ἐγώ$^{rpa-p}$ ἐξάγω^{vdaa3p}. **v.38** ἀναγγέλλω^{viaa3p} δέ^{c} ὁ^{ddmp} στρατηγός^{ndmp} ὁ^{dnmp} ῥαβδοῦχος^{nnmp} ὁ^{danp} ῥῆμα^{nanp} οὗτος^{rdanp} καί^{c} φοβέομαι^{viao3p} ἀκούω^{vpaanmp} ὅτι^{c} Ῥωμαῖος^{anmpn} εἰμί^{vipx3p}. **v.39** καί^{c} ἔρχομαι^{vpaanmp} παρακαλέω^{viaa3p} αὐτός^{rpamp} καί^{c} ἐξάγω^{vpaanmp} ἐρωτάω^{viia3p} ἐξέρχομαι^{vnaa} ὁ^{dgfs} πόλις^{ngfs}. **v.40** ἐξέρχομαι^{vpaanmp} δέ^{c} ἐκ^{p} ὁ^{dgfs} φυλακή^{ngfs} εἰσέρχομαι^{viaa3p} εἰς^{p} ὁ^{dafs} Λυδία^{nafs} καί^{c} ὁράω^{vpaanmp} ὁ^{damp} ἀδελφός^{namp} παρακαλέω^{viaa3p} αὐτός^{rpamp} καί^{c} ἐξέρχομαι^{viaa3p}. **17. v.1** διοδεύω^{vpaanmp} δέ^{c} ὁ^{dafs} Ἀμφίπολις^{nafs} καί^{c} Ἀπολλωνία^{nafs} ἔρχομαι^{viaa3p} εἰς^{p} Θεσσαλονίκη^{nafs} ὅπου^{bo} εἰμί^{viix3s} ὁ^{dnfs} συναγωγή^{nnfs} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn}. **v.2** κατά^{p} δέ^{c} ὁ^{dans} εἴωθα^{vpxaans} ὁ^{ddms} Παῦλος^{ndms} εἰσέρχομαι^{viaa3s} πρός^{p} αὐτός^{rpamp} καί^{c} ἐπί^{p} σάββατον^{nanp} τρεῖς^{nanp} διαλέγομαι^{viin3s} αὐτός^{rpdmp} ἀπό^{p} ὁ^{dgfp} γραφή^{ngfp}. **v.3** διανοίγω^{vppanms} καί^{c} παρατίθημι^{vppmnms} ὅτι^{c} ὁ^{dams} Χριστός^{nams} δεῖ^{viiq3s} πάσχω^{vnaa} καί^{c} ἀνίστημι^{vnaa} ἐκ^{p} νεκρός^{agmpn} καί^{c} ὅτι^{c} οὗτος^{rdnms} εἰμί^{vipx3s} ὁ^{dnms} Χριστός^{nnms} Ἰησοῦς^{nnms} ὅς^{rrams} ἐγώ$^{rpn-s}$ καταγγέλλω^{vipa1s} σύ$^{rpd-p}$. **v.4** καί^{c} τι-σρινμπ ἐκ^{p} αὐτός^{rpgmp} πείθω^{viap3p} καί^{c} προσκληρόω^{viap3p} ὁ^{ddms} Παῦλος^{ndms} καί^{c} ὁ^{ddms} Σιλᾶς^{ndms} ὁ^{dgmp} τέ^{xo} σέβω^{vppngmp} Ἕλλην^{ngmp} πολύς^{annsn} πλῆθος^{nnns} γυνή^{ngfp} τέ^{xo} ὁ^{dgfp} πρῶτος^{agfpn} οὐ^{xo} ὀλίγος^{anfpn}.

δῆμον. μὴ εὑρόντες δὲ αὐτούς, ἔσυρον τὸν Ἰάσονα καί τινας 6
ἀδελφοὺς ἐπὶ τοὺς πολιτάρχας, βοῶντες ὅτι Οἱ τὴν οἰκουμέ-
νην ἀναστατώσαντες, οὗτοι καὶ ἐνθάδε πάρεισιν, οὓς ὑποδέδε- 7
κται Ἰάσων, καὶ οὗτοι πάντες ἀπέναντι τῶν δογμάτων Καίσαρος
πράττουσιν, βασιλέα λέγοντες ἕτερον εἶναι, Ἰησοῦν. ἐτάραξαν 8
δὲ τὸν ὄχλον καὶ τοὺς πολιτάρχας ἀκούοντας ταῦτα. καὶ λα- 9
βόντες τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος καὶ τῶν λοιπῶν, ἀπέλυσαν
αὐτούς. Οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ τῆς νυκτὸς ἐξέπεμψαν τόν 10
τε Παῦλον καὶ τὸν Σιλᾶν εἰς Βέροιαν, οἵτινες παραγενόμενοι εἰς
τὴν συναγωγὴν τῶν Ἰουδαίων ἀπῆεσαν. οὗτοι δὲ ἦσαν εὐγε- 11
νέστεροι τῶν ἐν Θεσσαλονίκῃ, οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ
πάσης προθυμίας, τὸ καθ' ἡμέραν ἀνακρίνοντες τὰς γραφάς,
εἰ ἔχοι ταῦτα οὕτως. πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπίστευσαν, 12
καὶ τῶν Ἑλληνίδων γυναικῶν τῶν εὐσχημόνων καὶ ἀνδρῶν οὐκ
ὀλίγοι. ὡς δὲ ἔγνωσαν οἱ ἀπὸ τῆς Θεσσαλονίκης Ἰουδαῖοι ὅτι 13
καὶ ἐν τῇ Βεροίᾳ κατηγγέλη ὑπὸ τοῦ Παύλου ὁ λόγος τοῦ Θε-
οῦ, ἦλθον κἀκεῖ σαλεύοντες τοὺς ὄχλους. εὐθέως δὲ τότε τὸν 14
Παῦλον ἐξαπέστειλαν οἱ ἀδελφοὶ πορεύεσθαι ὡς ἐπὶ τὴν θά-
λασσαν, ὑπέμενον δὲ ὅ τε Σίλας καὶ ὁ Τιμόθεος ἐκεῖ. οἱ δὲ 15
καθιστῶντες τὸν Παῦλον, ἤγαγον αὐτὸν ἕως Ἀθηνῶν, καὶ λα-

---

v.5 ζηλόω^{vpaanmp} δέ^{c} ὁ^{dnmp} ἀπειθέω^{vppanmp} Ἰουδαῖος^{anmpn} καί^{c} προσλαμβάνω^{vpamnmp} ὁ^{dgmp} ἀγοραῖος^{agmpn} τι-σριαμπ ἀνήρ^{namp} πονηρός^{aampn} καί^{c} ὀχλοποιέω^{vpaanmp} θορυβέω^{viia3p} ὁ^{dafs} πόλις^{nafs} ἐφίστημι^{vpaanmp} τέ^{xo} ὁ^{ddfs} οἰκία^{ndfs} Ἰάσων^{ngms} ζητέω^{viia3p} αὐτός^{rpamp} ἄγω^{vnaa} εἰς^{p} ὁ^{dams} δῆμος^{nams}. **v.6** μή^{xo} εὑρίσκω^{vpaanmp} δέ^{c} αὐτός^{rpamp} σύρω^{viia3p} ὁ^{dams} Ἰάσων^{nams} καί^{c} τι-σριαμπ ἀδελφός^{namp} ἐπί^{p} ὁ^{damp} πολιτάρχης^{namp} βοάω^{vppanmp} ὅτι^{c} ὁ^{dnmp} ὁ^{dafs} οἰκουμένη^{nafs} ἀναστατόω^{vpaanmp} οὗτος^{rdnmp} καί^{c} ἐνθάδε^{bo} πάρειμι^{vipx3p}. **v.7** ὅς^{rramp} ὑποδέχομαι^{vixn3s} Ἰάσων^{nnms} καί^{c} οὗτος^{rdnmp} πᾶς^{anmpn} ἀπέναντι^{bo} ὁ^{dgnp} δόγμα^{ngnp} Καῖσαρ^{ngms} πράσσω^{vipa3p} βασιλεύς^{nams} λέγω^{vppanmp} ἕτερος^{aamsn} εἰμί^{vnpx} Ἰησοῦς^{nams}. **v.8** ταράσσω^{viaa3p} δέ^{c} ὁ^{dams} ὄχλος^{nams} καί^{c} ὁ^{damp} πολιτάρχης^{namp} ἀκούω^{vppaamp} οὗτος^{rdanp}. **v.9** καί^{c} λαμβάνω^{vpaanmp} ὁ^{dans} ἱκανός^{aansn} παρά^{p} ὁ^{dgms} Ἰάσων^{ngms} καί^{c} ὁ^{dgmp} λοιπός^{agmpn} ἀπολύω^{viaa3p} αὐτός^{rpamp}. **v.10** ὁ^{dnmp} δέ^{c} ἀδελφός^{nnmp} εὐθέως^{bo} διά^{p} ὁ^{dgfs} νύξ^{ngfs} ἐκπέμπω^{viaa3p} ὁ^{dams} τέ^{xo} Παῦλος^{nams} καί^{c} ὁ^{dams} Σιλᾶς^{nams} εἰς^{p} Βέροια^{nafs} ὅστις^{rrnmp} παραγίνομαι^{vpadnmp} εἰς^{p} ὁ^{dafs} συναγωγή^{nafs} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} ἄπειμι^{viix3p}. **v.11** οὗτος^{rdnmp} δέ^{c} εἰμί^{viix3p} εὐγενής^{anmpc} ὁ^{dgmp} ἐν^{p} Θεσσαλονίκη^{ndfs} ὅστις^{rrnmp} δέχομαι^{viad3p} ὁ^{dams} λόγος^{nams} μετά^{p} πᾶς^{agfsn} προθυμία^{ngfs} ὁ^{dans} κατά^{p} ἡμέρα^{nafs} ἀνακρίνω^{vppanmp} ὁ^{dafp} γραφή^{nafp} εἰ^{qo} ἔχω^{vopa3s} οὗτος^{rdnnp} οὕτω^{bo}. **v.12** πολύς^{annmpn} μέν^{xo} οὖν^{c} ἐκ^{p} αὐτός^{rpgmp} πιστεύω^{viaa3p} καί^{c} ὁ^{dgfp} Ἑλληνίς^{ngfp} γυνή^{ngfp} ὁ^{dgmp} εὐσχήμων^{agmpn} καί^{c} ἀνήρ^{ngmp} οὐ^{xo} ὀλίγος^{anmpn}. **v.13** ὡς^{bo} δέ^{c} γινώσκω^{viaa3p} ὁ^{dnmp} ἀπό^{p} ὁ^{dgfs} Θεσσαλονίκη^{ngfs} Ἰουδαῖος^{anmpn} ὅτι^{c} καί^{c} ἐν^{p} ὁ^{ddfs} Βέροια^{ndfs} καταγγέλλω^{viap3s} ὑπό^{p} ὁ^{dgms} Παῦλος^{ngms} ὁ^{dnms} λόγος^{nnms} ὁ^{dgms} θεός^{ngms} ἔρχομαι^{viaa3p} κἀκεῖ^{bo} σαλεύω^{vppanmp} ὁ^{damp} ὄχλος^{namp}. **v.14** εὐθέως^{bo} δέ^{c} τότε^{bo} ὁ^{dams} Παῦλος^{nams} ἐξαποστέλλω^{viaa3p} ὁ^{dnmp} ἀδελφός^{nnmp} πορεύομαι^{vnpn} ὡς^{bo} ἐπί^{p} ὁ^{dafs} θάλασσα^{nafs} ὑπομένω^{viia3p} δέ^{c} ὁ^{dnms} τέ^{xo} Σιλᾶς^{nnms} καί^{c} ὁ^{dnms} Τιμόθεος^{nnms} ἐκεῖ^{bo}.

βόντες ἐντολὴν πρὸς τὸν Σίλαν καὶ Τιμόθεον, ἵνα ὡς τάχιστα
16 ἔλθωσι πρὸς αὐτόν, ἐξῆεσαν. Ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομέ-
νου αὐτοὺς τοῦ Παύλου, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ,
17 θεωροῦντι κατείδωλον οὖσαν τὴν πόλιν. διελέγετο μὲν οὖν ἐν
τῇ συναγωγῇ τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις, καὶ ἐν τῇ ἀγο-
18 ρᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας. τινὲς δὲ
τῶν Ἐπικουρείων καὶ τῶν Στωϊκῶν φιλοσόφων συνέβαλλον αὐ-
τῷ. καί τινες ἔλεγον, Τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος λέγειν·
οἱ δέ, Ξένων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι, ὅτι τὸν Ἰησοῦν
19 καὶ τὴν ἀνάστασιν αὐτοῖς εὐηγγελίζετο. ἐπιλαβόμενοί τε αὐ-
τοῦ, ἐπὶ τὸν Ἄρειον πάγον ἤγαγον λέγοντες, Δυνάμεθα γνῶναι,
20 τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή· ξενίζοντα γάρ
τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν, βουλόμεθα οὖν γνῶναι, τί
21 ἂν θέλοι ταῦτα εἶναι. Ἀθηναῖοι δὲ πάντες καὶ οἱ ἐπιδημοῦν-
τες ξένοι εἰς οὐδὲν ἕτερον εὐκαίρουν, ἢ λέγειν τι καὶ ἀκούειν
22 καινότερον. Σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου πάγου,
ἔφη, Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑ-
23 μᾶς θεωρῶ. διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα
ὑμῶν, εὗρον καὶ βωμὸν ἐν ᾧ ἐπεγέγραπτο, Ἀγνώστῳ Θεῷ. ὃν
24 οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. ὁ Θε-

---

v.15 ὁ[dnmp] δέ[c] καθίστημι[vppanmp] ὁ[dams] Παῦλος[nams] ἄγω[viaa3p] αὐτός[rpams] ἕως[c] Ἀθῆναι[ngfp] καί[c] λαμβάνω[vpaanmp] ἐντολή[nafs] πρός[p] ὁ[dams] Σιλᾶς[nams] καί[c] Τιμόθεος[nams] ἵνα[c] ὡς[bo] ταχύς[bo] ἔρχομαι[vsaa3p] πρός[p] αὐτός[rpams] ἔξειμι[viix3p]. **v.16** ἐν[p] δέ[c] ὁ[ddfp] Ἀθῆναι[ndfp] ἐκδέχομαι[vppngms] αὐτός[rpamp] ὁ[dgms] Παῦλος[ngms] παροξύνω[viip3s] ὁ[dnns] πνεῦμα[nnns] αὐτός[rpgms] ἐν[p] αὐτός[rpdms] θεωρέω[vppadms] κατείδωλος[aafsn] εἰμί[vppxafs] ὁ[dafs] πόλις[nafs]. **v.17** διαλέγομαι[viin3s] μέν[xo] οὖν[c] ἐν[p] ὁ[ddfs] συναγωγή[ndfs] ὁ[ddmp] Ἰουδαῖος[admpn] καί[c] ὁ[ddmp] σέβω[vppndmp] καί[c] ἐν[p] ὁ[ddfs] ἀγορά[ndfs] κατά[p] πᾶς[aafsn] ἡμέρα[nafs] πρός[p] ὁ[damp] παρατυγχάνω[vppaamp]. **v.18** τι-σ-ρινμπ δέ[c] ὁ[dgmp] Ἐπικούρειος[ngmp] καί[c] ὁ[dgmp] Στοϊκός[agmpn] φιλόσοφος[ngmp] συμβάλλω[viia3p] αὐτός[rpdms] καί[c] τι-σρινμπ λέγω[viia3p] τίς[rqans] ἄν[xo] θέλω[vopa3s] ὁ[dnms] σπερμολόγος[anmsn] οὗτος[rdnms] λέγω[vnpa] ὁ[dnmp] δέ[c] ξένος[agnpn] δαιμόνιον[ngnp] δοκέω[vipa3s] καταγγελεύς[nnms] εἰμί[vnpx] ὅτι[c] ὁ[dams] Ἰησοῦς[nams] καί[c] ὁ[dafs] ἀνάστασις[nafs] αὐτός[rpdmp] εὐαγγελίζω[viim3s]. **v.19** ἐπιλαμβάνομαι[vpadnmp] τέ[xo] αὐτός[rpgms] ἐπί[p] ὁ[dams] Ἄρειος[nams] Πάγος[nams] ἄγω[viaa3p] λέγω[vppanmp] δύναμαι[vipn1p] γινώσκω[vnaa] τίς[rqnms] ὁ[dnfs] καινός[anfsn] οὗτος[rdnfs] ὁ[dnfs] ὑπό[p] σύ[rpg-s] λαλέω[vpppnfs] διδαχή[nnfs]. **v.20** ξενίζω[vppaanp] γάρ[c] τι-σριανπ εἰσφέρω[vipa2s] εἰς[p] ὁ[dafp] ἀκοή[nafp] ἐγώ[rpg-p] βούλομαι[vipn1p] οὖν[c] γινώσκω[vnaa] τίς[rqans] ἄν[xo] θέλω[vopa3s] οὗτος[rdnnp] εἰμί[vnpx]. **v.21** Ἀθηναῖος[anmpn] δέ[c] πᾶς[anmpn] καί[c] ὁ[dnmp] ἐπιδημέω[vppanmp] ξένος[anmpn] εἰς[p] οὐδείς[aansn] ἕτερος[aansn] εὐκαιρέω[viia3p] ἤ[xo] λέγω[vnpa] τι-σριανσ καί[c] ἀκούω[vnpa] καινός[aansn]. **v.22** ἵστημι[vpapnms] δέ[c] ὁ[dnms] Παῦλος[nnms] ἐν[p] μέσος[adnsn] ὁ[dgms] Ἄρειος[ngms] Πάγος[ngms] φημί[viix3s] ἀνήρ[nvmp] Ἀθηναῖος[avmpn] κατά[p] πᾶς[aanpn] ὡς[bo] δεισιδαίμων[aampc] σύ[rpa-p] θεωρέω[vipa1s]. **v.23** διέρχομαι[vppnnms] γάρ[c] καί[c] ἀναθεωρέω[vppanms] ὁ[danp] σέβασμα[nanp] σύ[rpg-p] εὑρίσκω[viaa1s] καί[c] βωμός[nams] ἐν[p] ὅς[rrdms] ἐπιγράφω[viyp3s] ἄγνωστος[admsn] θεός[ndms] ὅς[rrams] οὖν[c] ἀγνοέω[vppanmp] εὐσεβέω[vipa2p] οὗτος[rdams] ἐγώ[rpn-s] καταγγέλλω[vipa1s] σύ[rpd-p].

ὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος, οὐρανοῦ καὶ γῆς κύριος ὑπάρχων, οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται, προσδεόμενός τινος, 25
αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα, ἐποίησέ τε 26
ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων, κατοικεῖν ἐπὶ παν τὸ πρόσωπον τῆς γῆς, ὁρίσας προτεταγμένους καιροὺς καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν, ζητεῖν τὸν Κύριον, εἰ ἄρα γε 27
ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν, καίτοιγε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα. ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα 28
καὶ ἐσμεν, ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασι, Τοῦ γὰρ καὶ γένος ἐσμέν. γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ 29
ὀφείλομεν νομίζειν χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ θεῖον εἶναι ὅμοιον. τοὺς μὲν 30
οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεός, τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν, διότι ἔστησεν 31
ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. Ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν, οἱ μὲν ἐχλεύαζον, 32
οἱ δὲ εἶπον, Ἀκουσόμεθά σου πάλιν περὶ τούτου. καὶ οὕτως ὁ 33
Παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν. τινὲς δὲ ἄνδρες κολληθέντες 34
αὐτῷ, ἐπίστευσαν, ἐν οἷς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ

---

v.24 ὁ[dnms] θεός[nnms] ὁ[dnms] ποιέω[vpaanms] ὁ[dams] κόσμος[nams] καί[c] πᾶς[aanpn] ὁ[danp] ἐν[p] αὐτός[rpdms] οὗτος[rdnms] οὐρανός[ngms] καί[c] γῆ[ngfs] κύριος[nnms] ὑπάρχω[vppanms] οὐ[xo] ἐν[p] χειροποίητος[admpn] ναός[ndmp] κατοικέω[vipa3s]. **v.25** οὐδέ[bo] ὑπό[p] χείρ[ngfp] ἄνθρωπος[ngmp] θεραπεύω[vipp3s] προσδέομαι[vppnnms] τι-σριγνσ αὐτός[rpnms] δίδωμι[vppanms] πᾶς[adnpn] ζωή[nafs] καί[c] πνοή[nafs] καί[c] ὁ[danp] πᾶς[aanpn]. **v.26** ποιέω[viaa3s] τέ[xo] ἐκ[p] εἷς[ngns] αἷμα[ngns] πᾶς[aansn] ἔθνος[nans] ἄνθρωπος[ngmp] κατοικέω[vnpa] ἐπί[p] πᾶς[aansn] ὁ[dans] πρόσωπον[nans] ὁ[dgfs] γῆ[ngfs] ὁρίζω[vpaanms] προτάσσω[vpxpamp] καιρός[namp] καί[c] ὁ[dafp] ὁροθεσία[nafp] ὁ[dgfs] κατοικία[ngfs] αὐτός[rpgmp]. **v.27** ζητέω[vnpa] ὁ[dams] κύριος[nams] εἰ[qo] ἄρα[xo] γέ[xo] ψηλαφάω[voaa3p] αὐτός[rpams] καί[c] εὑρίσκω[voaa3p] καίτοιγε[c] οὐ[xo] μακράν[bo] ἀπό[p] εἷς[ngms] ἕκαστος[agmsn] ἐγώ[rpg-p] ὑπάρχω[vppaams]. **v.28** ἐν[p] αὐτός[rpdms] γάρ[c] ζάω[vipa1p] καί[c] κινέω[vipp1p] καί[c] εἰμί[vipx1p] ὡς[bo] καί[c] τι-σριγμπ ὁ[dgmp] κατά[p] σύ[rpa-p] ποιητής[ngmp] λέγω[vixa3p] ὁ[dgms] γάρ[c] καί[c] γένος[nnns] εἰμί[vipx1p]. **v.29** γένος[nnns] οὖν[c] ὑπάρχω[vppanmp] ὁ[dgms] θεός[ngms] οὐ[xo] ὀφείλω[vipa1p] νομίζω[vnpa] χρυσός[ndms] ἤ[xo] ἄργυρος[ndms] ἤ[xo] λίθος[ndms] χάραγμα[ndns] τέχνη[ngfs] καί[c] ἐνθύμησις[ngfs] ἄνθρωπος[ngms] ὁ[dans] θεῖος[aansn] εἰμί[vnpx] ὅμοιος[aamsn]. **v.30** ὁ[damp] μέν[xo] οὖν[c] χρόνος[namp] ὁ[dgfs] ἄγνοια[ngfs] ὑπεροράω[vpaanms] ὁ[dnms] θεός[nnms] ὁ[danp] νῦν[bo] παραγγέλλω[vipa3s] ὁ[ddmp] ἄνθρωπος[ndmp] πᾶς[admpn] πανταχοῦ[bo] μετανοέω[vnpa]. **v.31** διότι[c] ἵστημι[viaa3s] ἡμέρα[nafs] ἐν[p] ὅς[rrdfs] μέλλω[vipa3s] κρίνω[vnpa] ὁ[dafs] οἰκουμένη[nafs] ἐν[p] δικαιοσύνη[ndfs] ἐν[p] ἀνήρ[ndms] ὅς[rrdms] ὁρίζω[viaa3s] πίστις[nafs] παρέχω[vpaanms] πᾶς[admpn] ἀνίστημι[vpaanms] αὐτός[rpams] ἐκ[p] νεκρός[agmpn]. **v.32** ἀκούω[vpaanmp] δέ[c] ἀνάστασις[nafs] νεκρός[agmpn] ὁ[dnmp] μέν[xo] χλευάζω[viia3p] ὁ[dnmp] δέ[c] λέγω[viaa3p] ἀκούω[vifd1p] σύ[rpg-s] πάλιν[bo] περί[p] οὗτος[rdgns]. **v.33** καί[c] οὕτω[bo] ὁ[dnms] Παῦλος[nnms] ἐξέρχομαι[viaa3s] ἐκ[p] μέσος[agnsn] αὐτός[rpgmp].

γυνὴ ὀνόματι Δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς.

18 Μετὰ δὲ ταῦτα χωρισθεὶς ὁ Παῦλος ἐκ τῶν Ἀθηνῶν ἦλθεν εἰς
2 Κόρινθον. καὶ εὑρών τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν
τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, καὶ Πρίσκιλ-
λαν γυναῖκα αὐτοῦ, διὰ τὸ διατεταχέναι Κλαύδιον χωρίζεσθαι
3 πάντας τοὺς Ἰουδαίους ἐκ τῆς Ῥώμης, προσῆλθεν αὐτοῖς, καὶ
διὰ τὸ ὁμότεχνον εἶναι, ἔμενε παρ᾽ αὐτοῖς καὶ εἰργάζετο, ἦσαν
4 γὰρ σκηνοποιοὶ τὴν τέχνην. διελέγετο δὲ ἐν τῇ συναγωγῇ κα-
5 τὰ πᾶν σάββατον, ἔπειθέ τε Ἰουδαίους καὶ Ἕλληνας. Ὡς δὲ
κατῆλθον ἀπὸ τῆς Μακεδονίας ὅ τε Σίλας καὶ ὁ Τιμόθεος, συν-
είχετο τῷ πνεύματι ὁ Παῦλος, διαμαρτυρόμενος τοῖς Ἰουδαίοις
6 τὸν Χριστὸν, Ἰησοῦν. ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφη-
μούντων, ἐκτιναξάμενος τὰ ἱμάτια, εἶπε πρὸς αὐτούς, Τὸ αἷμα
ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν, καθαρὸς ἐγώ, ἀπὸ τοῦ νῦν εἰς τὰ
7 ἔθνη πορεύσομαι. καὶ μεταβὰς ἐκεῖθεν ἦλθεν εἰς οἰκίαν τινὸς
ὀνόματι Ἰούστου, σεβομένου τὸν Θεόν, οὗ ἡ οἰκία ἦν συνομο-
8 ροῦσα τῇ συναγωγῇ. Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος ἐπίστευσε
τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, καὶ πολλοὶ τῶν Κορινθίων
9 ἀκούοντες ἐπίστευον καὶ ἐβαπτίζοντο. εἶπε δὲ ὁ Κύριος δι᾽
ὁράματος ἐν νυκτὶ τῷ Παύλῳ, Μὴ φοβοῦ, ἀλλὰ λάλει καὶ μὴ

---

v.34 τι-σρινμπ δέ^{c} ἀνήρ^{nnmp} κολλάω^{vpapnmp} αὐτός^{rpdms} πιστεύω^{viaa3p} ἐν^{p} ὅς^{rrdmp} καί^{c} Διονύσιος^{nnms} ὁ^{dnms} Ἀρεοπαγίτης^{nnms} καί^{c} γυνή^{nnfs} ὄνομα^{ndns} Δάμαρις^{nnfs} καί^{c} ἕτερος^{anmpn} σύν^{p} αὐτός^{rpdmp}. **18. v.1** μετά^{p} δέ^{c} οὗτος^{rdanp} χωρίζω^{vpapnms} ὁ^{dnms} Παῦλος^{nnms} ἐκ^{p} ὁ^{dgnp} Ἀθῆναι^{ngfp} ἔρχομαι^{viaa3s} εἰς^{p} Κόρινθος^{nafs}. **v.2** καί^{c} εὑρίσκω^{vpaanms} τι-σ-ριαμσ Ἰουδαῖος^{aamsn} ὄνομα^{ndns} Ἀκύλας^{nams} Ποντικός^{aamsn} ὁ^{ddns} γένος^{ndns} προσφάτως^{bo} ἔρχομαι^{vpxaams} ἀπό^{p} ὁ^{dgfs} Ἰταλία^{ngfs} καί^{c} Πρίσκα^{nafs} γυνή^{nafs} αὐτός^{rpgms} διά^{p} ὁ^{dans} διατάσσω^{vnxa} Κλαύδιος^{nams} χωρίζω^{vnpp} πᾶς^{aampn} ὁ^{damp} Ἰουδαῖος^{aampn} ἐκ^{p} ὁ^{dgfs} Ῥώμη^{ngfs} προσέρχομαι^{viaa3s} αὐτός^{rpdmp}. **v.3** καί^{c} διά^{p} ὁ^{dans} ὁμότεχνος^{aamsn} εἰμί^{vnpx} μένω^{viia3s} παρά^{p} αὐτός^{rpdmp} καί^{c} ἐργάζομαι^{viin3s} εἰμί^{viix3p} γάρ^{c} σκηνοποιός^{nnmp} ὁ^{dafs} τέχνη^{nafs}. **v.4** διαλέγομαι^{viin3s} δέ^{c} ἐν^{p} ὁ^{ddfs} συναγωγή^{ndfs} κατά^{p} πᾶς^{aansn} σάββατον^{nans} πείθω^{viia3s} τέ^{xo} Ἰουδαῖος^{aampn} καί^{c} Ἕλλην^{namp}. **v.5** ὡς^{bo} δέ^{c} κατέρχομαι^{viaa3p} ἀπό^{p} ὁ^{dgfs} Μακεδονία^{ngfs} ὁ^{dnms} τέ^{xo} Σιλᾶς^{nnms} καί^{c} ὁ^{dnms} Τιμόθεος^{nnms} συνέχω^{viip3s} ὁ^{ddns} πνεῦμα^{ndns} ὁ^{dnms} Παῦλος^{nnms} διαμαρτύρομαι^{vppnnms} ὁ^{ddmp} Ἰουδαῖος^{admpn} ὁ^{dams} Χριστός^{nams} Ἰησοῦς^{nams}. **v.6** ἀντιτάσσω^{vppmgmp} δέ^{c} αὐτός^{rpgmp} καί^{c} βλασφημέω^{vppagmp} ἐκτινάσσω^{vpamnms} ὁ^{danp} ἱμάτιον^{nanp} λέγω^{viaa3s} πρός^{p} αὐτός^{rpamp} ὁ^{dnns} αἷμα^{nnns} σύ$^{rpg-p}$ ἐπί^{p} ὁ^{dafs} κεφαλή^{nafs} σύ$^{rpg-p}$ καθαρός^{anmsn} ἐγώ$^{rpn-s}$ ἀπό^{p} ὁ^{dgms} νῦν^{bo} εἰς^{p} ὁ^{danp} ἔθνος^{nanp} πορεύομαι^{vifd1s}. **v.7** καί^{c} μεταβαίνω^{vpaanms} ἐκεῖθεν^{bo} ἔρχομαι^{viaa3s} εἰς^{p} οἰκία^{nafs} τι-σριγμσ ὄνομα^{ndns} Ἰοῦστος^{ngms} σέβω^{vppngms} ὁ^{dams} θεός^{nams} ὅς^{rrgms} ὁ^{dnfs} οἰκία^{nnfs} εἰμί^{viix3s} συνομορέω^{vppanfs} ὁ^{ddfs} συναγωγή^{ndfs}. **v.8** Κρίσπος^{nnms} δέ^{c} ὁ^{dnms} ἀρχισυνάγωγος^{nnms} πιστεύω^{viaa3s} ὁ^{ddms} κύριος^{ndms} σύν^{p} ὅλος^{admsn} ὁ^{ddms} οἶκος^{ndms} αὐτός^{rpgms} καί^{c} πολύς^{anmpn} ὁ^{dgmp} Κορίνθιος^{agmpn} ἀκούω^{vppanmp} πιστεύω^{viia3p} καί^{c} βαπτίζω^{viip3p}.

σιωπήσῃς, διότι ἐγώ εἰμι μετὰ σοῦ, καὶ οὐδεὶς ἐπιθήσεταί σοι 10
τοῦ κακῶσαί σε, διότι λαός ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ.
ἐκάθισέ τε ἐνιαυτὸν καὶ μῆνας ἓξ, διδάσκων ἐν αὐτοῖς τὸν λόγον 11
τοῦ Θεοῦ. Γαλλίωνος δὲ ἀνθυπατεύοντος τῆς Ἀχαΐας, κατεπέ- 12
στησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι τῷ Παύλῳ, καὶ ἤγαγον αὐτὸν
ἐπὶ τὸ βῆμα, λέγοντες, ὅτι Παρὰ τὸν νόμον οὗτος ἀναπείθει 13
τοὺς ἀνθρώπους σέβεσθαι τὸν Θεόν. μέλλοντος δὲ τοῦ Παύ- 14
λου ἀνοίγειν τὸ στόμα, εἶπεν ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους,
Εἰ μὲν οὖν ἦν ἀδίκημά τι ἢ ῥᾳδιούργημα πονηρόν, ὦ Ἰουδαῖοι,
κατὰ λόγον ἂν ἠνεσχόμην ὑμῶν, εἰ δὲ ζήτημά ἐστι περὶ λόγου 15
καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ' ὑμᾶς, ὄψεσθε αὐτοί, κριτὴς
γὰρ ἐγὼ τούτων οὐ βούλομαι εἶναι. καὶ ἀπήλασεν αὐτοὺς ἀπὸ 16
τοῦ βήματος. ἐπιλαβόμενοι δὲ πάντες οἱ Ἕλληνες Σωσθένην 17
τὸν ἀρχισυνάγωγον ἔτυπτον ἔμπροσθεν τοῦ βήματος. καὶ οὐ-
δὲν τούτων τῷ Γαλλίωνι ἔμελεν. Ὁ δὲ Παῦλος ἔτι προσμείνας 18
ἡμέρας ἱκανάς, τοῖς ἀδελφοῖς ἀποταξάμενος, ἐξέπλει εἰς τὴν
Συρίαν, καὶ σὺν αὐτῷ Πρίσκιλλα καὶ Ἀκύλας, κειράμενος τὴν
κεφαλὴν ἐν Κεγχρεαῖς, εἶχε γὰρ εὐχήν. κατήντησε δὲ εἰς Ἔ- 19
φεσον, κἀκείνους κατέλιπεν αὐτοῦ, αὐτὸς δὲ εἰσελθὼν εἰς τὴν
συναγωγὴν διελέχθη τοῖς Ἰουδαίοις. ἐρωτώντων δὲ αὐτῶν ἐπὶ 20

---

v.9 λέγω^{viaa3s} δέ^{c} ὁ^{dnms} κύριος^{nnms} διά^{p} ὅραμα^{ngns} ἐν^{p} νύξ^{ndfs} ὁ^{ddms} Παῦλος^{ndms} μή^{xo} φοβέομαι^{vdpm2s} ἀλλά^{c} λαλέω^{vdpa2s} καί^{c} μή^{xo} σιωπάω^{vsaa2s}. **v.10** διότι^{c} ἐγώ$^{rpn-s}$ εἰμί^{vipx1s} μετά^{p} σύ$^{rpg-s}$ καί^{c} οὐδείς^{anfsn} ἐπιτίθημι^{vifm3s} σύ$^{rpd-s}$ ὁ^{dgms} κακόω^{vnaa} σύ$^{rpa-s}$ διότι^{c} λαός^{nnms} εἰμί^{vipx3s} ἐγώ$^{rpd-s}$ πολύς^{anmsn} ἐν^{p} ὁ^{ddfs} πόλις^{ndfs} οὗτος^{rddfs}. **v.11** καθίζω^{viaa3s} τε^{xo} ἐνιαυτός^{nams} καί^{c} μήν^{namp} ἕξ^{tn} διδάσκω^{vppanms} ἐν^{p} αὐτός^{rpdmp} ὁ^{dams} λόγος^{nams} ὁ^{dgms} θεός^{ngms}. **v.12** Γαλλίων^{ngms} δέ^{c} ἀνθυπατεύω^{vppagms} ὁ^{dgfs} Ἀχαΐα^{ngfs} κατεφίσταμαι^{viaa3p} ὁμοθυμαδόν^{bo} ὁ^{dnmp} Ἰουδαῖος^{anmpn} ὁ^{ddms} Παῦλος^{ndms} καί^{c} ἄγω^{viaa3p} αὐτός^{rpams} ἐπί^{p} ὁ^{dans} βῆμα^{nans}. **v.13** λέγω^{vppanmp} ὅτι^{c} παρά^{p} ὁ^{dams} νόμος^{nams} οὗτος^{rdnms} ἀναπείθω^{vipa3s} ὁ^{damp} ἄνθρωπος^{namp} σέβω^{vnpn} ὁ^{dams} θεός^{nams}. **v.14** μέλλω^{vppagms} δέ^{c} ὁ^{dgms} Παῦλος^{ngms} ἀνοίγω^{vnpa} ὁ^{dans} στόμα^{nans} λέγω^{viaa3s} ὁ^{dnms} Γαλλίων^{nnms} πρός^{p} ὁ^{damp} Ἰουδαῖος^{aampn} εἰ^{qo} μέν^{xo} οὖν^{c} εἰμί^{viix3s} ἀδίκημα^{nnns} τι-σριννσ ἤ^{xo} ῥᾳδιούργημα^{nnns} πονηρός^{annsn} ὦ^{i} Ἰουδαῖος^{avmpn} κατά^{p} λόγος^{nams} ἄν^{xo} ἀνέχω^{viad1s} σύ$^{rpg-p}$. **v.15** εἰ^{qo} δέ^{c} ζήτημα^{nnns} εἰμί^{vipx3s} περί^{p} λόγος^{ngms} καί^{c} ὄνομα^{ngnp} καί^{c} νόμος^{ngms} ὁ^{dgms} κατά^{p} σύ$^{rpa-p}$ ὁράω^{vifd2p} αὐτός^{rpnmp} κριτής^{nnms} γάρ^{c} ἐγώ$^{rpn-s}$ οὗτος^{rdgnp} οὐ^{xo} βούλομαι^{vipn1s} εἰμί^{vnpx}. **v.16** καί^{c} ἀπελαύνω^{viaa3s} αὐτός^{rpamp} ἀπό^{p} ὁ^{dgns} βῆμα^{ngns}. **v.17** ἐπιλαμβάνομαι^{vpadnmp} δέ^{c} πᾶς^{anmpn} ὁ^{dnmp} Ἕλλην^{nnmp} Σωσθένης^{nams} ὁ^{dams} ἀρχισυνάγωγος^{nams} τύπτω^{viia3p} ἔμπροσθεν^{p} ὁ^{dgns} βῆμα^{ngns} καί^{c} οὐδείς^{annsn} οὗτος^{rdgnp} ὁ^{ddms} Γαλλίων^{ndms} μέλει^{viia3s}. **v.18** ὁ^{dnms} δέ^{c} Παῦλος^{nnms} ἔτι^{bo} προσμένω^{vpaanms} ἡμέρα^{nafp} ἱκανός^{aafpn} ὁ^{ddmp} ἀδελφός^{ndmp} ἀποτάσσω^{vpamnms} ἐκπλέω^{viia3s} εἰς^{p} ὁ^{dafs} Συρία^{nafs} καί^{c} σύν^{p} αὐτός^{rpdms} Πρίσκα^{nnfs} καί^{c} Ἀκύλας^{nnms} κείρω^{vpamnms} ὁ^{dafs} κεφαλή^{nafs} ἐν^{p} Κεγχρεαί^{ndfp} ἔχω^{viia3s} γάρ^{c} εὐχή^{nafs}. **v.19** καταντάω^{viaa3s} δέ^{c} εἰς^{p} Ἔφεσος^{nafs} κἀκεῖνος^{rdamp} καταλείπω^{viaa3s} αὐτοῦ^{bo} αὐτός^{rpnms} δέ^{c} εἰσέρχομαι^{vpaanms} εἰς^{p} ὁ^{dafs} συναγωγή^{nafs} διαλέγομαι^{viao3s} ὁ^{ddmp} Ἰουδαῖος^{admpn}.

21 πλείονα χρόνον μεῖναι παρ᾽ αὐτοῖς, οὐκ ἐπένευσεν, ἀλλ᾽ ἀπε-
τάξατο αὐτοῖς εἰπών, Δεῖ με πάντως τὴν ἑορτὴν τὴν ἐρχομένην
ποιῆσαι εἰς Ἰεροσόλυμα, πάλιν δὲ ἀνακάμψω πρὸς ὑμᾶς, τοῦ
22 Θεοῦ θέλοντος. καὶ ἀνήχθη ἀπὸ τῆς Ἐφέσου. καὶ κατελθὼν
εἰς Καισάρειαν, ἀναβὰς καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν, κα-
23 τέβη εἰς Ἀντιόχειαν. καὶ ποιήσας χρόνον τινὰ, ἐξῆλθε, διερχό-
μενος καθεξῆς τὴν Γαλατικὴν χώραν καὶ Φρυγίαν, ἐπιστηρίζων
24 πάντας τοὺς μαθητάς. Ἰουδαῖος δέ τις Ἀπολλὼς ὀνόματι, Ἀλε-
ξανδρεὺς τῷ γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς Ἔφεσον, δυνα-
25 τὸς ὢν ἐν ταῖς γραφαῖς. οὗτος ἦν κατηχημένος τὴν ὁδὸν τοῦ
Κυρίου, καὶ ζέων τῷ πνεύματι ἐλάλει καὶ ἐδίδασκεν ἀκριβῶς
τὰ περὶ τοῦ Κυρίου, ἐπιστάμενος μόνον τὸ βάπτισμα Ἰωάννου,
26 οὗτός τε ἤρξατο παρρησιάζεσθαι ἐν τῇ συναγωγῇ. ἀκούσαντες
δὲ αὐτοῦ Ἀκύλας καὶ Πρίσκιλλα, προσελάβοντο αὐτόν, καὶ ἀ-
27 κριβέστερον αὐτῷ ἐξέθεντο τὴν τοῦ Θεοῦ ὁδόν. Βουλομένου
δὲ αὐτοῦ διελθεῖν εἰς τὴν Ἀχαΐαν, προτρεψάμενοι οἱ ἀδελφοὶ
ἔγραψαν τοῖς μαθηταῖς ἀποδέξασθαι αὐτόν, ὃς παραγενόμενος
28 συνεβάλετο πολὺ τοῖς πεπιστευκόσι διὰ τῆς χάριτος, εὐτόνως
γὰρ τοῖς Ἰουδαίοις διακατηλέγχετο δημοσίᾳ, ἐπιδεικνὺς διὰ
τῶν γραφῶν εἶναι τὸν Χριστὸν Ἰησοῦν.

19 Ἐγένετο δέ, ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ, Παῦλον

---

v.20 ἐρωτάω^{vppagmp} δέ^{c} αὐτός^{rpgmp} ἐπί^{p} πολύς^{aamsc} χρόνος^{nams} μένω^{vnaa} παρά^{p} αὐτός^{rpdmp} οὐ^{xo} ἐπινεύω^{viaa3s}. **v.21** ἀλλά^{c} ἀποτάσσω^{viad3s} αὐτός^{rpdmp} λέγω^{vpaanms} δεῖ^{vipq3s} ἐγώ$^{rpa-s}$ πάντως^{bo} ὁ^{dafs} ἑορτή^{nafs} ὁ^{dafs} ἔρχομαι^{vppnafs} ποιέω^{vnaa} εἰς^{p} Ἱεροσόλυμα^{nafs} πάλιν^{bo} δέ^{c} ἀνακάμπτω^{vifa1s} πρός^{p} σύ$^{rpa-p}$ ὁ^{dgms} θεός^{ngms} θέλω^{vppagms} καί^{c} ἀνάγω^{viap3s} ἀπό^{p} ὁ^{dgfs} Ἔφεσος^{ngfs}. **v.22** καί^{c} κατέρχομαι^{vpaanms} εἰς^{p} Καισάρεια^{nafs} ἀναβαίνω^{vpaanms} καί^{c} ἀσπάζομαι^{vpadnms} ὁ^{dafs} ἐκκλησία^{nafs} καταβαίνω^{viaa3s} εἰς^{p} Ἀντιόχεια^{nafs}. **v.23** καί^{c} ποιέω^{vpaanms} χρόνος^{nams} τι-σριαμσ ἐξέρχομαι^{viaa3s} διέρχομαι^{vppnnms} καθεξῆς^{bo} ὁ^{dafs} Γαλατικός^{aafsn} χώρα^{nafs} καί^{c} Φρυγία^{nafs} ἐπιστηρίζω^{vppanms} πᾶς^{aampn} ὁ^{damp} μαθητής^{namp}. **v.24** Ἰουδαῖος^{anmsn} δέ^{c} τι-σρινμσ Ἀπολλῶς^{nnms} ὄνομα^{ndns} Ἀλεξανδρεύς^{nnms} ὁ^{ddns} γένος^{ndns} ἀνήρ^{nnms} λόγιος^{anmsn} καταντάω^{viaa3s} εἰς^{p} Ἔφεσος^{nafs} δυνατός^{anmsn} εἰμί^{vppxnms} ἐν^{p} ὁ^{ddfp} γραφή^{ndfp}. **v.25** οὗτος^{rdnms} εἰμί^{viix3s} κατηχέω^{vpxpnms} ὁ^{dafs} ὁδός^{nafs} ὁ^{dgms} κύριος^{ngms} καί^{c} ζέω^{vppanms} ὁ^{ddns} πνεῦμα^{ndns} λαλέω^{viia3s} καί^{c} διδάσκω^{viia3s} ἀκριβῶς^{bo} ὁ^{danp} περί^{p} ὁ^{dgms} κύριος^{ngms} ἐπίσταμαι^{vppnnms} μόνος^{bo} ὁ^{dans} βάπτισμα^{nans} Ἰωάννης^{ngms}. **v.26** οὗτος^{rdnms} τέ^{xo} ἄρχω^{viad3s} παρρησιάζομαι^{vnpn} ἐν^{p} ὁ^{ddfs} συναγωγή^{ndfs} ἀκούω^{vpaanmp} δέ^{c} αὐτός^{rpgms} Ἀκύλας^{nnms} καί^{c} Πρίσκα^{nnfs} προσλαμβάνω^{viam3p} αὐτός^{rpams} καί^{c} ἀκριβής^{bo} αὐτός^{rpdms} ἐκτίθημι^{viam3p} ὁ^{dafs} ὁ^{dgms} θεός^{ngms} ὁδός^{nafs}. **v.27** βούλομαι^{vppngms} δέ^{c} αὐτός^{rpgms} διέρχομαι^{vnaa} εἰς^{p} ὁ^{dafs} Ἀχαΐα^{nafs} προτρέπω^{vpamnmp} ὁ^{dnmp} ἀδελφός^{nnmp} γράφω^{viaa3p} ὁ^{ddmp} μαθητής^{ndmp} ἀποδέχομαι^{vnad} αὐτός^{rpams} ὅς^{rrnms} παραγίνομαι^{vpadnms} συμβάλλω^{viam3s} πολύς^{aansn} ὁ^{ddmp} πιστεύω^{vpxadmp} διά^{p} ὁ^{dgfs} χάρις^{ngfs}. **v.28** εὐτόνως^{bo} γάρ^{c} ὁ^{ddmp} Ἰουδαῖος^{admpn} διακατελέγχομαι^{viin3s} δημόσιος^{adfsn} ἐπιδείκνυμι^{vppanms} διά^{p} ὁ^{dgfp} γραφή^{ngfp} εἰμί^{vnpx} ὁ^{dams} Χριστός^{nams} Ἰησοῦς^{nams}.

διελθόντα τὰ ἀνωτερικὰ μέρη ἐλθεῖν εἰς Ἔφεσον, καὶ εὑρών
τινας μαθητὰς. εἶπε πρὸς αὐτούς, Εἰ Πνεῦμα Ἅγιον ἐλάβετε 2
πιστεύσαντες· οἱ δὲ εἶπον πρὸς αὐτόν, Ἀλλ᾽ οὐδὲ εἰ Πνεῦμα
Ἅγιον ἐστιν, ἠκούσαμεν. εἶπέ τε πρὸς αὐτούς, Εἰς τί οὖν ἐ- 3
βαπτίσθητε· οἱ δὲ εἶπον, Εἰς τὸ Ἰωάννου βάπτισμα. εἶπε δὲ 4
Παῦλος, Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας, τῷ λαῷ
λέγων εἰς τὸν ἐρχόμενον μετ᾽ αὐτὸν ἵνα πιστεύσωσι, τοῦτ᾽ ἔστιν,
εἰς τὸν Χριστὸν Ἰησοῦν. ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ 5
ὄνομα τοῦ Κυρίου Ἰησοῦ. καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου 6
τὰς χεῖρας, ἦλθε τὸ Πνεῦμα τὸ Ἅγιον ἐπ᾽ αὐτούς, ἐλάλουν τε
γλώσσαις καὶ προεφήτευον. ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ 7
δεκαδύο. Εἰσελθὼν δὲ εἰς τὴν συναγωγὴν ἐπαρρησιάζετο, ἐ- 8
πὶ μῆνας τρεῖς διαλεγόμενος καὶ πείθων τὰ περὶ τῆς βασιλείας
τοῦ Θεοῦ. ὡς δέ τινες ἐσκληρύνοντο καὶ ἠπείθουν, κακο- 9
λογοῦντες τὴν ὁδὸν ἐνώπιον τοῦ πλήθους, ἀποστὰς ἀπ᾽ αὐτῶν
ἀφώρισε τοὺς μαθητάς, καθ᾽ ἡμέραν διαλεγόμενος ἐν τῇ σχολῇ
Τυράννου τινός. τοῦτο δὲ ἐγένετο ἐπὶ ἔτη δύο, ὥστε πάντας 10
τοὺς κατοικοῦντας τὴν Ἀσίαν ἀκοῦσαι τὸν λόγον τοῦ Κυρίου
Ἰησοῦ, Ἰουδαίους τε καὶ Ἕλληνας. δυνάμεις τε οὐ τὰς τυ- 11
χούσας ἐποίει ὁ Θεὸς διὰ τῶν χειρῶν Παύλου, ὥστε καὶ ἐπὶ 12
τοὺς ἀσθενοῦντας ἐπιφέρεσθαι ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδά-

---

19. v.1 γίνομαι^{viad3s} δέ^{c} ἐν^{p} ὁ^{ddms} ὁ^{dams} Ἀπολλῶς^{nams} εἰμί^{vnpx} ἐν^{p} Κόρινθος^{ndfs} Παῦλος^{nams} διέρχομαι^{vpaaams} ὁ^{danp} ἀνωτερικός^{aanpn} μέρος^{nanp} ἔρχομαι^{vnaa} εἰς^{p} Ἔφεσος^{nafs} καί^{c} εὑρίσκω^{vpaanms} τι-σριαμπ μαθητής^{namp}. **v.2** λέγω^{viaa3s} πρός^{p} αὐτός^{rpamp} εἰ^{qo} πνεῦμα^{nans} ἅγιος^{aansn} λαμβάνω^{viaa2p} πιστεύω^{vpaanmp} ὁ^{dnmp} δέ^{c} λέγω^{viaa3p} πρός^{p} αὐτός^{rpams} ἀλλά^{c} οὐδέ^{bo} εἰ^{qo} πνεῦμα^{nnns} ἅγιος^{annsn} εἰμί^{vipx3s} ἀκούω^{viaa1p}. **v.3** λέγω^{viaa3s} τέ^{xo} πρός^{p} αὐτός^{rpamp} εἰς^{p} τίς^{rqans} οὖν^{c} βαπτίζω^{viap2p} ὁ^{dnmp} δέ^{c} λέγω^{viaa3p} εἰς^{p} ὁ^{dans} Ἰωάννης^{ngms} βάπτισμα^{nans}. **v.4** λέγω^{viaa3s} δέ^{c} Παῦλος^{nnms} Ἰωάννης^{nnms} μέν^{xo} βαπτίζω^{viaa3s} βάπτισμα^{nans} μετάνοια^{ngfs} ὁ^{ddms} λαός^{ndms} λέγω^{vppanms} εἰς^{p} ὁ^{dams} ἔρχομαι^{vppnams} μετά^{p} αὐτός^{rpams} ἵνα^{c} πιστεύω^{vsaa3p} οὗτος^{rdnns} εἰμί^{vipx3s} εἰς^{p} ὁ^{dams} Χριστός^{nams} Ἰησοῦς^{nams}. **v.5** ἀκούω^{vpaanmp} δέ^{c} βαπτίζω^{viap3p} εἰς^{p} ὁ^{dans} ὄνομα^{nans} ὁ^{dgms} κύριος^{ngms} Ἰησοῦς^{ngms}. **v.6** καί^{c} ἐπιτίθημι^{vpaagms} αὐτός^{rpdmp} ὁ^{dgms} Παῦλος^{ngms} ὁ^{dafp} χείρ^{nafp} ἔρχομαι^{viaa3s} ὁ^{dnns} πνεῦμα^{nnns} ὁ^{dnns} ἅγιος^{annsn} ἐπί^{p} αὐτός^{rpamp} λαλέω^{viia3p} τέ^{xo} γλῶσσα^{ndfp} καί^{c} προφητεύω^{viia3p}. **v.7** εἰμί^{viix3p} δέ^{c} ὁ^{dnmp} πᾶς^{annpn} ἀνήρ^{nnmp} ὡσεί^{bo} δεκαδύο^{tn}. **v.8** εἰσέρχομαι^{vpaanms} δέ^{c} εἰς^{p} ὁ^{dafs} συναγωγή^{nafs} παρρησιάζομαι^{viin3s} ἐπί^{p} μήν^{namp} τρεῖς^{namp} διαλέγομαι^{vppnnms} καί^{c} πείθω^{vppanms} ὁ^{danp} περί^{p} ὁ^{dgfs} βασιλεία^{ngfs} ὁ^{dgms} θεός^{ngms}. **v.9** ὡς^{bo} δέ^{c} τι-σριμπ σκληρύνω^{viip3p} καί^{c} ἀπειθέω^{viia3p} κακολογέω^{vppanmp} ὁ^{dafs} ὁδός^{nafs} ἐνώπιον^{bo} ὁ^{dgns} πλῆθος^{ngns} ἀφίστημι^{vpaanms} ἀπό^{p} αὐτός^{rpgmp} ἀφορίζω^{viaa3s} ὁ^{damp} μαθητής^{namp} κατά^{p} ἡμέρα^{nafs} διαλέγομαι^{vppnnms} ἐν^{p} ὁ^{ddfs} σχολή^{ndfs} Τύραννος^{ngms} τίς^{rigms}. **v.10** οὗτος^{rdnns} δέ^{c} γίνομαι^{viad3s} ἐπί^{p} ἔτος^{nanp} δύο^{tn} ὥστε^{c} πᾶς^{aampn} ὁ^{damp} κατοικέω^{vppaamp} ὁ^{dafs} Ἀσία^{nafs} ἀκούω^{vnaa} ὁ^{dams} λόγος^{nams} ὁ^{dgms} κύριος^{ngms} Ἰησοῦς^{ngms} Ἰουδαῖος^{aampn} τέ^{xo} καί^{c} Ἕλλην^{namp}. **v.11** δύναμις^{nafp} τέ^{xo} οὐ^{xo} ὁ^{dafp} τυγχάνω^{vpaaafp} ποιέω^{viia3s} ὁ^{dnms} θεός^{nnms} διά^{p} ὁ^{dgfp} χείρ^{ngfp} Παῦλος^{ngms}.

ρια ἢ σιμικίνθια, καὶ ἀπαλλάσσεσθαι ἀπ᾽ αὐτῶν τὰς νόσους, τά
13 τε πνεύματα τὰ πονηρὰ ἐξέρχεσθαι ἀπ᾽ αὐτῶν. ἐπεχείρησαν δέ
τινες ἀπὸ τῶν περιερχομένων Ἰουδαίων ἐξορκιστῶν ὀνομάζειν
ἐπὶ τοὺς ἔχοντας τὰ πνεύματα τὰ πονηρὰ τὸ ὄνομα τοῦ Κυρίου
Ἰησοῦ, λέγοντες, Ὁρκίζομεν ὑμᾶς τὸν Ἰησοῦν ὃν ὁ Παῦλος κη-
14 ρύσσει. ἦσαν δέ τινες υἱοὶ Σκευᾶ Ἰουδαίου ἀρχιερέως ἑπτὰ οἱ
15 τοῦτο ποιοῦντες. ἀποκριθὲν δὲ τὸ πνεῦμα τὸ πονηρὸν εἶπε,
Τὸν Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπίσταμαι, ὑμεῖς δὲ τί-
16 νες ἐστέ· καὶ ἐφαλλόμενος ἐπ᾽ αὐτοὺς ὁ ἄνθρωπος ἐν ᾧ ἦν
τὸ πνεῦμα τὸ πονηρόν, καὶ κατακυριεύσας αὐτῶν, ἴσχυσε κατ᾽
αὐτῶν, ὥστε γυμνοὺς καὶ τετραυματισμένους ἐκφυγεῖν ἐκ τοῦ
17 οἴκου ἐκείνου. τοῦτο δὲ ἐγένετο γνωστὸν πᾶσιν Ἰουδαίοις τε
καὶ Ἕλλησι τοῖς κατοικοῦσι τὴν Ἔφεσον, καὶ ἐπέπεσε φόβος
ἐπὶ πάντας αὐτούς, καὶ ἐμεγαλύνετο τὸ ὄνομα τοῦ Κυρίου Ἰη-
18 σοῦ. πολλοί τε τῶν πεπιστευκότων ἤρχοντο, ἐξομολογούμενοι,
19 καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν. ἱκανοὶ δὲ τῶν τὰ περί-
εργα πραξάντων συνενέγκαντες τὰς βίβλους κατέκαιον ἐνώπιον
πάντων, καὶ συνεψήφισαν τὰς τιμὰς αὐτῶν, καὶ εὗρον ἀργυ-
20 ρίου μυριάδας πέντε. οὕτω κατὰ κράτος ὁ λόγος τοῦ Κυρίου
21 ηὔξανε καὶ ἴσχυεν. Ὡς δὲ ἐπληρώθη ταῦτα, ἔθετο ὁ Παῦλος ἐν
τῷ πνεύματι, διελθὼν τὴν Μακεδονίαν καὶ Ἀχαΐαν, πορεύεσθαι

---

v.12 ὥστε[c] καί[c] ἐπί[p] ὁ[damp] ἀσθενέω[vppaamp] ἐπιφέρω[vnpp] ἀπό[p] ὁ[dgms] χρώς[ngms] αὐτός[rpgms] σουδάριον[nanp] ἤ[xo] σιμικίνθιον[nanp] καί[c] ἀπαλλάσσω[vnpp] ἀπό[p] αὐτός[rpgmp] ὁ[dafp] νόσος[nafp] ὁ[danp] τέ[xo] πνεῦμα[nanp] ὁ[danp] πονηρός[aanpn] ἐξέρχομαι[vnpn] ἀπό[p] αὐτός[rpgmp]. **v.13** ἐπιχειρέω[viaa3p] δέ[c] τι-σριγμπ ἀπό[p] ὁ[dgmp] περιέρχομαι[vppngmp] Ἰουδαῖος[agmpn] ἐξορκιστής[ngmp] ὀνομάζω[vnpa] ἐπί[p] ὁ[damp] ἔχω[vppaamp] ὁ[danp] πνεῦμα[nanp] ὁ[danp] πονηρός[aanpn] ὁ[dans] ὄνομα[nans] ὁ[dgms] κύριος[ngms] Ἰησοῦς[ngms] λέγω[vppanmp] ὁρκίζω[vipa1p] σύ[rpa-p] ὁ[dams] Ἰησοῦς[nams] ὅς[rrams] ὁ[dnms] Παῦλος[nnms] κηρύσσω[vipa3s]. **v.14** εἰμί[viix3p] δέ[c] τίς[rinmp] υἱός[nnmp] Σκευᾶς[ngms] Ἰουδαῖος[agmsn] ἀρχιερεύς[ngms] ἑπτά[tn] ὁ[dnmp] οὗτος[rdans] ποιέω[vppanmp]. **v.15** ἀποκρίνομαι[vpaonns] δέ[c] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dnns] πονηρός[annsn] λέγω[viaa3s] ὁ[dams] Ἰησοῦς[nams] γινώσκω[vipa1s] καί[c] ὁ[dams] Παῦλος[nams] ἐπίσταμαι[vipn1s] σύ[rpn-p] δέ[c] τίς[rqnmp] εἰμί[vipx2p]. **v.16** καί[c] ἐφάλλομαι[vppnnms] ἐπί[p] αὐτός[rpamp] ὁ[dnms] ἄνθρωπος[nnms] ἐν[p] ὅς[rrdms] εἰμί[viix3s] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dnns] πονηρός[annsn] καί[c] κατακυριεύω[vpaanms] αὐτός[rpgmp] ἰσχύω[viaa3s] κατά[p] αὐτός[rpgmp] ὥστε[c] γυμνός[aampn] καί[c] τραυματίζω[vpxpamp] ἐκφεύγω[vnaa] ἐκ[p] ὁ[dgms] οἶκος[ngms] ἐκεῖνος[rdgms]. **v.17** οὗτος[rdnns] δέ[c] γίνομαι[viad3s] γνωστός[annsn] πᾶς[admpn] Ἰουδαῖος[admpn] τέ[xo] καί[c] Ἕλλην[ndmp] ὁ[ddmp] κατοικέω[vppadmp] ὁ[dafs] Ἔφεσος[nafs] καί[c] ἐπιπίπτω[viaa3s] φόβος[nnms] ἐπί[p] πᾶς[aampn] αὐτός[rpamp] καί[c] μεγαλύνω[viip3s] ὁ[dans] ὄνομα[nans] ὁ[dgms] κύριος[ngms] Ἰησοῦς[ngms]. **v.18** πολύς[anmpn] τέ[xo] ὁ[dgmp] πιστεύω[vpxagmp] ἔρχομαι[viin3p] ἐξομολογέω[vppmnmp] καί[c] ἀναγγέλλω[vppanmp] ὁ[dafp] πρᾶξις[nafp] αὐτός[rpgmp]. **v.19** ἱκανός[anmpn] δέ[c] ὁ[dgmp] ὁ[danp] περίεργος[aanpn] πράσσω[vpaagmp] συμφέρω[vpaanmp] ὁ[dafp] βίβλος[nafp] κατακαίω[viia3p] ἐνώπιον[bo] πᾶς[agmpn] καί[c] συμψηφίζω[viaa3p] ὁ[dafp] τιμή[nafp] αὐτός[rpgfp] καί[c] εὑρίσκω[viaa3p] ἀργύριον[ngns] μυριάς[namp] πέντε[tn]. **v.20** οὕτω[bo] κατά[p] κράτος[nans] ὁ[dnms] λόγος[nnms] ὁ[dgms] κύριος[ngms] αὐξάνω[viia3s] καί[c] ἰσχύω[viia3s].

εἰς Ἰερουσαλήμ, εἰπὼν ὅτι Μετὰ τὸ γενέσθαι με ἐκεῖ, δεῖ με καὶ
Ῥώμην ἰδεῖν. ἀποστείλας δὲ εἰς τὴν Μακεδονίαν δύο τῶν δια- 22
κονούντων αὐτῷ, Τιμόθεον καὶ Ἔραστον, αὐτὸς ἐπέσχε χρόνον
εἰς τὴν Ἀσίαν. Ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος 23
οὐκ ὀλίγος περὶ τῆς ὁδοῦ. Δημήτριος γάρ τις ὀνόματι, ἀρ- 24
γυροκόπος, ποιῶν ναοὺς ἀργυροῦς Ἀρτέμιδος, παρείχετο τοῖς
τεχνίταις ἐργασίαν οὐκ ὀλίγην, οὓς συναθροίσας, καὶ τοὺς πε- 25
ρὶ τὰ τοιαῦτα ἐργάτας, εἶπεν, Ἄνδρες, ἐπίστασθε ὅτι ἐκ ταύτης
τῆς ἐργασίας ἡ εὐπορία ἡμῶν ἐστι. καὶ θεωρεῖτε καὶ ἀκούετε 26
ὅτι οὐ μόνον Ἐφέσου, ἀλλὰ σχεδὸν πάσης τῆς Ἀσίας, ὁ Παῦλος
οὗτος πείσας μετέστησεν ἱκανὸν ὄχλον, λέγων ὅτι οὐκ εἰσὶ θεοὶ
οἱ διὰ χειρῶν γινόμενοι. οὐ μόνον δὲ τοῦτο κινδυνεύει ἡμῖν 27
τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ καὶ τὸ τῆς μεγάλης θεᾶς
Ἀρτέμιδος ἱερὸν εἰς οὐδὲν λογισθῆναι, μέλλειν τε καὶ καθαιρεῖ-
σθαι τὴν μεγαλειότητα αὐτῆς, ἣν ὅλη ἡ Ἀσία καὶ ἡ οἰκουμένη
σέβεται. ἀκούσαντες δὲ καὶ γενόμενοι πλήρεις θυμοῦ, ἔκρα- 28
ζον λέγοντες, Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων. καὶ ἐπλήσθη ἡ 29
πόλις ὅλη συγχύσεως, ὥρμησάν τε ὁμοθυμαδὸν εἰς τὸ θέατρον,
συναρπάσαντες Γάϊον καὶ Ἀρίσταρχον Μακεδόνας, συνεκδή-
μους τοῦ Παύλου. τοῦ δὲ Παύλου βουλομένου εἰσελθεῖν εἰς 30

---

19 ὑμῶν μᾶλλον γλώσσαις λαλῶν, ἀλ᾽λ ἐν ἐκκλησίᾳ θέλω πέντε
λόγους διὰ τοῦ νοός μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω, ἢ
20 μυρίους λόγους ἐν γλώσσῃ. Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς
φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε.
21 ἐν τῷ νόμῳ γέγραπται ὅτι Ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν
ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ᾽ οὕτως εἰσακούσονταί

---

v.8 καί^{c} γάρ^{c} ἐάν^{qo} ἄδηλος^{aafsn} φωνή^{nafs} σάλπιγξ^{nnfs} δίδωμι^{vsaa3s} τίς^{rqnms} παρασκευάζω^{vifd3s} εἰς^{p} πόλεμος^{nams}. **v.9** οὕτω^{bo} καί^{c} σύ$^{rpn-p}$ διά^{p} ὁ^{dgfs} γλῶσσα^{ngfs} ἐάν^{qo} μή^{xo} εὔσημος^{aamsn} λόγος^{nams} δίδωμι^{vsaa2p} πῶς^{bo} γινώσκω^{vifp3s} ὁ^{dnns} λαλέω^{vpppnns} εἰμί^{vifx2p} γάρ^{c} εἰς^{p} ἀήρ^{nams} λαλέω^{vppanmp}. **v.10** τοσοῦτος^{rdnnp} εἰ^{qo} τυγχάνω^{voaa3s} γένος^{nnnp} φωνή^{ngmp} εἰμί^{vipx3s} ἐν^{p} κόσμος^{ndms} καί^{c} οὐδείς^{annsn} ἄφωνος^{annsn}. **v.11** ἐάν^{qo} οὖν^{c} μή^{xo} οἶδα^{vsxa1s} ὁ^{dafs} δύναμις^{nafs} ὁ^{dgfs} φωνή^{ngfs} εἰμί^{vifx1s} ὁ^{ddms} λαλέω^{vppadms} βάρβαρος^{anmsn} καί^{c} ὁ^{dnms} λαλέω^{vppanms} ἐν^{p} ἐγώ$^{rpd-s}$ βάρβαρος^{anmsn}. **v.12** οὕτω^{bo} καί^{c} σύ$^{rpn-p}$ ἐπεί^{c} ζηλωτής^{nnmp} εἰμί^{vipx2p} πνεῦμα^{ngnp} πρός^{p} ὁ^{dafs} οἰκοδομή^{nafs} ὁ^{dgfs} ἐκκλησία^{ngfs} ζητέω^{vdpa2p} ἵνα^{c} περισσεύω^{vspa2p}. **v.13** διόπερ^{c} ὁ^{dnms} λαλέω^{vppanms} γλῶσσα^{ndfs} προσεύχομαι^{vdpn3s} ἵνα^{c} διερμηνεύω^{vspa3s}. **v.14** ἐάν^{qo} γάρ^{c} προσεύχομαι^{vspn1s} γλῶσσα^{ndfs} ὁ^{dnns} πνεῦμα^{nnns} ἐγώ$^{rpg-s}$ προσεύχομαι^{vipn3s} ὁ^{dnms} δέ^{c} νοῦς^{nnms} ἐγώ$^{rpg-s}$ ἄκαρπος^{anmsn} εἰμί^{vipx3s}. **v.15** τίς^{rqnns} οὖν^{c} εἰμί^{vipx3s} προσεύχομαι^{vifd1s} ὁ^{ddns} πνεῦμα^{ndns} προσεύχομαι^{vifd1s} δέ^{c} καί^{c} ὁ^{ddms} νοῦς^{ndms} ψάλλω^{vifa1s} ὁ^{ddns} πνεῦμα^{ndns} ψάλλω^{vifa1s} δέ^{c} καί^{c} ὁ^{ddms} νοῦς^{ndms}. **v.16** ἐπεί^{c} ἐάν^{qo} εὐλογέω^{vsaa2s} ὁ^{ddns} πνεῦμα^{ndns} ὁ^{dnms} ἀναπληρόω^{vppanms} ὁ^{dams} τόπος^{nams} ὁ^{dgms} ἰδιώτης^{ngms} πῶς^{bo} λέγω^{vifa3s} ὁ^{dans} ἀμήνth ἐπί^{p} ὁ^{ddfs} σός^{rsdfs} εὐχαριστία^{ndfs} ἐπειδή^{c} τίς^{rqans} λέγω^{vipa2s} οὐ^{xo} οἶδα^{vixa3s}. **v.17** σύ$^{rpn-s}$ μέν^{xo} γάρ^{c} καλῶς^{bo} εὐχαριστέω^{vipa2s} ἀλλά^{c} ὁ^{dnms} ἕτερος^{anmsn} οὐ^{xo} οἰκοδομέω^{vipp3s}. **v.18** εὐχαριστέω^{vipa1s} ὁ^{ddms} θεός^{ndms} ἐγώ$^{rpg-s}$ πᾶς^{agmpn} σύ$^{rpg-p}$ μᾶλλον^{bo} γλῶσσα^{ndfp} λαλέω^{vppanms}. **v.19** ἀλλά^{c} ἐν^{p} ἐκκλησία^{ndfs} θέλω^{vipa1s} πέντε^{tn} λόγος^{namp} διά^{p} ὁ^{dgms} νοῦς^{ngms} ἐγώ$^{rpg-s}$ λαλέω^{vnaa} ἵνα^{c} καί^{c} ἄλλος^{aampn} κατηχέω^{vsaa1s} ἤ^{xo} μυρίος^{aampn} λόγος^{namp} ἐν^{p} γλῶσσα^{ndfs}. **v.20** ἀδελφός^{nvmp} μή^{xo} παιδίον^{nnnp} γίνομαι^{vdpn2p} ὁ^{ddfp} φρήν^{ndfp} ἀλλά^{c} ὁ^{ddfs} κακία^{ndfs} νηπιάζω^{vdpa2p} ὁ^{ddfp} δέ^{c} φρήν^{ndfp} τέλειος^{anmpn} γίνομαι^{vdpn2p}.

μου, λέγει Κύριος. ὥστε αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν, οὐ τοῖς 22
πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις, ἡ δὲ προφητεία, οὐ τοῖς ἀπί-
στοις, ἀλλὰ τοῖς πιστεύουσιν. ἐὰν οὖν συνέλθῃ ἡ ἐκκλησία 23
ὅλη ἐπὶ τὸ αὐτό, καὶ πάντες γλώσσαις λαλῶσιν, εἰσέλθωσι δὲ
ἰδιῶται ἢ ἄπιστοι. οὐκ ἐροῦσιν ὅτι μαίνεσθε· ἐὰν δὲ πάντες 24
προφητεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑ-
πὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων, καὶ οὕτω τὰ κρυπτὰ τῆς 25
καρδίας αὐτοῦ φανερὰ γίνεται, καὶ οὕτω πεσὼν ἐπὶ πρόσωπον
προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλλων ὅτι ὁ Θεὸς ὄντως ἐν ὑμῖν
ἐστι. Τί οὖν ἐστιν, ἀδελφοί· ὅταν συνέρχησθε, ἕκαστος ὑμῶν 26
ψαλμὸν ἔχει, διδαχὴν ἔχει, γλῶσσαν ἔχει, ἀποκάλυψιν ἔχει,
ἑρμηνείαν ἔχει. πάντα πρὸς οἰκοδομὴν γενέσθω. εἴτε γλώσσῃ 27
τις λαλεῖ, κατὰ δύο ἢ τὸ πλεῖστον τρεῖς, καὶ ἀνὰ μέρος, καὶ εἷς
διερμηνευέτω, ἐὰν δὲ μὴ ᾖ διερμηνευτής, σιγάτω ἐν ἐκκλη- 28
σίᾳ, ἑαυτῷ δὲ λαλείτω καὶ τῷ Θεῷ. προφῆται δὲ δύο ἢ τρεῖς 29
λαλείτωσαν, καὶ οἱ ἄλλοι διακρινέτωσαν. ἐὰν δὲ ἄλλῳ ἀπο- 30
καλυφθῇ καθημένῳ, ὁ πρῶτος σιγάτω. δύνασθε γὰρ καθ' ἕνα 31
πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσι, καὶ πάντες παρα-
καλῶνται, καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται. 32
οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ Θεὸς, ἀλ'λ εἰρήνης, ὡς ἐν πάσαις 33

---

v.21 ἐν^{p} ὁ^{ddms} νόμος^{ndms} γράφω^{vixp3s} ὅτι^{c} ἐν^{p} ἑτερόγλωσσος^{admpn} καί^{c} ἐν^{p} χεῖλος^{ndnp} ἕτερος^{adnpn} λαλέω^{vifa1s} ὁ^{ddms} λαός^{ndms} οὗτος^{rddms} καί^{c} οὐδέ^{bo} οὕτω^{bo} εἰσακούω^{vifd3p} ἐγώ$^{rpg-s}$ λέγω^{vipa3s} κύριος^{nnms}. **v.22** ὥστε^{c} ὁ^{dnfp} γλῶσσα^{nnfp} εἰς^{p} σημεῖον^{nans} εἰμί^{vipx3p} οὐ^{xo} ὁ^{ddmp} πιστεύω^{vppadmp} ἀλλά^{c} ὁ^{ddmp} ἄπιστος^{admpn} ὁ^{dnfs} δέ^{c} προφητεία^{nnfs} οὐ^{xo} ὁ^{ddmp} ἄπιστος^{admpn} ἀλλά^{c} ὁ^{ddmp} πιστεύω^{vppadmp}. **v.23** ἐάν^{qo} οὖν^{c} συνέρχομαι^{vsaa3s} ὁ^{dnfs} ἐκκλησία^{nnfs} ὅλος^{anfsn} ἐπί^{p} ὁ^{dans} αὐτός^{rpans} καί^{c} πᾶς^{anmpn} γλῶσσα^{ndfp} λαλέω^{vspa3p} εἰσέρχομαι^{vsaa3p} δέ^{c} ἰδιώτης^{nnmp} ἤ^{xo} ἄπιστος^{anmpn} οὐ^{xo} λέγω^{vifa3p} ὅτι^{c} μαίνομαι^{vipn2p}. **v.24** ἐάν^{qo} δέ^{c} πᾶς^{anmpn} προφητεύω^{vspa3p} εἰσέρχομαι^{vsaa3s} δέ^{c} τι-σρινμσ ἄπιστος^{anmsn} ἤ^{xo} ἰδιώτης^{nnma} ἐλέγχω^{vipp3s} ὑπό^{p} πᾶς^{agmpn} ἀνακρίνω^{vipp3s} ὑπό^{p} πᾶς^{agmpn}. **v.25** καί^{c} οὕτω^{bo} ὁ^{dnnp} κρυπτός^{annpn} ὁ^{dgfs} καρδία^{ngfs} αὐτός^{rpgms} φανερός^{annpn} γίνομαι^{vipn3s} καί^{c} οὕτω^{bo} πίπτω^{vpaanms} ἐπί^{p} πρόσωπον^{nans} προσκυνέω^{vifa3s} ὁ^{ddms} θεός^{ndms} ἀπαγγέλλω^{vppanms} ὅτι^{c} ὁ^{dnms} θεός^{nnms} ὄντως^{bo} ἐν^{p} σύ$^{rpd-p}$ εἰμί^{vipx3s}. **v.26** τίς^{rqnns} οὖν^{c} εἰμί^{vipx3s} ἀδελφός^{nvmp} ὅταν^{c} συνέρχομαι^{vspn2p} ἕκαστος^{anmsn} σύ$^{rpg-p}$ ψαλμός^{nams} ἔχω^{vipa3s} διδαχή^{nafs} ἔχω^{vipa3s} γλῶσσα^{nafs} ἔχω^{vipa3s} ἀποκάλυψις^{nafs} ἔχω^{vipa3s} ἑρμηνεία^{nafs} ἔχω^{vipa3s} πᾶς^{annpn} πρός^{p} οἰκοδομή^{nafs} γίνομαι^{vdad3s}. **v.27** εἴτε^{c} γλῶσσα^{ndfs} τι-σρινμσ λαλέω^{vipa3s} κατά^{p} δύο^{tn} ἤ^{xo} ὁ^{dans} πολύς^{aansn} τρεῖς^{nnmp} καί^{c} ἀνά^{p} μέρος^{nans} καί^{c} εἷς^{nnms} διερμηνεύω^{vdpa3s}. **v.28** ἐάν^{qo} δέ^{c} μή^{xo} εἰμί^{vspx3s} διερμηνευτής^{nnms} σιγάω^{vdpa3s} ἐν^{p} ἐκκλησία^{ndfs} ἑαυτοῦ^{rxdms} δέ^{c} λαλέω^{vdpa3s} καί^{c} ὁ^{ddms} θεός^{ndms}. **v.29** προφήτης^{nnmp} δέ^{c} δύο^{tn} ἤ^{xo} τρεῖς^{nnmp} λαλέω^{vdpa3p} καί^{c} ὁ^{dnmp} ἄλλος^{anmpn} διακρίνω^{vdpa3p}. **v.30** ἐάν^{qo} δέ^{c} ἄλλος^{admsn} ἀποκαλύπτω^{vsap3s} κάθημαι^{vppndms} ὁ^{dnms} πρῶτος^{anmsn} σιγάω^{vdpa3s}. **v.31** δύναμαι^{vipn2p} γάρ^{c} κατά^{p} εἷς^{nams} πᾶς^{anmpn} προφητεύω^{vnpa} ἵνα^{c} πᾶς^{anmpn} μανθάνω^{vspa3p} καί^{c} πᾶς^{anmpn} παρακαλέω^{vspp3p}. **v.32** καί^{c} πνεῦμα^{nnnp} προφήτης^{ngmp} προφήτης^{ndmp} ὑποτάσσω^{vipp3s}.

34 ταῖς ἐκκλησίαις τῶν ἁγίων, Αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλη-
σίαις σιγάτωσαν, οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλ᾽λ ὑπο-
35 τάσσεσθαι, καθὼς καὶ ὁ νόμος λέγει. εἰ δέ τι μαθεῖν θέλουσιν,
ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν, αἰσχρὸν γάρ ἐστι
36 γυναιξὶν ἐν ἐκκλησίᾳ λαλεῖν. ἢ ἀφ᾽ ὑμῶν ὁ λόγος τοῦ Θεοῦ
37 ἐξῆλθεν· ἢ εἰς ὑμᾶς μόνους κατήντησεν· Εἴ τις δοκεῖ προ-
φήτης εἶναι ἢ πνευματικός, ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν, ὅτι
38, 39 τοῦ Κυρίου εἰσὶν ἐντολαί, εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω. Ὥστε,
ἀδελφοί, ζηλοῦτε τὸ προφητεύειν, καὶ τὸ λαλεῖν γλώσσαις μὴ
40 κωλύετε, πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω.

15 Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον ὃ εὐηγγελισάμην
2 ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε, δι᾽ οὗ καὶ σώζε-
σθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ κατέχετε, ἐκτὸς εἰ μὴ
3 εἰκῇ ἐπιστεύσατε. παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ πα-
ρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ
4 τὰς γραφάς, καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέ-
5 ρᾳ κατὰ τὰς γραφάς, καὶ ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα,
6 ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ
7 πλείους μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν, ἔπειτα
8 ὤφθη Ἰακώβῳ, εἶτα τοῖς ἀποστόλοις πᾶσιν, ἔσχατον δὲ πάντων

---

v.33 οὐ^{xo} γάρ^{c} εἰμι^{vipx3s} ἀκαταστασία^{ngfs} ὁ^{dnms} θεός^{nnms} ἀλλά^{c} εἰρήνη^{ngfs} ὡς^{bo} ἐν^{p} πᾶς^{adfpn} ὁ^{ddfp} ἐκκλησία^{ndfp} ὁ^{dgmp} ἅγιος^{agmpn}. **v.34** ὁ^{dnfp} γυνή^{nnfp} σύ$^{rpg-p}$ ἐν^{p} ὁ^{ddfp} ἐκκλησία^{ndfp} σιγάω^{vdpa3p} οὐ^{xo} γάρ^{c} ἐπιτρέπω^{vixp3s} αὐτός^{rpdfp} λαλέω^{vnpa} ἀλλά^{c} ὑποτάσσω^{vnpm} καθώς^{bo} καί^{c} ὁ^{dnms} νόμος^{nnms} λέγω^{vipa3s}. **v.35** εἰ^{qo} δέ^{c} τι-σριννσ μανθάνω^{vnaa} θέλω^{vipa3p} ἐν^{p} οἶκος^{ndms} ὁ^{damp} ἴδιος^{aampn} ἀνήρ^{namp} ἐπερωτάω^{vdpa3p} αἰσχρός^{annsn} γάρ^{c} εἰμί^{vipx3s} γυνή^{ndfp} ἐν^{p} ἐκκλησία^{ndfs} λαλέω^{vnpa}. **v.36** ἤ^{xo} ἀπό^{p} σύ$^{rpg-p}$ ὁ^{dnms} λόγος^{nnms} ὁ^{dgms} θεός^{ngms} ἐξέρχομαι^{viaa3s} ἤ^{xo} εἰς^{p} σύ$^{rpa-p}$ μόνος^{aampn} καταντάω^{viaa3s}. **v.37** εἰ^{qo} τι-σ-ρινμσ δοκέω^{vipa3s} προφήτης^{nnms} εἰμί^{vnpx} ἤ^{xo} πνευματικός^{anmsn} ἐπιγινώσκω^{vdpa3s} ὅς^{rranp} γράφω^{vipa1s} σύ$^{rpd-p}$ ὅτι^{c} ὁ^{dgms} κύριος^{ngms} εἰμί^{vipx3p} ἐντολή^{nnfp}. **v.38** εἰ^{qo} δέ^{c} τι-σρινμσ ἀγνοέω^{vipa3s} ἀγνοέω^{vdpa3s}. **v.39** ὥστε^{c} ἀδελφός^{nvmp} ζηλόω^{vdpa2p} ὁ^{dans} προφητεύω^{vnpa} καί^{c} ὁ^{dans} λαλέω^{vnpa} γλῶσσα^{ndfp} μή^{xo} κωλύω^{vdpa2p}. **v.40** πᾶς^{annpn} εὐσχημόνως^{bo} καί^{c} κατά^{p} τάξις^{nafs} γίνομαι^{vdpn3s}. **15. v.1** γνωρίζω^{vipa1s} δέ^{c} σύ$^{rpd-p}$ ἀδελφός^{nvmp} ὁ^{dans} εὐαγγέλιον^{nans} ὅς^{rrans} εὐαγγελίζω^{viam1s} σύ$^{rpd-p}$ ὅς^{rrans} καί^{c} παραλαμβάνω^{viaa2p} ἐν^{p} ὅς^{rrdns} καί^{c} ἵστημι^{vixa2p}. **v.2** διά^{p} ὅς^{rrgns} καί^{c} σῴζω^{vipp2p} τίς^{ridms} λόγος^{ndms} εὐαγγελίζω^{viam1s} σύ$^{rpd-p}$ εἰ^{qo} κατέχω^{vipa2p} ἐκτός^{bo} εἰ^{qo} μή^{xo} εἰκῇ^{bo} πιστεύω^{viaa2p}. **v.3** παραδίδωμι^{viaa1s} γάρ^{c} σύ$^{rpd-p}$ ἐν^{p} πρῶτος^{admpn} ὅς^{rrans} καί^{c} παραλαμβάνω^{viaa1s} ὅτι^{c} Χριστός^{nnms} ἀποθνῄσκω^{viaa3s} ὑπέρ^{p} ὁ^{dgfp} ἁμαρτία^{ngfp} ἐγώ$^{rpg-p}$ κατά^{p} ὁ^{dafp} γραφή^{nafp}. **v.4** καί^{c} ὅτι^{c} θάπτω^{viap3s} καί^{c} ὅτι^{c} ἐγείρω^{vixp3s} ὁ^{ddfs} τρίτος^{adfsn} ἡμέρα^{ndfs} κατά^{p} ὁ^{dafp} γραφή^{nafp}. **v.5** καί^{c} ὅτι^{c} ὁράω^{viap3s} Κηφᾶς^{ndms} εἶτα^{bo} ὁ^{ddmp} δώδεκα^{tn}. **v.6** ἔπειτα^{bo} ὁράω^{viap3s} ἐπάνω^{bo} πεντακόσιοι^{ndmp} ἀδελφός^{ndmp} ἐφάπαξ^{bo} ἐκ^{p} ὅς^{rrgmp} ὁ^{dnmp} πολύς^{anmpc} μένω^{vipa3p} ἕως^{c} ἄρτι^{bo} τι-σρινμπ δέ^{c} καί^{c} κοιμάομαι^{viap3p}. **v.7** ἔπειτα^{bo} ὁράω^{viap3s} Ἰάκωβος^{ndms} εἶτα^{bo} ὁ^{ddmp} ἀπόστολος^{ndmp} πᾶς^{admpn}.

ὡσπερεὶ τῷ ἐκτρώματι ὤφθη κἀμοί. ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος 9
τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι
ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ. χάριτι δὲ Θεοῦ εἰμι ὅ εἰμι, 10
καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότε-
ρον αὐτῶν πάντων ἐκοπίασα, οὐκ ἐγὼ δὲ ἀλ'λ ἡ χάρις τοῦ Θεοῦ
ἡ σὺν ἐμοί. εἴτε οὖν ἐγὼ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν καὶ 11
οὕτως ἐπιστεύσατε. Εἰ δὲ Χριστὸς κηρύσσεται ὅτι ἐκ νεκρῶν 12
ἐγήγερται, πῶς λέγουσι τινες ἐν ὑμῖν ὅτι ἀνάστασις νεκρῶν οὐκ
ἔστιν· εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγε- 13
γερται, εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα 14
ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν, εὑρισκόμεθα δὲ καὶ ψευ- 15
δομάρτυρες τοῦ Θεοῦ, ὅτι ἐμαρτυρήσαμεν κατὰ τοῦ Θεοῦ ὅτι
ἤγειρε τὸν Χριστόν, ὃν οὐκ ἤγειρεν, εἴπερ ἄρα νεκροὶ οὐκ ἐγεί-
ρονται. εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται, 16
εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν, ἔτι ἐστὲ ἐν 17
ταῖς ἁμαρτίαις ὑμῶν. ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ ἀπώ- 18
λοντο. εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, 19
ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν. Νυνὶ δὲ Χριστὸς ἐγή- 20
γερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. ἐπειδὴ 21
γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νε-
κρῶν. ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω 22

---

v.8 ἔσχατος^{aamsn} δέ^{c} πᾶς^{agmpn} ὡσπερεί^{bo} ὁ^{ddns} ἔκτρωμα^{ndns} ὁράω^{viap3s} κἀγώ$^{rpd-s}$. **v.9** ἐγώ$^{rpn-s}$ γάρ^{c} εἰμί^{vipx1s} ὁ^{dnms} ἐλάχιστος^{anmsn} ὁ^{dgmp} ἀπόστολος^{ngmp} ὅς^{rrnms} οὐ^{xo} εἰμί^{vipx1s} ἱκανός^{anmsn} καλέω^{vnpp} ἀπόστολος^{nnms} διότι^{c} διώκω^{viaa1s} ὁ^{dafs} ἐκκλησία^{nafs} ὁ^{dgms} θεός^{ngms}. **v.10** χάρις^{ndfs} δέ^{c} θεός^{ngms} εἰμί^{vipx1s} ὅς^{rrnns} εἰμί^{vipx1s} καί^{c} ὁ^{dnfs} χάρις^{nnfs} αὐτός^{rpgms} ὁ^{dnfs} εἰς^{p} ἐγώ$^{rpa-s}$ οὐ^{xo} κενός^{anfsn} γίνομαι^{viao3s} ἀλλά^{c} περισσός^{aamsc} αὐτός^{rpgmp} πᾶς^{agmpn} κοπιάω^{viaa1s} οὐ^{xo} ἐγώ$^{rpn-s}$ δέ^{c} ἀλλά^{c} ὁ^{dnfs} χάρις^{nnfs} ὁ^{dgms} θεός^{ngms} ὁ^{dnfs} σύν^{p} ἐγώ$^{rpd-s}$. **v.11** εἴτε^{c} οὖν^{c} ἐγώ$^{rpn-s}$ εἴτε^{c} ἐκεῖνος^{rdnmp} οὕτω^{bo} κηρύσσω^{vipa1p} καί^{c} οὕτω^{bo} πιστεύω^{viaa2p}. **v.12** εἰ^{qo} δέ^{c} Χριστός^{nnms} κηρύσσω^{vipp3s} ὅτι^{c} ἐκ^{p} νεκρός^{agmpn} ἐγείρω^{vixp3s} πῶς^{bo} λέγω^{vipa3p} τι-σρινμπ ἐν^{p} σύ$^{rpd-p}$ ὅτι^{c} ἀνάστασις^{nnfs} νεκρός^{agmpn} οὐ^{xo} εἰμί^{vipx3s}. **v.13** εἰ^{qo} δέ^{c} ἀνάστασις^{nnfs} νεκρός^{agmpn} οὐ^{xo} εἰμί^{vipx3s} οὐδέ^{bo} Χριστός^{nnms} ἐγείρω^{vixp3s}. **v.14** εἰ^{qo} δέ^{c} Χριστός^{nnms} οὐ^{xo} ἐγείρω^{vixp3s} κενός^{annsn} ἄρα^{xo} ὁ^{dnns} κήρυγμα^{nnns} ἐγώ$^{rpg-p}$ κενός^{anfsn} δέ^{c} καί^{c} ὁ^{dnfs} πίστις^{nnfs} σύ$^{rpg-p}$. **v.15** εὑρίσκω^{vipp1p} δέ^{c} καί^{c} ψευδόμαρτυς^{nnmp} ὁ^{dgms} θεός^{ngms} ὅτι^{c} μαρτυρέω^{viaa1p} κατά^{p} ὁ^{dgms} θεός^{ngms} ὅτι^{c} ἐγείρω^{viaa3s} ὁ^{dams} Χριστός^{nams} ὅς^{rrams} οὐ^{xo} ἐγείρω^{viaa3s} εἴπερ^{qo} ἄρα^{xo} νεκρός^{anmpn} οὐ^{xo} ἐγείρω^{vipp3p}. **v.16** εἰ^{qo} γάρ^{c} νεκρός^{anmpn} οὐ^{xo} ἐγείρω^{vipp3p} οὐδέ^{bo} Χριστός^{nnms} ἐγείρω^{vixp3s}. **v.17** εἰ^{qo} δέ^{c} Χριστός^{nnms} οὐ^{xo} ἐγείρω^{vixp3s} μάταιος^{anfsn} ὁ^{dnfs} πίστις^{nnfs} σύ$^{rpg-p}$ ἔτι^{bo} εἰμί^{vipx2p} ἐν^{p} ὁ^{ddfp} ἁμαρτία^{ndfp} σύ$^{rpg-p}$. **v.18** ἄρα^{xo} καί^{c} ὁ^{dnmp} κοιμάομαι^{vpapnmp} ἐν^{p} Χριστός^{ndms} ἀπόλλυμι^{viam3p}. **v.19** εἰ^{qo} ἐν^{p} ὁ^{ddfs} ζωή^{ndfs} οὗτος^{rddfs} ἐλπίζω^{vpxanmp} εἰμί^{vipx1p} ἐν^{p} Χριστός^{ndms} μόνος^{bo} ἐλεεινός^{anmpc} πᾶς^{agmpn} ἄνθρωπος^{ngmp} εἰμί^{vipx1p}. **v.20** νυνί^{bo} δέ^{c} Χριστός^{nnms} ἐγείρω^{vixp3s} ἐκ^{p} νεκρός^{agmpn} ἀπαρχή^{nnfs} ὁ^{dgmp} κοιμάομαι^{vpxpgmp} γίνομαι^{viad3s}. **v.21** ἐπειδή^{c} γάρ^{c} διά^{p} ἄνθρωπος^{ngms} ὁ^{dnms} θάνατος^{nnms} καί^{c} διά^{p} ἄνθρωπος^{ngms} ἀνάστασις^{nnfs} νεκρός^{agmpn}.

23 καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται. ἕκαστος δὲ ἐν τῷ
ἰδίῳ τάγματι, ἀπαρχὴ Χριστός, ἔπειτα οἱ Χριστοῦ ἐν τῇ πα-
24 ρουσίᾳ αὐτοῦ. εἶτα τὸ τέλος, ὅταν παραδῷ τὴν βασιλείαν τῷ
Θεῷ καὶ πατρί, ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξ-
25 ουσίαν καὶ δύναμιν. δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν
26 θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. ἔσχατος ἐ-
27 χθρὸς καταργεῖται ὁ θάνατος. Πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς
πόδας αὐτοῦ. ὅταν δὲ εἴπῃ ὅτι Πάντα ὑποτέτακται, δῆλον ὅτι
28 ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα. ὅταν δὲ ὑποταγῇ αὐτῷ
τὰ πάντα, τότε καὶ αὐτὸς ὁ υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι
29 αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν. Ἐπεὶ τί ποι-
ήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν· εἰ ὅλως νεκροὶ οὐκ
30 ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν· τί καὶ ἡμεῖς
31 κινδυνεύομεν πᾶσαν ὥραν· καθ᾽ ἡμέραν ἀποθνήσκω, νὴ τὴν
ὑμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.
32 εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος,
εἰ νεκροὶ οὐκ ἐγείρονται, φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀ-
33 ποθνήσκομεν. μὴ πλανᾶσθε, Φθείρουσιν ἤθη χρησθ᾽ ὁμιλίαι
34 κακαί. ἐκνήψατε δικαίως καὶ μὴ ἁμαρτάνετε, ἀγνωσίαν γὰρ
35 Θεοῦ τινες ἔχουσι, πρὸς ἐντροπὴν ὑμῖν λέγω. ἀλλ᾽ ἐρεῖ τις,

---

v.22 ὥσπερ^{bo} γάρ^{c} ἐν^{p} ὁ^{ddms} Ἀδάμ^{tp} πᾶς^{anmpn} ἀποθνῄσκω^{vipa3p} οὕτω^{bo} καί^{c} ἐν^{p} ὁ^{ddms} Χριστός^{ndms} πᾶς^{anmpn} ζῳοποιέω^{vifp3p}. **v.23** ἕκαστος^{anmsn} δὲ^{c} ἐν^{p} ὁ^{ddns} ἴδιος^{admsn} τάγμα^{ndns} ἀπαρχή^{nnfs} Χριστός^{nnms} ἔπειτα^{bo} ὁ^{dnmp} Χριστός^{ngms} ἐν^{p} ὁ^{ddfs} παρουσία^{ndfs} αὐτός^{rpgms}. **v.24** εἶτα^{bo} ὁ^{dnns} τέλος^{nnns} ὅταν^{c} παραδίδωμι^{vsaa3s} ὁ^{dafs} βασιλεία^{nafs} ὁ^{ddms} θεός^{ndms} καί^{c} πατήρ^{ndms} ὅταν^{c} καταργέω^{vsaa3s} πᾶς^{aafsn} ἀρχή^{nafs} καί^{c} πᾶς^{aafsn} ἐξουσία^{nafs} καί^{c} δύναμις^{nafs}. **v.25** δεῖ^{vipq3s} γάρ^{c} αὐτός^{rpams} βασιλεύω^{vnpa} ἄχρι^{p} ὅς^{bo} ἄν^{xo} τίθημι^{vsaa3s} πᾶς^{aampn} ὁ^{damp} ἐχθρός^{aampn} ὑπό^{p} ὁ^{damp} πούς^{namp} αὐτός^{rpgms}. **v.26** ἔσχατος^{anmsn} ἐχθρός^{anmsn} καταργέω^{vipp3s} ὁ^{dnms} θάνατος^{nnms}. **v.27** πᾶς^{aanpn} γάρ^{c} ὑποτάσσω^{viaa3s} ὑπό^{p} ὁ^{damp} πούς^{namp} αὐτός^{rpgms} ὅταν^{c} δέ^{c} λέγω^{vsaa3s} ὅτι^{c} πᾶς^{annpn} ὑποτάσσω^{vixp3s} δῆλος^{annsn} ὅτι^{c} ἐκτός^{bo} ὁ^{dgms} ὑποτάσσω^{vpaagms} αὐτός^{rpdms} ὁ^{danp} πᾶς^{aanpn}. **v.28** ὅταν^{c} δέ^{c} ὑποταγή^{vsap3s} αὐτός^{rpdms} ὁ^{danp} πᾶς^{aanpn} τότε^{bo} καί^{c} αὐτός^{rpnms} ὁ^{dnms} υἱός^{nnms} ὑποτάσσω^{vifp3s} ὁ^{ddms} ὑποτάσσω^{vpaadms} αὐτός^{rpdms} ὁ^{danp} πᾶς^{aanpn} ἵνα^{c} εἰμί^{vspx3s} ὁ^{dnms} θεός^{nnms} ὁ^{dnnp} πᾶς^{annpn} ἐν^{p} πᾶς^{adnpn}. **v.29** ἐπεί^{c} τίς^{rqans} ποιέω^{vifa3p} ὁ^{dnmp} βαπτίζω^{vpppnmp} ὑπέρ^{p} ὁ^{dgmp} νεκρός^{agmpn} εἰ^{qo} ὅλως^{bo} νεκρός^{anmpn} οὐ^{xo} ἐγείρω^{vipp3p} τίς^{rqans} καί^{c} βαπτίζω^{vipp3p} ὑπέρ^{p} ὁ^{dgmp} νεκρός^{agmpn}. **v.30** τίς^{rqans} καί^{c} ἐγώ$^{rpn-p}$ κινδυνεύω^{vipa1p} πᾶς^{aafsn} ὥρα^{nafs}. **v.31** κατά^{p} ἡμέρα^{nafs} ἀποθνῄσκω^{vipa1s} νή^{xo} ὁ^{dafs} ὑμέτερος^{rsafs} καύχησις^{nafs} ὅς^{rrafs} ἔχω^{vipa1s} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} ὁ^{ddms} κύριος^{ndms} ἐγώ$^{rpg-p}$. **v.32** εἰ^{qo} κατά^{p} ἄνθρωπος^{nams} θηριομαχέω^{viaa1s} ἐν^{p} Ἔφεσος^{ndfs} τίς^{rqnns} ἐγώ$^{rpd-s}$ ὁ^{dnns} ὄφελος^{nnns} εἰ^{qo} νεκρός^{anmpn} οὐ^{xo} ἐγείρω^{vipp3p} ἐσθίω^{vsaa1p} καί^{c} πίνω^{vsaa1p} αὔριον^{bo} γάρ^{c} ἀποθνῄσκω^{vipa1p}. **v.33** μή^{xo} πλανάω^{vdpp2p} φθείρω^{vipa3p} ἦθος^{nanp} χρηστός^{aanpn} ὁμιλία^{nnfp} κακός^{anfpn}. **v.34** ἐκνήφω^{vdaa2p} δικαίως^{bo} καί^{c} μή^{xo} ἁμαρτάνω^{vipa2p} ἀγνωσία^{nafs} γάρ^{c} θεός^{ngms} τι-σρινμπ ἔχω^{vipa3p} πρός^{p} ἐντροπή^{nafs} σύ$^{rpd-p}$ λέγω^{vipa1s}.

Πῶς ἐγείρονται οἱ νεκροί· ποίῳ δὲ σώματι ἔρχονται· Ἄφρον, 36
σὺ ὃ σπείρεις, οὐ ζωοποιεῖται ἐὰν μὴ ἀποθάνῃ, καὶ ὃ σπείρεις, 37
οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον εἰ
τύχοι, σίτου ἢ τινος τῶν λοιπῶν, ὁ δὲ Θεὸς αὐτῷ δίδωσι σῶμα 38
καθὼς ἠθέλησε, καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα. οὐ 39
πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ, ἀλλὰ ἄλλη μὲν σὰρξ ἀνθρώπων, ἄλλη
δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ ἰχθύων, ἄλλη δὲ πτηνῶν. καὶ σώ- 40
ματα ἐπουράνια, καὶ σώματα ἐπίγεια, ἀλλ᾽ ἑτέρα μὲν ἡ τῶν
ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων. ἄλλη δόξα ἡλίου, 41
καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων, ἀστὴρ γὰρ
ἀστέρος διαφέρει ἐν δόξῃ. οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν. 42
σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ, σπείρεται ἐν ἀ- 43
τιμίᾳ, ἐγείρεται ἐν δόξῃ, σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν
δυνάμει, σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματι- 44
κόν. ἔστι σῶμα ψυχικόν, καὶ ἔστι σῶμα πνευματικόν. οὕτω 45
καὶ γέγραπται, Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν
ζωσαν. ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. ἀλλ᾽ οὐ πρῶ- 46
τον τὸ πνευματικὸν, ἀλλὰ τὸ ψυχικόν, ἔπειτα τὸ πνευματικόν.
ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός ὁ δεύτερος ἄνθρωπος ὁ Κύ- 47
ριος ἐξ οὐρανοῦ. οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί, καὶ 48

---

v.35 ἀλλάᶜ λέγωᵛⁱᶠᵃ³ˢ τι-σρινμσ πῶςᵇᵒ ἐγείρωᵛⁱᵖᵖ³ᵖ ὁᵈⁿᵐᵖ νεκρόςᵃⁿᵐᵖⁿ ποῖοςʳᵠᵈⁿˢ δέᶜ σῶμαⁿᵈⁿˢ ἔρχομαιᵛⁱᵖⁿ³ᵖ. **v.36** ἄφρωνᵃᵛᵐˢⁿ σύʳᵖⁿ⁻ˢ ὅςʳʳⁿⁿˢ σπείρωᵛⁱᵖᵃ²ˢ οὐˣᵒ ζῳοποιέωᵛⁱᵖᵖ³ˢ ἐάνᵠᵒ μήˣᵒ ἀποθνῄσκωᵛˢᵃᵃ³ˢ. **v.37** καὶᶜ ὅςʳʳⁿⁿˢ σπείρωᵛⁱᵖᵃ²ˢ οὐˣᵒ ὁᵈᵃⁿˢ σῶμαⁿᵃⁿˢ ὁᵈᵃⁿˢ γίνομαιᵛᵖᶠᵈᵃⁿˢ σπείρωᵛⁱᵖᵃ²ˢ ἀλλάᶜ γυμνόςᵃᵃᵐˢⁿ κόκκοςⁿᵃᵐˢ εἰᵠᵒ τυγχάνωᵛᵒᵃᵃ³ˢ σῖτοςⁿᵍᵐˢ ἢˣᵒ τι-σριγμσ ὁᵈᵍᵐᵖ λοιπόςᵃᵍᵐᵖⁿ. **v.38** ὁᵈⁿᵐˢ δέᶜ θεόςⁿⁿᵐˢ αὐτόςʳᵖᵈᵐˢ δίδωμιᵛⁱᵖᵃ³ˢ σῶμαⁿᵃⁿˢ καθώςᵇᵒ θέλωᵛⁱᵃᵃ³ˢ καὶᶜ ἕκαστοςᵃᵈⁿˢⁿ ὁᵈᵍⁿᵖ σπέρμαⁿᵍⁿᵖ ὁᵈᵃⁿˢ ἴδιοςᵃᵃⁿˢⁿ σῶμαⁿᵃⁿˢ. **v.39** οὐˣᵒ πᾶςᵃⁿᶠˢⁿ σάρξⁿⁿᶠˢ ὁᵈⁿᶠˢ αὐτόςʳᵖⁿᶠˢ σάρξⁿⁿᶠˢ ἀλλάᶜ ἄλλοςᵃⁿᶠˢⁿ μένˣᵒ σάρξⁿⁿᶠˢ ἄνθρωποςⁿᵍᵐᵖ ἄλλοςᵃⁿᶠˢⁿ δέᶜ σάρξⁿⁿᶠˢ κτῆνοςⁿᵍⁿᵖ ἄλλοςᵃⁿᶠˢⁿ δέᶜ ἰχθύςⁿᵍᵐᵖ ἄλλοςᵃⁿᶠˢⁿ δέᶜ πτηνόςᵃᵍⁿᵖⁿ. **v.40** καὶᶜ σῶμαⁿⁿⁿᵖ ἐπουράνιοςᵃⁿⁿᵖⁿ καὶᶜ σῶμαⁿⁿⁿᵖ ἐπίγειοςᵃⁿⁿᵖⁿ ἀλλάᶜ ἕτεροςᵃⁿᶠˢⁿ μένˣᵒ ὁᵈⁿᶠˢ ὁᵈᵍⁿᵖ ἐπουράνιοςᵃᵍⁿᵖⁿ δόξαⁿⁿᶠˢ ἕτεροςᵃⁿᶠˢⁿ δέᶜ ὁᵈⁿᶠˢ ὁᵈᵍⁿᵖ ἐπίγειοςᵃᵍⁿᵖⁿ. **v.41** ἄλλοςᵃⁿᶠˢⁿ δόξαⁿⁿᶠˢ ἥλιοςⁿᵍᵐˢ καὶᶜ ἄλλοςᵃⁿᶠˢⁿ δόξαⁿⁿᶠˢ σελήνηⁿᵍᶠˢ καὶᶜ ἄλλοςᵃⁿᶠˢⁿ δόξαⁿⁿᶠˢ ἀστήρⁿᵍᵐᵖ ἀστὴρⁿⁿᵐˢ γάρᶜ ἀστήρⁿᵍᵐˢ διαφέρωᵛⁱᵖᵃ³ˢ ἐνᵖ δόξαⁿᵈᶠˢ. **v.42** οὕτωᵇᵒ καὶᶜ ὁᵈⁿᶠˢ ἀνάστασιςⁿⁿᶠˢ ὁᵈᵍᵐᵖ νεκρόςᵃᵍᵐᵖⁿ σπείρωᵛⁱᵖᵖ³ˢ ἐνᵖ φθοράⁿᵈᶠˢ ἐγείρωᵛⁱᵖᵖ³ˢ ἐνᵖ ἀφθαρσίαⁿᵈᶠˢ. **v.43** σπείρωᵛⁱᵖᵖ³ˢ ἐνᵖ ἀτιμίαⁿᵈᶠˢ ἐγείρωᵛⁱᵖᵖ³ˢ ἐνᵖ δόξαⁿᵈᶠˢ σπείρωᵛⁱᵖᵖ³ˢ ἐνᵖ ἀσθένειαⁿᵈᶠˢ ἐγείρωᵛⁱᵖᵖ³ˢ ἐνᵖ δύναμιςⁿᵈᶠˢ. **v.44** σπείρωᵛⁱᵖᵖ³ˢ σῶμαⁿⁿⁿˢ ψυχικόςᵃⁿⁿˢⁿ ἐγείρωᵛⁱᵖᵖ³ˢ σῶμαⁿⁿⁿˢ πνευματικόςᵃⁿⁿˢⁿ εἰμίᵛⁱᵖˣ³ˢ σῶμαⁿⁿⁿˢ ψυχικόςᵃⁿⁿˢⁿ καὶᶜ εἰμίᵛⁱᵖˣ³ˢ σῶμαⁿⁿⁿˢ πνευματικόςᵃⁿⁿˢⁿ. **v.45** οὕτωᵇᵒ καὶᶜ γράφωᵛⁱˣᵖ³ˢ γίνομαιᵛⁱᵃᵈ³ˢ ὁᵈⁿᵐˢ πρῶτοςᵃⁿᵐˢⁿ ἄνθρωποςⁿⁿᵐˢ Ἀδὰμᵗᵖ εἰςᵖ ψυχήⁿᵃᶠˢ ζάωᵛᵖᵖᵃᵃᶠˢ ὁᵈⁿᵐˢ ἔσχατοςᵃⁿᵐˢⁿ Ἀδὰμᵗᵖ εἰςᵖ πνεῦμαⁿᵃⁿˢ ζῳοποιέωᵛᵖᵖᵃᵃⁿˢ. **v.46** ἀλλάᶜ οὐˣᵒ πρῶτοςᵇᵒ ὁᵈⁿⁿˢ πνευματικόςᵃⁿⁿˢⁿ ἀλλάᶜ ὁᵈⁿⁿˢ ψυχικόςᵃⁿⁿˢⁿ ἔπειταᵇᵒ ὁᵈⁿⁿˢ πνευματικόςᵃⁿⁿˢⁿ. **v.47** ὁᵈⁿᵐˢ πρῶτοςᵃⁿᵐˢⁿ ἄνθρωποςⁿⁿᵐˢ ἐκᵖ γῆⁿᵍᶠˢ χοϊκόςᵃⁿᵐˢⁿ ὁᵈⁿᵐˢ δεύτεροςᵃⁿᵐˢⁿ ἄνθρωποςⁿⁿᵐˢ ὁᵈⁿᵐˢ κύριοςⁿⁿᵐˢ ἐκᵖ οὐρανόςⁿᵍᵐˢ.

49 οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι, καὶ καθὼς ἐ-
φορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα
50 τοῦ ἐπουρανίου. Τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα
βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν
51 ἀφθαρσίαν κληρονομεῖ. ἰδοὺ, μυστήριον ὑμῖν λέγω, Πάντες
52 μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα, ἐν ἀτόμῳ,
ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι, σαλπίσει γάρ, καὶ οἱ
53 νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα. δεῖ
γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν
54 τοῦτο ἐνδύσασθαι ἀθανασίαν. ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐν-
δύσηται ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν,
τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος, Κατεπόθη ὁ θάνατος εἰς
55 νῖκος. Ποῦ σου, θάνατε, τὸ κέντρον· ποῦ σου, ᾅδη, τὸ νῖκος·
56 τὸ δὲ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία, ἡ δὲ δύναμις τῆς ἁμαρ-
57 τίας ὁ νόμος, τῷ δὲ Θεῷ χάρις τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ
58 Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ὥστε, ἀδελφοί μου ἀγαπητοί,
ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ
Κυρίου πάντοτε, εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν
Κυρίῳ.

16 Περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους, ὥσπερ διέταξα ταῖς

---

v.48 οἷος^{rcnms} ὁ^{dnms} χοϊκός^{anmsn} τοιοῦτος^{rdnmp} καί^{c} ὁ^{dnmp} χοϊκός^{anmpn} καί^{c} οἷος^{rcnms} ὁ^{dnms} ἐπουράνιος^{anmsn} τοιοῦτος^{rdnmp} καί^{c} ὁ^{dnmp} ἐπουράνιος^{anmpn}. **v.49** καί^{c} καθώς^{bo} φορέω^{viaa1p} ὁ^{dafs} εἰκών^{nafs} ὁ^{dgms} χοϊκός^{agmsn} φορέω^{vifa1p} καί^{c} ὁ^{dafs} εἰκών^{nafs} ὁ^{dgms} ἐπουράνιος^{agmsn}. **v.50** οὗτος^{rdans} δέ^{c} φημί^{vipx1s} ἀδελφός^{nvmp} ὅτι^{c} σάρξ^{nnfs} καί^{c} αἷμα^{nnns} βασιλεία^{nafs} θεός^{ngms} κληρονομέω^{vnaa} οὐ^{xo} δύναμαι^{vipn3p} οὐδέ^{bo} ὁ^{dnfs} φθορά^{nnfs} ὁ^{dafs} ἀφθαρσία^{nafs} κληρονομέω^{vipa3s}. **v.51** ἰδού^{vdaa2s} μυστήριον^{nans} σύ$^{rpd-p}$ λέγω^{vipa1s} πᾶς^{anmpn} μέν^{xo} οὐ^{xo} κοιμάομαι^{vifp1p} πᾶς^{anmpn} δέ^{c} ἀλλάσσω^{vifp1p}. **v.52** ἐν^{p} ἄτομος^{adnsn} ἐν^{p} ῥιπή^{ndfs} ὀφθαλμός^{ngms} ἐν^{p} ὁ^{ddfs} ἔσχατος^{adfsn} σάλπιγξ^{ndfs} σαλπίζω^{vifa3s} γάρ^{c} καί^{c} ὁ^{dnmp} νεκρός^{anmpn} ἐγείρω^{vifp3p} ἄφθαρτος^{anmpn} καί^{c} ἐγώ$^{rpn-p}$ ἀλλάσσω^{vifp1p}. **v.53** δεῖ^{vipq3s} γάρ^{c} ὁ^{dnns} φθαρτός^{annsn} οὗτος^{rdnns} ἐνδύω^{vnam} ἀφθαρσία^{nafs} καί^{c} ὁ^{dnns} θνητός^{annsn} οὗτος^{rdnns} ἐνδύω^{vnam} ἀθανασία^{nafs}. **v.54** ὅταν^{c} δέ^{c} ὁ^{dnns} φθαρτός^{annsn} οὗτος^{rdnns} ἐνδύω^{vsam3s} ἀφθαρσία^{nafs} καί^{c} ὁ^{dnns} θνητός^{annsn} οὗτος^{rdnns} ἐνδύω^{vsam3s} ἀθανασία^{nafs} τότε^{bo} γίνομαι^{vifd3s} ὁ^{dnms} λόγος^{nnms} ὁ^{dnms} γράφω^{vpxpnms} καταπίνω^{viap3s} ὁ^{dnms} θάνατος^{nnms} εἰς^{p} νῖκος^{nans}. **v.55** ποῦ^{xo} σύ$^{rpg-s}$ θάνατος^{nvms} ὁ^{dnns} κέντρον^{nnns} ποῦ^{xo} σύ$^{rpg-s}$ ᾅδης^{nvms} ὁ^{dnns} νῖκος^{nnns}. **v.56** ὁ^{dnns} δέ^{c} κέντρον^{nnns} ὁ^{dgms} θάνατος^{ngms} ὁ^{dnfs} ἁμαρτία^{nnfs} ὁ^{dnfs} δέ^{c} δύναμις^{nnfs} ὁ^{dgfs} ἁμαρτία^{ngfs} ὁ^{dnms} νόμος^{nnms}. **v.57** ὁ^{ddms} δέ^{c} θεός^{ndms} χάρις^{nnfs} ὁ^{ddms} δίδωμι^{vppadms} ἐγώ$^{rpd-p}$ ὁ^{dans} νῖκος^{nans} διά^{p} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.58** ὥστε^{c} ἀδελφός^{nvmp} ἐγώ$^{rpg-s}$ ἀγαπητός^{avmpn} ἑδραῖος^{anmpn} γίνομαι^{vdpn2p} ἀμετακίνητος^{anmpn} περισσεύω^{vppanmp} ἐν^{p} ὁ^{ddns} ἔργον^{ndns} ὁ^{dgms} κύριος^{ngms} πάντοτε^{bo} οἶδα^{vpxanmp} ὅτι^{c} ὁ^{dnms} κόπος^{nnms} σύ$^{rpg-p}$ οὐ^{xo} εἰμί^{vipx3s} κενός^{anmsn} ἐν^{p} κύριος^{ndms}.

ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε. κατὰ μίαν 2
σαββάτων ἕκαστος ὑμῶν παρ᾽ ἑαυτῷ τιθέτω θησαυρίζων ὅ τι ἂν
εὐοδῶται, ἵνα μὴ ὅταν ἔλθω, τότε λογίαι γίνωνται. ὅταν δὲ πα- 3
ραγένωμαι, οὓς ἐὰν δοκιμάσητε, δι᾽ ἐπιστολῶν, τούτους πέμψω
ἀπενεγκεῖν τὴν χάριν ὑμῶν εἰς Ἰερουσαλήμ, ἐὰν δὲ ᾖ ἄξιον 4
τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται. ἐλεύσομαι δὲ 5
πρὸς ὑμᾶς, ὅταν Μακεδονίαν διέλθω, Μακεδονίαν γὰρ διέρ-
χομαι, πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ, ἢ καὶ παραχειμάσω, 6
ἵνα ὑμεῖς με προπέμψητε οὗ ἐὰν πορεύωμαι. οὐ θέλω γὰρ 7
ὑμᾶς ἄρτι ἐν παρόδῳ ἰδεῖν, ἐλπίζω δὲ χρόνον τινὰ ἐπιμεῖναι
πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος ἐπιτρέπῃ. ἐπιμενῶ δὲ ἐν Ἐφέσῳ ἕως 8
τῆς Πεντηκοστῆς, θύρα γάρ μοι ἀνέῳγε μεγάλη καὶ ἐνεργής, 9
καὶ ἀντικείμενοι πολλοί. Ἐὰν δὲ ἔλθῃ Τιμόθεος, βλέπετε ἵνα 10
ἀφόβως γένηται πρὸς ὑμᾶς, τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται ὡς
καὶ ἐγώ. μή τις οὖν αὐτὸν ἐξουθενήσῃ, προπέμψατε δὲ αὐτὸν 11
ἐν εἰρήνῃ, ἵνα ἔλθῃ πρός με, ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν
ἀδελφῶν. περὶ δὲ Ἀπολλῶ τοῦ ἀδελφοῦ, πολλὰ παρεκάλεσα 12
αὐτὸν ἵνα ἔλθῃ πρὸς ὑμᾶς μετὰ τῶν ἀδελφῶν, καὶ πάντως οὐκ
ἦν θέλημα ἵνα νῦν ἔλθῃ, ἐλεύσεται δὲ ὅταν εὐκαιρήσῃ. Γρη- 13
γορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε. πάντα 14

---

16. v.1 περίp δέc ὁdgfs λογεία^{ngfs} ὁdgfs εἰςp ὁdamp ἅγιος^{aampn} ὥσπερbo διατάσσω^{viaa1s} ὁddfp ἐκκλησία^{ndfp} ὁdgfs Γαλατία^{ngfs} οὕτωbo καίc σύrpn-p ποιέω^{vdaa2p}. **v.2** κατάp εἷς^{nafs} σάββατον^{ngnp} ἕκαστος^{anmsn} σύrpg-p παράp ἑαυτοῦrxdms τίθημι^{vdpa3s} θησαυρίζω^{vppanms} ὅςrrans τι-σριανσ ἂνxo εὐοδόω^{vspp3s} ἵναc μήxo ὅτανc ἔρχομαι^{vsaa1s} τότεbo λογεία^{nnfp} γίνομαι^{vspn3p}. **v.3** ὅτανc δέc παραγίνομαι^{vsad1s} ὅςrramp ἐάνqo δοκιμάζω^{vsaa2p} διάp ἐπιστολή^{ngfp} οὗτος^{rdamp} πέμπω^{vifa1s} ἀποφέρω^{vnaa} ὁdafs χάρις^{nafs} σύrpg-p εἰςp Ἰερουσαλήμtp. **v.4** ἐάνqo δέc εἰμί^{vspx3s} ἄξιος^{annsn} ὁdgms κἀγώrpa-s πορεύομαι^{vnpn} σύνp ἐγώrpd-s πορεύομαι^{vifd3p}. **v.5** ἔρχομαι^{vifd1s} δέc πρόςp σύrpa-p ὅτανc Μακεδονία^{nafs} διέρχομαι^{vsaa1s} Μακεδονία^{nafs} γάρc διέρχομαι^{vipn1s}. **v.6** πρόςp σύrpa-p δέc τυγχάνω^{vpaaans} παραμένω^{vifa1s} ἤxo καίc παραχειμάζω^{vifa1s} ἵναc σύrpn-p ἐγώrpa-s προπέμπω^{vsaa2p} ὅςbo ἐάνqo πορεύομαι^{vspn1s}. **v.7** οὐxo θέλω^{vipa1s} γάρc σύrpa-p ἄρτιbo ἐνp πάροδος^{ndfs} ὁράω^{vnaa} ἐλπίζω^{vipa1s} δέc χρόνος^{nams} τι-σριαμσ ἐπιμένω^{vnaa} πρόςp σύrpa-p ἐάνqo ὁdnms κύριος^{nnms} ἐπιτρέπω^{vspa3s}. **v.8** ἐπιμένω^{vifa1s} δέc ἐνp Ἔφεσος^{ndfs} ἕωςc ὁdgfs πεντηκοστή^{ngfs}. **v.9** θύρα^{nnfs} γάρc ἐγώrpd-s ἀνοίγω^{vixa3s} μέγας^{anfsn} καίc ἐνεργής^{anfsn} καίc ἀντίκειμαι^{vppnnmp} πολύς^{anmpn}. **v.10** ἐάνqo δέc ἔρχομαι^{vsaa3s} Τιμόθεος^{nnms} βλέπω^{vdpa2p} ἵναc ἀφόβως^{bo} γίνομαι^{vsad3s} πρόςp σύrpa-p ὁdans γάρc ἔργον^{nans} κύριος^{ngms} ἐργάζομαι^{vipn3s} ὡςbo καίc ἐγώrpn-s. **v.11** μήxo τι-σρινμσ οὖνc αὐτόςrpams ἐξουθενέω^{vsaa3s} προπέμπω^{vdaa2p} δέc αὐτόςrpams ἐνp εἰρήνη^{ndfs} ἵναc ἔρχομαι^{vsaa3s} πρόςp ἐγώrpa-s ἐκδέχομαι^{vipn1s} γάρc αὐτόςrpams μετάp ὁdgmp ἀδελφός^{ngmp}. **v.12** περίp δέc Ἀπολλῶς^{ngms} ὁdgms ἀδελφός^{ngms} πολύς^{aanpn} παρακαλέω^{viaa1s} αὐτόςrpams ἵναc ἔρχομαι^{vsaa3s} πρόςp σύrpa-p μετάp ὁdgmp ἀδελφός^{ngmp} καίc πάντωςbo οὐxo εἰμί^{viix3s} θέλημα^{nnns} ἵναc νῦνbo ἔρχομαι^{vsaa3s} ἔρχομαι^{vifd3s} δέc ὅτανc εὐκαιρέω^{vsaa3s}. **v.13** γρηγορέω^{vdpa2p} στήκω^{vdpa2p} ἐνp ὁddfs πίστις^{ndfs} ἀνδρίζομαι^{vdpn2p} κραταιόω^{vdpp2p}.

15 ὑμῶν ἐν ἀγάπῃ γινέσθω. Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, οἴδατε
τὴν οἰκίαν Στεφανᾶ, ὅτι ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας, καὶ εἰς δια-
16 κονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς. ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε
17 τοῖς τοιούτοις, καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι. χαίρω
δὲ ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ καὶ φουρτουνάτου καὶ Ἀχαϊκοῦ,
18 ὅτι τὸ ὑμῶν ὑστέρημα οὗτοι ἀνεπλήρωσαν. ἀνέπαυσαν γὰρ
τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν. ἐπιγινώσκετε οὖν τοὺς τοιού-
19 τους. Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς Ἀσίας, ἀσπάζονται
ὑμᾶς ἐν Κυρίῳ πολλὰ Ἀκύλας καὶ Πρίσκιλλα, σὺν τῇ κατ᾽ οἶ-
20 κον αὐτῶν ἐκκλησίᾳ. ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες.
21 ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. Ὁ ἀσπασμὸς τῇ ἐμῇ
22 χειρὶ Παύλου. εἴ τις οὐ φιλεῖ τὸν Κύριον Ἰησοῦν Χριστόν, ἤτω
23 ἀνάθεμα. Μαρὰν ἀθα. ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ
24 μεθ᾽ ὑμῶν. ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν Χριστῷ Ἰη-
σοῦ. ἀμήν. πρὸς Κορινθίους πρώτη ἐγράφη ἀπὸ Φιλίππων διὰ
Στεφανᾶ καί φουρτουνάτου καί Ἀχαϊκοῦ καί Τιμοθέου.

---

v.14 πᾶς^{annpn} σύ$^{rpg\text{-}p}$ ἐν^{p} ἀγάπη^{ndfs} γίνομαι^{vdpn3s}. **v.15** παρακαλέω^{vipa1s} δέ^{c} σύ$^{rpa\text{-}p}$ ἀδελφός^{nvmp} οἶδα^{vixa2p} ὁ^{dafs} οἰκία^{nafs} Στεφανᾶς^{ngms} ὅτι^{c} εἰμί^{vipx3s} ἀπαρχή^{nnfs} ὁ^{dgfs} Ἀχαΐα^{ngfs} καί^{c} εἰς^{p} διακονία^{nafs} ὁ^{ddmp} ἅγιος^{admpn} τάσσω^{viaa3p} ἑαυτοῦ^{rxamp}. **v.16** ἵνα^{c} καί^{c} σύ$^{rpn\text{-}p}$ ὑποτάσσω^{vspp2p} ὁ^{ddmp} τοιοῦτος^{rddmp} καί^{c} πᾶς^{admsn} ὁ^{ddms} συνεργέω^{vppadms} καί^{c} κοπιάω^{vppadms}. **v.17** χαίρω^{vipa1s} δέ^{c} ἐπί^{p} ὁ^{ddfs} παρουσία^{ndfs} Στεφανᾶς^{ngms} καί^{c} Φορτουνᾶτος^{ngms} καί^{c} Ἀχαϊκός^{ngms} ὅτι^{c} ὁ^{dans} σύ$^{rpg\text{-}p}$ ὑστέρημα^{nans} οὗτος^{rdnmp} ἀναπληρόω^{viaa3p}. **v.18** ἀναπαύω^{viaa3p} γάρ^{c} ὁ^{dans} ἐμός^{rsans} πνεῦμα^{nans} καί^{c} ὁ^{dans} σύ$^{rpg\text{-}p}$ ἐπιγινώσκω^{vdpa2p} οὖν^{c} ὁ^{damp} τοιοῦτος^{rdamp}. **v.19** ἀσπάζομαι^{vipn3p} σύ$^{rpa\text{-}p}$ ὁ^{dnfp} ἐκκλησία^{nnfp} ὁ^{dgfs} Ἀσία^{ngfs} ἀσπάζομαι^{vipn3p} σύ$^{rpa\text{-}p}$ ἐν^{p} κύριος^{ndms} πολύς^{aanpn} Ἀκύλας^{nnms} καί^{c} Πρίσκα^{nnfs} σύν^{p} ὁ^{ddfs} κατά^{p} οἶκος^{nams} αὐτός^{rpgmp} ἐκκλησία^{ndfs}. **v.20** ἀσπάζομαι^{vipn3p} σύ$^{rpa\text{-}p}$ ὁ^{dnmp} ἀδελφός^{nnmp} πᾶς^{anmpn} ἀσπάζομαι^{vdad2p} ἀλλήλων^{reamp} ἐν^{p} φίλημα^{ndns} ἅγιος^{adnsn}. **v.21** ὁ^{dnms} ἀσπασμός^{nnms} ὁ^{ddfs} ἐμός^{rsdfs} χείρ^{ndfs} Παῦλος^{ngms}. **v.22** εἰ^{qo} τι-σρινμσ οὐ^{xo} φιλέω^{vipa3s} ὁ^{dams} κύριος^{nams} Ἰησοῦς^{nams} Χριστός^{nams} εἰμί^{vdpx3s} ἀνάθεμα^{nnns} μαράνα^{ta} μαράνα^{ta}. **v.23** ὁ^{dnfs} χάρις^{nnfs} ὁ^{dgms} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} μετά^{p} σύ$^{rpg\text{-}p}$. **v.24** ὁ^{dnfs} ἀγάπη^{nnfs} ἐγώ$^{rpg\text{-}s}$ μετά^{p} πᾶς^{agmpn} σύ$^{rpg\text{-}p}$ ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} ἀμήνth πρός^{p} Κορίνθιος^{aampn} πρῶτος^{anfsn} γράφω^{viap3s} ἀπό^{p} Φίλιπποι^{ngms} διά^{p} Στεφανᾶς^{ngms} καί^{c} Φορτουνᾶτος^{ngms} καί^{c} Ἀχαϊκός^{ngms} καί^{c} Τιμόθεος^{ngms}.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΤΟΥΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ

Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, καὶ **1**
Τιμόθεος ὁ ἀδελφός, τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίν-
θῳ, σὺν τοῖς ἁγίοις πᾶσι τοῖς οὖσιν ἐν ὅλῃ τῇ Ἀχαΐᾳ, χάρις ὑμῖν 2
καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.
Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, 3
ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως, ὁ πα- 4
ρακαλῶν ἡμᾶς ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν, εἰς τὸ δύνασθαι ἡμᾶς
παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει, διὰ τῆς παρακλήσεως ἧς πα-
ρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ, ὅτι καθὼς περισσεύει τὰ 5
παθήματα τοῦ Χριστοῦ εἰς ἡμᾶς, οὕτω διὰ Χριστοῦ περισσεύει
καὶ ἡ παράκλησις ἡμῶν. εἴτε δὲ θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν 6
παρακλήσεως καὶ σωτηρίας, τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν
αὐτῶν παθημάτων ὧν καὶ ἡμεῖς πάσχομεν, εἴτε παρακαλού-
μεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας, καὶ ἡ ἐλπὶς
ἡμῶν βεβαία ὑπὲρ ὑμῶν. εἰδότες ὅτι ὥσπερ κοινωνοί ἐστε τῶν 7
παθημάτων οὕτως καὶ τῆς παρακλήσεως. οὐ γὰρ θέλομεν ὑ- 8
μᾶς ἀγνοεῖν, ἀδελφοί, ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης
ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν,

---

1. v.1 Παῦλος^{nnms} ἀπόστολος^{nnms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} διά^{p} θέλημα^{ngns} θεός^{ngms} καί^{c} Τιμόθεος^{nnms} ὁ^{dnms} ἀδελφός^{nnms} ὁ^{ddfs} ἐκκλησία^{ndfs} ὁ^{dgms} θεός^{ngms} ὁ^{ddfs} εἰμί^{vppxdfs} ἐν^{p} Κόρινθος^{ndfs} σύν^{p} ὁ^{ddmp} ἅγιος^{admpn} πᾶς^{admpn} ὁ^{ddmp} εἰμί^{vppxdmp} ἐν^{p} ὅλος^{adfsn} ὁ^{ddfs} Ἀχαΐα^{ndfs}. **v.2** χάρις^{nnfs} σύ$^{rpd-p}$ καί^{c} εἰρήνη^{nnfs} ἀπό^{p} θεός^{ngms} πατήρ^{ngms} ἐγώ$^{rpg-p}$ καί^{c} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.3** εὐλογητός^{anmsn} ὁ^{dnms} θεός^{nnms} καί^{c} πατήρ^{nnms} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} ὁ^{dnms} πατήρ^{nnms} ὁ^{dgmp} οἰκτιρμός^{ngmp} καί^{c} θεός^{nnms} πᾶς^{agfsn} παράκλησις^{ngfs}. **v.4** ὁ^{dnms} παρακαλέω^{vppanms} ἐγώ$^{rpa-p}$ ἐπί^{p} πᾶς^{adfsn} ὁ^{ddfs} θλῖψις^{ndfs} ἐγώ$^{rpg-p}$ εἰς^{p} ὁ^{dans} δύναμαι^{vnpn} ἐγώ$^{rpa-p}$ παρακαλέω^{vnpa} ὁ^{damp} ἐν^{p} πᾶς^{adfsn} θλῖψις^{ndfs} διά^{p} ὁ^{dgfs} παράκλησις^{ngfs} ὅς^{rrgfs} παρακαλέω^{vipp1p} αὐτός^{rpnmp} ὑπό^{p} ὁ^{dgms} θεός^{ngms}. **v.5** ὅτι^{c} καθώς^{bo} περισσεύω^{vipa3s} ὁ^{dnnp} πάθημα^{nnnp} ὁ^{dgms} Χριστός^{ngms} εἰς^{p} ἐγώ$^{rpa-p}$ οὕτω^{bo} διά^{p} Χριστός^{ngms} περισσεύω^{vipa3s} καί^{c} ὁ^{dnfs} παράκλησις^{nnfs} ἐγώ$^{rpg-p}$. **v.6** εἴτε^{c} δέ^{c} θλίβω^{vipp1p} ὑπέρ^{p} ὁ^{dgfs} σύ$^{rpg-p}$ παράκλησις^{ngfs} καί^{c} σωτηρία^{ngfs} ὁ^{dgfs} ἐνεργέω^{vppmgfs} ἐν^{p} ὑπομονή^{ndfs} ὁ^{dgnp} αὐτός^{rpgnp} πάθημα^{ngnp} ὅς^{rrgnp} καί^{c} ἐγώ$^{rpn-p}$ πάσχω^{vipa1p} εἴτε^{c} παρακαλέω^{vipp1p} ὑπέρ^{p} ὁ^{dgfs} σύ$^{rpg-p}$ παράκλησις^{ngfs} καί^{c} σωτηρία^{ngfs} καί^{c} ὁ^{dnfs} ἐλπίς^{nnfs} ἐγώ$^{rpg-p}$ βέβαιος^{anfsn} ὑπέρ^{p} σύ$^{rpg-p}$. **v.7** οἶδα^{vpxanmp} ὅτι^{c} ὥσπερ^{bo} κοινωνός^{anmpn} εἰμί^{vipx2p} ὁ^{dgnp} πάθημα^{ngnp} οὕτω^{bo} καί^{c} ὁ^{dgfs} παράκλησις^{ngfs}.

9 ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν. ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς
τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν
10 ἐφ' ἑαυτοῖς ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς, ὃς ἐκ
τηλικούτου θανάτου ἐρρύσατο ἡμᾶς καὶ ῥύεται, εἰς ὃν ἠλπί-
11 καμεν ὅτι καὶ ἔτι ῥύσεται, συνυπουργούντων καὶ ὑμῶν ὑπὲρ
ἡμῶν τῇ δεήσει, ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα
12 διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν. Ἡ γὰρ καύχησις ἡμῶν
αὕτη ἐστί, τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν, ὅτι ἐν ἁπλότητι
καὶ εἰλικρινείᾳ Θεοῦ, οὐκ ἐν σοφίᾳ σαρκικῇ ἀλλ' ἐν χάριτι Θε-
οῦ, ἀνεστράφημεν ἐν τῷ κόσμῳ, περισσοτέρως δὲ πρὸς ὑμᾶς.
13 οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν, ἀλλ' ἢ ἃ ἀναγινώσκετε ἢ καὶ ἐπι-
14 γινώσκετε, ἐλπίζω δὲ ὅτι καὶ ἕως τέλους ἐπιγνώσεσθε, καθὼς
καὶ ἐπέγνωτε ἡμᾶς ἀπὸ μέρους, ὅτι καύχημα ὑμῶν ἐσμεν κα-
15 θάπερ καὶ ὑμεῖς ἡμῶν, ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ. Καὶ
ταύτῃ τῇ πεποιθήσει ἐβουλόμην πρὸς ὑμᾶς ἐλθεῖν πρότερον,
16 ἵνα δευτέραν χάριν ἔχῃτε, καὶ δι' ὑμῶν διελθεῖν εἰς Μακεδο-
νίαν, καὶ πάλιν ἀπὸ Μακεδονίας ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ὑφ'
17 ὑμῶν προπεμφθῆναι εἰς τὴν Ἰουδαίαν. τοῦτο οὖν βουλευόμε-
νος, μή τι ἄρα τῇ ἐλαφρίᾳ ἐχρησάμην· ἢ ἃ βουλεύομαι, κατὰ
σάρκα βουλεύομαι, ἵνα ᾖ παρ' ἐμοὶ τὸ Ναὶ ναὶ καὶ τὸ Οὒ οὔ·

---

v.8 οὐ^xo γάρ^c θέλω^vipa1p σύ^rpa-p ἀγνοέω^vnpa ἀδελφός^nvmp ὑπέρ^p ὁ^dgfs θλῖψις^ngfs ἐγώ^rpg-p ὁ^dgfs γίνομαι^vpadgfs ἐγώ^rpd-p ἐν^p ὁ^ddfs Ἀσία^ndfs ὅτι^c κατά^p ὑπερβολή^nafs βαρέω^viap1p ὑπέρ^p δύναμις^nafs ὥστε^c ἐξαπορέομαι^vnap ἐγώ^rpa-p καί^c ὁ^dgms ζάω^vnpa. **v.9** ἀλλά^c αὐτός^rpnmp ἐν^p ἑαυτοῦ^rxdmp ὁ^dans ἀπόκριμα^nans ὁ^dgms θάνατος^ngms ἔχω^vixa1p ἵνα^c μή^xo πείθω^vpxanmp εἰμί^vspx1p ἐπί^p ἑαυτοῦ^rxdmp ἀλλά^c ἐπί^p ὁ^ddms θεός^ndms ὁ^ddms ἐγείρω^vppadms ὁ^damp νεκρός^aampn. **v.10** ὅς^rrnms ἐκ^p τηλικοῦτος^rdgms θάνατος^ngms ῥύομαι^vian3s ἐγώ^rpa-p καί^c ῥύομαι^vipn3s εἰς^p ὅς^rrams ἐλπίζω^vixa1p ὅτι^c καί^c ἔτι^bo ῥύομαι^vifd3s. **v.11** συνυπουργέω^vppagmp καί^c σύ^rpg-p ὑπέρ^p ἐγώ^rpg-p ὁ^ddfs δέησις^ndfs ἵνα^c ἐκ^p πολύς^agnpn πρόσωπον^ngnp ὁ^dnns εἰς^p ἐγώ^rpa-p χάρισμα^nnns διά^p πολύς^agnpn εὐχαριστέω^vsap3s ὑπέρ^p ἐγώ^rpg-p. **v.12** ὁ^dnfs γάρ^c καύχησις^nnfs ἐγώ^rpg-p οὗτος^rdnfs εἰμί^vipx3s ὁ^dnns μαρτύριον^nnns ὁ^dgfs συνείδησις^ngfs ἐγώ^rpg-p ὅτι^c ἐν^p ἁπλότης^ndfs καί^c εἰλικρίνεια^ndfs θεός^ngms οὐ^xo ἐν^p σοφία^ndfs σαρκικός^adfsn ἀλλά^c ἐν^p χάρις^ndfs θεός^ngms ἀναστρέφω^viap1p ἐν^p ὁ^ddms κόσμος^ndms περισσοτέρως^bo δέ^c πρός^p σύ^rpa-p. **v.13** οὐ^xo γάρ^c ἄλλος^aanpn γράφω^vipa1p σύ^rpd-p ἀλλά^c ἤ^xo ὅς^rranp ἀναγινώσκω^vipa2p ἤ^xo καί^c ἐπιγινώσκω^vipa2p ἐλπίζω^vipa1s δέ^c ὅτι^c καί^c ἕως^c τέλος^ngns ἐπιγινώσκω^vifd2p. **v.14** καθώς^bo καί^c ἐπιγινώσκω^viaa2p ἐγώ^rpa-p ἀπό^p μέρος^ngns ὅτι^c καύχημα^nnns σύ^rpg-p εἰμί^vipx1p καθάπερ^bo καί^c σύ^rpn-p ἐγώ^rpg-p ἐν^p ὁ^ddfs ἡμέρα^ndfs ὁ^dgms κύριος^ngms Ἰησοῦς^ngms. **v.15** καί^c οὗτος^rddfs ὁ^ddfs πεποίθησις^ndfs βούλομαι^viin1s πρός^p σύ^rpa-p ἔρχομαι^vnaa πρότερος^bo ἵνα^c δεύτερος^aafsn χάρις^nafs ἔχω^vspa2p. **v.16** καί^c διά^p σύ^rpg-p διέρχομαι^vnaa εἰς^p Μακεδονία^nafs καί^c πάλιν^bo ἀπό^p Μακεδονία^ngfs ἔρχομαι^vnaa πρός^p σύ^rpa-p καί^c ὑπό^p σύ^rpg-p προπέμπω^vnap εἰς^p ὁ^dafs Ἰουδαία^nafs. **v.17** οὗτος^rdans οὖν^c βουλεύομαι^vppnnms μή^xo τίς^rians ἄρα^xo ὁ^ddfs ἐλαφρία^ndfs χράομαι^viad1s ἤ^xo ὅς^rranp βουλεύομαι^vipn1s κατά^p σάρξ^nafs βουλεύομαι^vipn1s ἵνα^c εἰμί^vspx3s παρά^p ἐγώ^rpd-s ὁ^dnns ναί^xo ναί^xo καί^c ὁ^dnns οὐ^xo οὔ^xo.

πιστὸς δὲ ὁ Θεός, ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ ἐγένετο 18
ναὶ καὶ οὔ. ὁ γὰρ τοῦ Θεοῦ υἱὸς Ἰησοῦς Χριστὸς ὁ ἐν ὑμῖν 19
δι᾽ ἡμῶν κηρυχθείς, δι᾽ ἐμοῦ καὶ Σιλουανοῦ καὶ Τιμοθέου, οὐκ
ἐγένετο ναὶ καὶ οὔ, ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονεν. ὅσαι γὰρ ἐ- 20
παγγελίαι Θεοῦ, ἐν αὐτῷ τὸ ναί, καὶ ἐ αὐτῷ τὸ ἀμήν, τῷ Θεῷ
πρὸς δόξαν δι᾽ ἡμῶν. ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν, 21
καὶ χρίσας ἡμᾶς, Θεός, ὁ καὶ σφραγισάμενος ἡμᾶς, καὶ δοὺς 22
τὸν ἀρραβῶνα τοῦ Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν. Ἐγὼ δὲ 23
μάρτυρα τὸν Θεὸν ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχήν, ὅτι φειδό-
μενος ὑμῶν οὐκέτι ἦλθον εἰς Κόρινθον. οὐχ ὅτι κυριεύομεν 24
ὑμῶν τῆς πίστεως, ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν, τῇ
γὰρ πίστει ἑστήκατε.

ἔκρινα δὲ ἐμαυτῷ τοῦτο, τὸ μὴ πάλιν ἐλθειν ἐν λύπῃ πρὸς **2**
ὑμᾶς. εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς ἐστιν ὁ εὐφραίνων με, εἰ 2
μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ· καὶ ἔγραψα ὑμῖν τοῦτο αὐτὸ ἵνα μὴ 3
ἐλθὼν λύπην ἔχω ἀφ᾽ ὧν ἔδει με χαίρειν, πεποιθὼς ἐπὶ πάντας
ὑμᾶς, ὅτι ἡ ἐμὴ χαρὰ πάντων ὑμῶν ἐστιν. ἐκ γὰρ πολλῆς θλί- 4
ψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων,
οὐχ ἵνα λυπηθῆτε, ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε ἣν ἔχω περισσο-
τέρως εἰς ὑμᾶς. Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν, ἀλ᾽λ 5
ἀπὸ μέρους, ἵνα μὴ ἐπιβαρῶ πάντας ὑμᾶς. ἱκανὸν τῷ τοιούτῳ 6

---

v.18 πιστός^{anmsn} δέ^{c} ὁ^{dnms} θεός^{nnms} ὅτι^{c} ὁ^{dnms} λόγος^{nnms} ἐγώ$^{rpg\text{-}p}$ ὁ^{dnms} πρός^{p} σύ$^{rpa\text{-}p}$ οὐ^{xo} γίνομαι^{viad3s} ναί^{xo} καί^{c} οὐ^{xo}. **v.19** ὁ^{dnms} γάρ^{c} ὁ^{dgms} θεός^{ngms} υἱός^{nnms} Ἰησοῦς^{nnms} Χριστός^{nnms} ὁ^{dnms} ἐν^{p} σύ$^{rpd\text{-}p}$ διά^{p} ἐγώ$^{rpg\text{-}p}$ κηρύσσω^{vpapnms} διά^{p} ἐγώ$^{rpg\text{-}s}$ καί^{c} Σιλουανός^{ngms} καί^{c} Τιμόθεος^{ngms} οὐ^{xo} γίνομαι^{viad3s} ναί^{xo} καί^{c} οὐ^{xo} ἀλλά^{c} ναί^{xo} ἐν^{p} αὐτός^{rpdms} γίνομαι^{vixa3s}. **v.20** ὅσος^{rcnfp} γάρ^{c} ἐπαγγελία^{nnfp} θεός^{ngms} ἐν^{p} αὐτός^{rpdms} ὁ^{dnns} ναί^{xo} καί^{c} ἐν^{p} αὐτός^{rpdms} ὁ^{dnns} ἀμήνth ὁ^{ddms} θεός^{ndms} πρός^{p} δόξα^{nafs} διά^{p} ἐγώ$^{rpg\text{-}p}$. **v.21** ὁ^{dnms} δέ^{c} βεβαιόω^{vppanms} ἐγώ$^{rpa\text{-}p}$ σύν^{p} σύ$^{rpd\text{-}p}$ εἰς^{p} Χριστός^{nams} καί^{c} χρίω^{vpaanms} ἐγώ$^{rpa\text{-}p}$ θεός^{nnms}. **v.22** ὁ^{dnms} καί^{c} σφραγίζω^{vpamnms} ἐγώ$^{rpa\text{-}p}$ καί^{c} δίδωμι^{vpaanms} ὁ^{dams} ἀρραβών^{nams} ὁ^{dgns} πνεῦμα^{ngns} ἐν^{p} ὁ^{ddfp} καρδία^{ndfp} ἐγώ$^{rpg\text{-}p}$. **v.23** ἐγώ$^{rpn\text{-}s}$ δέ^{c} μάρτυς^{nams} ὁ^{dams} θεός^{nams} ἐπικαλέω^{vipm1s} ἐπί^{p} ὁ^{dafs} ἐμός^{rsafs} ψυχή^{nafs} ὅτι^{c} φείδομαι^{vppnnms} σύ$^{rpg\text{-}p}$ οὐκέτι^{bo} ἔρχομαι^{viaa1s} εἰς^{p} Κόρινθος^{nafs}. **v.24** οὐ^{xo} ὅτι^{c} κυριεύω^{vipa1p} σύ$^{rpg\text{-}p}$ ὁ^{dgfs} πίστις^{ngfs} ἀλλά^{c} συνεργός^{anmpn} εἰμί^{vipx1p} ὁ^{dgfs} χαρά^{ngfs} σύ$^{rpg\text{-}p}$ ὁ^{ddfs} γάρ^{c} πίστις^{ndfs} ἵστημι^{vixa2p}. **2. v.1** κρίνω^{viaa1s} δέ^{c} ἐμαυτοῦ^{rxdms} οὗτος^{rdans} ὁ^{dans} μή^{xo} πάλιν^{bo} ἔρχομαι^{vnaa} ἐν^{p} λύπη^{ndfs} πρός^{p} σύ$^{rpa\text{-}p}$. **v.2** εἰ^{qo} γάρ^{c} ἐγώ$^{rpn\text{-}s}$ λυπέω^{vipa1s} σύ$^{rpa\text{-}p}$ καί^{c} τίς^{rqnms} εἰμί^{vipx3s} ὁ^{dnms} εὐφραίνω^{vppanms} ἐγώ$^{rpa\text{-}s}$ εἰ^{qo} μή^{xo} ὁ^{dnms} λυπέω^{vpppnms} ἐκ^{p} ἐγώ$^{rpg\text{-}s}$. **v.3** καί^{c} γράφω^{viaa1s} σύ$^{rpd\text{-}p}$ οὗτος^{rdans} αὐτός^{rpans} ἵνα^{c} μή^{xo} ἔρχομαι^{vpaanms} λύπη^{nafs} ἔχω^{vspa1s} ἀπό^{p} ὅς^{rrgmp} δεῖ^{viiq3s} ἐγώ$^{rpa\text{-}s}$ χαίρω^{vnpa} πείθω^{vpxanms} ἐπί^{p} πᾶς^{aampn} σύ$^{rpa\text{-}p}$ ὅτι^{c} ὁ^{dnfs} ἐμός^{rsnfs} χαρά^{nnfs} πᾶς^{agmpn} σύ$^{rpg\text{-}p}$ εἰμί^{vipx3s}. **v.4** ἐκ^{p} γάρ^{c} πολύς^{agfsn} θλῖψις^{ngfs} καί^{c} συνοχή^{ngfs} καρδία^{ngfs} γράφω^{viaa1s} σύ$^{rpd\text{-}p}$ διά^{p} πολύς^{agnpn} δάκρυον^{ngnp} οὐ^{xo} ἵνα^{c} λυπέω^{vsap2p} ἀλλά^{c} ὁ^{dafs} ἀγάπη^{nafs} ἵνα^{c} γινώσκω^{vsaa2p} ὅς^{rrafs} ἔχω^{vipa1s} περισσοτέρως^{bo} εἰς^{p} σύ$^{rpa\text{-}p}$. **v.5** εἰ^{qo} δέ^{c} τι-σρινμσ λυπέω^{vixa3s} οὐ^{xo} ἐγώ$^{rpa\text{-}s}$ λυπέω^{vixa3s} ἀλλά^{c} ἀπό^{p} μέρος^{ngns} ἵνα^{c} μή^{xo} ἐπιβαρέω^{vspa1s} πᾶς^{aampn} σύ$^{rpa\text{-}p}$.

7 ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων, ὥστε τοὐναντίον μᾶλλον
ὑμᾶς χαρίσασθαι καὶ παρακαλέσαι, μή πως τῇ περισσοτέρᾳ
8 λύπῃ καταποθῇ ὁ τοιοῦτος. διὸ παρακαλῶ ὑμᾶς κυρῶσαι εἰς
9 αὐτὸν ἀγάπην. εἰς τοῦτο γὰρ καὶ ἔγραψα, ἵνα γνῶ τὴν δοκι-
10 μὴν ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί ἐστε. ᾧ δέ τι χαρίζεσθε, καὶ
ἐγώ, καὶ γὰρ ἐγὼ εἴ τι κεχάρισμαι, ᾧ κεχάρισμαι, δι᾽ ὑμᾶς ἐν
11 προσώπῳ Χριστοῦ, ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ,
12 οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. Ἐλθὼν δὲ εἰς τὴν Τρῳ-
άδα εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ θύρας μοι ἀνεῳγμένης
13 ἐν Κυρίῳ, οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου, τῷ μὴ εὑρεῖν
με Τίτον τὸν ἀδελφόν μου, ἀλλὰ ἀποταξάμενος αὐτοῖς ἐξῆλθον
14 εἰς Μακεδονίαν. τῷ δὲ Θεῷ χάρις τῷ πάντοτε θριαμβεύοντι
ἡμᾶς ἐν τῷ Χριστῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανε-
15 ροῦντι δι᾽ ἡμῶν ἐν παντὶ τόπῳ. ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ
16 Θεῷ ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις, οἷς μὲν ὀ-
σμὴ θανάτου εἰς θάνατον, οἷς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν. καὶ πρὸς
17 ταῦτα τίς ἱκανός· οὐ γάρ ἐσμεν ὡς οἱ πολλοί, καπηλεύοντες
τὸν λόγον τοῦ Θεοῦ. ἀλλ᾽ ὡς ἐξ εἰλικρινείας, ἀλλ᾽ ὡς ἐκ Θεοῦ
κατενώπιον τοῦ Θεοῦ, ἐν Χριστῷ λαλοῦμεν.

3 Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν· ἢ μὴ χρῄζομεν, ὥς τι-

---

v.6 ἱκανός^{annsn} ὁ^{ddms} τοιοῦτος^{rddms} ὁ^{dnfs} ἐπιτιμία^{nnfs} οὗτος^{rdnfs} ὁ^{dnfs} ὑπό^{p} ὁ^{dgmp} πολύς^{agmpc}.
v.7 ὥστε^{c} ἐναντίον^{bo} μᾶλλον^{bo} σύ$^{rpa-p}$ χαρίζομαι^{vnad} καί^{c} παρακαλέω^{vnaa} μή&πώς^{c} ὁ^{ddfs} περισσός^{adfsc} λύπη^{ndfs} καταπίνω^{vsap3s} ὁ^{dnms} τοιοῦτος^{rdnms}. **v.8** διό^{c} παρακαλέω^{vipa1s} σύ$^{rpa-p}$ κυρόω^{vnaa} εἰς^{p} αὐτός^{rpams} ἀγάπη^{nafs}. **v.9** εἰς^{p} οὗτος^{rdans} γάρ^{c} καί^{c} γράφω^{viaa1s} ἵνα^{c} γινώσκω^{vsaa1s} ὁ^{dafs} δοκιμή^{nafs} σύ$^{rpg-p}$ εἰ^{qo} εἰς^{p} πᾶς^{aanpn} ὑπήκοος^{anmpn} εἰμί^{vipx2p}. **v.10** ὅς^{rrdms} δέ^{c} τι-σριανσ χαρίζομαι^{vipn2p} καί^{c} ἐγώ$^{rpn-s}$ καί^{c} γάρ^{c} ἐγώ$^{rpn-s}$ εἰ^{qo} τι-σριανσ χαρίζομαι^{vixn1s} ὅς^{rrdms} χαρίζομαι^{vixn1s} διά^{p} σύ$^{rpa-p}$ ἐν^{p} πρόσωπον^{ndns} Χριστός^{ngms}. **v.11** ἵνα^{c} μή^{xo} πλεονεκτέω^{vsap1p} ὑπό^{p} ὁ^{dgms} Σατανᾶς^{ngms} οὐ^{xo} γάρ^{c} αὐτός^{rpgms} ὁ^{danp} νόημα^{nanp} ἀγνοέω^{vipa1p}. **v.12** ἔρχομαι^{vpaanms} δέ^{c} εἰς^{p} ὁ^{dafs} Τρῳάς^{nafs} εἰς^{p} ὁ^{dans} εὐαγγέλιον^{nans} ὁ^{dgms} Χριστός^{ngms} καί^{c} θύρα^{ngfs} ἐγώ$^{rpd-s}$ ἀνοίγω^{vpxpgfs} ἐν^{p} κύριος^{ndms}. **v.13** οὐ^{xo} ἔχω^{vixa1s} ἄνεσις^{nafs} ὁ^{ddns} πνεῦμα^{ndns} ἐγώ$^{rpg-s}$ ὁ^{ddms} μή^{xo} εὑρίσκω^{vnaa} ἐγώ$^{rpa-s}$ Τίτος^{nams} ὁ^{dams} ἀδελφός^{nams} ἐγώ$^{rpg-s}$ ἀλλά^{c} ἀποτάσσω^{vpamnms} αὐτός^{rpdmp} ἐξέρχομαι^{viaa1s} εἰς^{p} Μακεδονία^{nafs}. **v.14** ὁ^{ddms} δέ^{c} θεός^{ndms} χάρις^{nnfs} ὁ^{ddms} πάντοτε^{bo} θριαμβεύω^{vppadms} ἐγώ$^{rpa-p}$ ἐν^{p} ὁ^{ddms} Χριστός^{ndms} καί^{c} ὁ^{dafs} ὀσμή^{nafs} ὁ^{dgfs} γνῶσις^{ngfs} αὐτός^{rpgms} φανερόω^{vppadms} διά^{p} ἐγώ$^{rpg-p}$ ἐν^{p} πᾶς^{admsn} τόπος^{ndms}. **v.15** ὅτι^{c} Χριστός^{ngms} εὐωδία^{nnfs} εἰμί^{vipx1p} ὁ^{ddms} θεός^{ndms} ἐν^{p} ὁ^{ddmp} σῴζω^{vpppdmp} καί^{c} ἐν^{p} ὁ^{ddmp} ἀπόλλυμι^{vppedmp}. **v.16** ὅς^{rrdmp} μέν^{xo} ὀσμή^{nnfs} θάνατος^{ngms} εἰς^{p} θάνατος^{nams} ὅς^{rrdmp} δέ^{c} ὀσμή^{nnfs} ζωή^{ngfs} εἰς^{p} ζωή^{nafs} καί^{c} πρός^{p} οὗτος^{rdanp} τίς^{rqnms} ἱκανός^{anmsn}. **v.17** οὐ^{xo} γάρ^{c} εἰμί^{vipx1p} ὡς^{bo} ὁ^{dnmp} πολύς^{anmpn} καπηλεύω^{vppanmp} ὁ^{dams} λόγος^{nams} ὁ^{dgms} θεός^{ngms} ἀλλά^{c} ὡς^{bo} ἐκ^{p} εἰλικρίνεια^{ngfs} ἀλλά^{c} ὡς^{bo} ἐκ^{p} θεός^{ngms} κατενώπιον^{p} ὁ^{dgms} θεός^{ngms} ἐν^{p} Χριστός^{ndms} λαλέω^{vipa1p}.

νες, συστατικῶν ἐπιστολῶν πρὸς ὑμᾶς, ἢ ἐξ ὑμῶν συστατικῶν·
ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε, ἐγγεγραμμένη ἐν ταῖς καρδίαις 2
ἡμῶν, γινωσκομένη καὶ ἀναγινωσκομένη ὑπὸ πάντων ἀνθρώ-
πων, φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ διακονηθεῖσα 3
ὑφ' ἡμῶν, ἐγγεγραμμένη οὐ μέλανι, ἀλλὰ Πνεύματι Θεοῦ ζων-
τος, οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶν καρδίας σαρκίναις.
πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ Χριστοῦ πρὸς τὸν Θε- 4
όν, οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν λογίσασθαί τι ὡς ἐξ ἑαυ- 5
τῶν, ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ, ὃς καὶ ἱκάνωσεν ἡμᾶς 6
διακόνους καινῆς διαθήκης, οὐ γράμματος ἀλλὰ πνεύματος,
τὸ γὰρ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ. εἰ δὲ ἡ 7
διακονία τοῦ θανάτου ἐν γράμμασιν, ἐντετυπωμένη ἐν λίθοις,
ἐγενήθη ἐν δόξῃ, ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς Ἰσ-
ραὴλ εἰς τὸ πρόσωπον Μωσέως διὰ τὴν δόξαν τοῦ προσώπου
αὐτοῦ, τὴν καταργουμένην, πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ 8
πνεύματος ἔσται ἐν δόξῃ· εἰ γὰρ ἡ διακονίᾳ τῆς κατακρίσεως 9
δόξα, πολλῷ μᾶλλον περισσεύει ἡ διακονία τῆς δικαιοσύνης ἐν
δόξῃ. καὶ γὰρ οὐδὲ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ 10
μέρει, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης. εἰ γὰρ τὸ καταργού- 11
μενον, διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον, ἐν δόξῃ. Ἔχοντες 12
οὖν τοιαύτην ἐλπίδα, πολλῇ παρρησίᾳ χρώμεθα, καὶ οὐ κα- 13

---

3. **v.1** ἄρχω^{vipm1p} πάλιν^{bo} ἑαυτοῦ^{rxamp} συνίστημι^{vnpa} ἤ^{xo} μή^{xo} χρήζω^{vipa1p} ὡς^{bo} τι-
-σρινμπ συστατικός^{agmpn} ἐπιστολή^{ngfp} πρός^{p} σύ$^{rpa-p}$ ἤ^{xo} ἐκ^{p} σύ$^{rpg-p}$ συστατικός^{agmpn}.
v.2 ὁ^{dnfs} ἐπιστολή^{nnfs} ἐγώ$^{rpg-p}$ σύ$^{rpn-p}$ εἰμί^{vipx2p} ἐγγράφω^{vpxpnfs} ἐν^{p} ὁ^{ddfp} καρδία^{ndfp} ἐγώ$^{rpg-p}$
γινώσκω^{vpppnfs} καί^{c} ἀναγινώσκω^{vpppnfs} ὑπό^{p} πᾶς^{agmpn} ἄνθρωπος^{ngmp}. **v.3** φανερόω^{vpppnmp}
ὅτι^{c} εἰμί^{vipx2p} ἐπιστολή^{nnfs} Χριστός^{ngms} διακονέω^{vpapnfs} ὑπό^{p} ἐγώ$^{rpg-p}$ ἐγγράφω^{vpxpnfs} οὐ^{xo}
μέλας^{adnsn} ἀλλά^{c} πνεῦμα^{ndns} θεός^{ngms} ζάω^{vppagms} οὐ^{xo} ἐν^{p} πλάξ^{ndfp} λίθινος^{adfpn} ἀλλά^{c} ἐν^{p}
πλάξ^{ndfp} καρδία^{ngfs} σάρκινος^{adfpn}. **v.4** πεποίθησις^{nafs} δέ^{c} τοιοῦτος^{rdafs} ἔχω^{vipa1p} διά^{p}
ὁ^{dgms} Χριστός^{ngms} πρός^{p} ὁ^{dams} θεός^{nams}. **v.5** οὐ^{xo} ὅτι^{c} ἱκανός^{anmpn} εἰμί^{vipx1p} ἀπό^{p}
ἑαυτοῦ^{rxgmp} λογίζομαι^{vnad} τι-σριανσ ὡς^{bo} ἐκ^{p} ἑαυτοῦ^{rxgmp} ἀλλά^{c} ὁ^{dnfs} ἱκανότης^{nnfs} ἐγώ$^{rpg-p}$
ἐκ^{p} ὁ^{dgms} θεός^{ngms}. **v.6** ὅς^{rrnms} καί^{c} ἱκανόω^{viaa3s} ἐγώ$^{rpa-p}$ διάκονος^{namp} καινός^{agfsn}
διαθήκη^{ngfs} οὐ^{xo} γράμμα^{ngns} ἀλλά^{c} πνεῦμα^{ngns} ὁ^{dnns} γάρ^{c} γράμμα^{nnns} ἀποκτείνω^{vipa3s} ὁ^{dnns}
δέ^{c} πνεῦμα^{nnns} ζωοποιέω^{vipa3s}. **v.7** εἰ^{qo} δέ^{c} ὁ^{dnfs} διακονία^{nnfs} ὁ^{dgms} θάνατος^{ngms} ἐν^{p}
γράμμα^{ndnp} ἐντυπόω^{vpxpnfs} ἐν^{p} λίθος^{ndmp} γίνομαι^{viao3s} ἐν^{p} δόξα^{ndfs} ὥστε^{c} μή^{xo} δύναμαι^{vnpn}
ἀτενίζω^{vnaa} ὁ^{damp} υἱός^{namp} Ἰσραήλ^{tp} εἰς^{p} ὁ^{dans} πρόσωπον^{nans} Μωϋσῆς^{ngms} διά^{p} ὁ^{dafs} δόξα^{nafs}
ὁ^{dgns} πρόσωπον^{ngns} αὐτός^{rpgms} ὁ^{dafs} καταργέω^{vpppafs}. **v.8** πῶς^{bo} οὐχί^{xo} μᾶλλον^{bo} ὁ^{dnfs}
διακονία^{nnfs} ὁ^{dgns} πνεῦμα^{ngns} εἰμί^{vifx3s} ἐν^{p} δόξα^{ndfs}. **v.9** εἰ^{qo} γάρ^{c} ὁ^{dnfs} διακονία^{nnfs}
ὁ^{dgfs} κατάκρισις^{ngfs} δόξα^{nnfs} πολύς^{admsn} μᾶλλον^{bo} περισσεύω^{vipa3s} ὁ^{dnfs} διακονία^{nnfs} ὁ^{dgfs}
δικαιοσύνη^{ngfs} ἐν^{p} δόξα^{ndfs}. **v.10** καί^{c} γάρ^{c} οὐδέ^{bo} δοξάζω^{vixp3s} ὁ^{dnns} δοξάζω^{vpxpnns}
ἐν^{p} οὗτος^{rddns} ὁ^{ddns} μέρος^{ndns} ἕνεκα^{bo} ὁ^{dgfs} ὑπερβάλλω^{vppagfs} δόξα^{ngfs}. **v.11** εἰ^{qo} γάρ^{c}
ὁ^{dnns} καταργέω^{vpppnns} διά^{p} δόξα^{ngfs} πολύς^{admsn} μᾶλλον^{bo} ὁ^{dnns} μένω^{vppanns} ἐν^{p} δόξα^{ndfs}.
v.12 ἔχω^{vppanmp} οὖν^{c} τοιοῦτος^{rdafs} ἐλπίς^{nafs} πολύς^{adfsn} παρρησία^{ndfs} χράομαι^{vipn1p}.

θάπερ Μωσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ, πρὸς
τὸ μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ τέλος τοῦ καταργουμέ-
14 νου, ἀλλ᾽ ἐπωρώθη τὰ νοήματα αὐτῶν, ἄχρι γὰρ τῆς σήμερον
τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μέ-
15 νει μὴ ἀνακαλυπτόμενον, ὅ τι ἐν Χριστῷ καταργεῖται. ἀλλ᾽
ἕως σήμερον, ἡνίκα ἀναγινώσκεται Μωσῆς, κάλυμμα ἐπὶ τὴν
16 καρδίαν αὐτῶν κεῖται. ἡνίκα δ᾽ ἂν ἐπιστρέψῃ πρὸς κύριον,
17 περιαιρεῖται τὸ κάλυμμα. ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν, οὗ δὲ
18 τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία. ἡμεῖς δὲ, πάντες ἀνακε-
καλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν
αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ
ἀπὸ Κυρίου Πνεύματος.

4 Διὰ τοῦτο ἔχοντες τὴν διακονίαν ταύτην, καθὼς ἠλεήθημεν,
2 οὐκ ἐκκακοῦμεν, ἀλ᾽ ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύνης,
μὴ περιπατοῦντες ἐν πανουργίᾳ μηδὲ δολοῦντες τὸν λόγον τοῦ
Θεοῦ, ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας συνιστῶντες ἑαυτοὺς
3 πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων ἐνώπιον τοῦ Θεοῦ. εἰ δὲ
καὶ ἔστι κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυ-
4 μένοις ἐστὶ κεκαλυμμένον, ἐν οἷς ὁ Θεὸς τοῦ αἰῶνος τούτου
ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς
τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ, ὅς ἐστιν

---

τηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα
Θεοῦ, διὰ πάσης προσευχῆς καὶ δεήσεως προσευχόμενοι ἐν 18
παντὶ καιρῷ ἐν Πνεύματι, καὶ εἰς αὐτὸ τοῦτο ἀγρυπνοῦντες ἐν
πάσῃ προσκαρτερήσει καὶ δεήσει περὶ πάντων τῶν ἁγίων, καὶ 19
ὑπὲρ ἐμοῦ, ἵνα μοι δοθείη λόγος ἐν ἀνοίξει τοῦ στόματός μου
ἐν παῤῥησίᾳ γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου, ὑπὲρ οὗ 20
πρεσβεύω ἐν ἁλύσει, ἵνα ἐν αὐτῷ παῤῥησιάσωμαι, ὡς δεῖ με λα-
λῆσαι. Ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ᾽ ἐμέ, τί πράσσω, πάντα 21
ὑμῖν γνωρίσει Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκο-
νος ἐν Κυρίῳ, ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῶτε 22
τὰ περὶ ἡμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν. Εἰρήνη 23
τοῖς ἀδελφοῖς καὶ ἀγάπη μετὰ πίστεως ἀπὸ Θεοῦ πατρὸς καὶ
Κυρίου Ἰησοῦ Χριστοῦ. ἡ χάρις μετὰ πάντων τῶν ἀγαπώντων 24
τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν ἀφθαρσίᾳ. πρὸς Εφέσιους
ἐγράφη ἀπὸ Ῥώμης διὰ τυχικοῦ.

---

v.14 ἵστημι^{vdaa2p} οὖν^{c} περιζώννυμι^{vpamnmp} ὁ^{dafs} ὀσφύς^{nafs} σύ$^{rpg-p}$ ἐν^{p} ἀλήθεια^{ndfs} καί^{c} ἐνδύω^{vpamnmp} ὁ^{dams} θώραξ^{nams} ὁ^{dgfs} δικαιοσύνη^{ngfs}. **v.15** καί^{c} ὑποδέω^{vpamnmp} ὁ^{damp} πούς^{namp} ἐν^{p} ἑτοιμασία^{ndfs} ὁ^{dgns} εὐαγγέλιον^{ngns} ὁ^{dgfs} εἰρήνη^{ngfs}. **v.16** ἐπί^{p} πᾶς^{adnpn} ἀναλαμβάνω^{vpaanmp} ὁ^{dams} θυρεός^{nams} ὁ^{dgfs} πίστις^{ngfs} ἐν^{p} ὅς^{rrdms} δύναμαι^{vifd2p} πᾶς^{aanpn} ὁ^{danp} βέλος^{nanp} ὁ^{dgms} πονηρός^{agmsn} ὁ^{danp} πυρόω^{vpxpanp} σβέννυμι^{vnaa}. **v.17** καί^{c} ὁ^{dafs} περικεφαλαία^{nafs} ὁ^{dgns} σωτήριον^{agnsn} δέχομαι^{vdad2p} καί^{c} ὁ^{dafs} μάχαιρα^{nafs} ὁ^{dgns} πνεῦμα^{ngns} ὅς^{rrnns} εἰμί^{vipx3s} ῥῆμα^{nnns} θεός^{ngms}. **v.18** διά^{p} πᾶς^{agfsn} προσευχή^{ngfs} καί^{c} δέησις^{ngfs} προσεύχομαι^{vppnnmp} ἐν^{p} πᾶς^{admsn} καιρός^{ndms} ἐν^{p} πνεῦμα^{ndns} καί^{c} εἰς^{p} αὐτός^{rpans} οὗτος^{rdans} ἀγρυπνέω^{vppanmp} ἐν^{p} πᾶς^{adfsn} προσκαρτέρησις^{ndfs} καί^{c} δέησις^{ndfs} περί^{p} πᾶς^{agmpn} ὁ^{dgmp} ἅγιος^{agmpn}. **v.19** καί^{c} ὑπέρ^{p} ἐγώ$^{rpg-s}$ ἵνα^{c} ἐγώ$^{rpd-s}$ δίδωμι^{voap3s} λόγος^{nnms} ἐν^{p} ἄνοιξις^{ndfs} ὁ^{dgns} στόμα^{ngns} ἐγώ$^{rpg-s}$ ἐν^{p} παρρησία^{ndfs} γνωρίζω^{vnaa} ὁ^{dans} μυστήριον^{nans} ὁ^{dgns} εὐαγγέλιον^{ngns}. **v.20** ὑπέρ^{p} ὅς^{rrgns} πρεσβεύω^{vipa1s} ἐν^{p} ἅλυσις^{ndfs} ἵνα^{c} ἐν^{p} αὐτός^{rpdns} παρρησιάζομαι^{vsad1s} ὡς^{bo} δεῖ^{vipq3s} ἐγώ$^{rpa-s}$ λαλέω^{vnaa}. **v.21** ἵνα^{c} δέ^{c} οἶδα^{vsxa2p} καί^{c} σύ$^{rpn-p}$ ὁ^{danp} κατά^{p} ἐγώ$^{rpa-s}$ τίς^{rqans} πράσσω^{vipa1s} πᾶς^{aanpn} σύ$^{rpd-p}$ γνωρίζω^{vifa3s} Τυχικός^{nnms} ὁ^{dnms} ἀγαπητός^{anmsn} ἀδελφός^{nnms} καί^{c} πιστός^{anmsn} διάκονος^{nnms} ἐν^{p} κύριος^{ndms}. **v.22** ὅς^{rrams} πέμπω^{viaa1s} πρός^{p} σύ$^{rpa-p}$ εἰς^{p} αὐτός^{rpans} οὗτος^{rdans} ἵνα^{c} γινώσκω^{vsaa2p} ὁ^{danp} περί^{p} ἐγώ$^{rpg-p}$ καί^{c} παρακαλέω^{vsaa3s} ὁ^{dafp} καρδία^{nafp} σύ$^{rpg-p}$. **v.23** εἰρήνη^{nnfs} ὁ^{ddmp} ἀδελφός^{ndmp} καί^{c} ἀγάπη^{nnfs} μετά^{p} πίστις^{ngfs} ἀπό^{p} θεός^{ngms} πατήρ^{ngms} καί^{c} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.24** ὁ^{dnfs} χάρις^{nnfs} μετά^{p} πᾶς^{agmpn} ὁ^{dgmp} ἀγαπάω^{vppagmp} ὁ^{dams} κύριος^{nams} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{nams} Χριστός^{nams} ἐν^{p} ἀφθαρσία^{ndfs} πρός^{p} Ἐφέσιος^{aampn} γράφω^{viap3s} ἀπό^{p} Ῥώμη^{ngfs} διά^{p} Τυχικός^{ngms}.

Η ΠΡΟΣ ΤΟΥΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ

1 Παῦλος καὶ Τιμόθεος, δοῦλοι Ἰησοῦ Χριστοῦ, πᾶσι τοῖς ἁ-
γίοις ἐν Χριστῷ Ἰησοῦ τοῖς οὖσιν ἐν Φιλίπποις, σὺν ἐπισκόποις
2 καὶ διακόνοις, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν
3 καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Εὐχαριστῶ τῷ Θεῷ μου ἐπὶ πάσῃ
4 τῇ μνείᾳ ὑμῶν, πάντοτε ἐν πάσῃ δεήσει μου ὑπὲρ πάντων ὑ-
5 μῶν μετὰ χαρᾶς τὴν δέησιν ποιούμενος, ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν
6 εἰς τὸ εὐαγγέλιον, ἀπὸ πρώτης ἡμέρας ἄχρι τοῦ νῦν, πεποιθὼς
αὐτὸ τοῦτο, ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν ἐπιτελέσει
7 ἄχρις ἡμέρας Ἰησοῦ, Χριστοῦ, καθώς ἐστι δίκαιον ἐμοὶ τοῦτο
φρονεῖν ὑπὲρ πάντων ὑμῶν, διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑ-
μᾶς, ἔν τε τοῖς δεσμοῖς μου, καὶ τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ
εὐαγγελίου, συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς ὄν-
8 τας. μάρτυς γάρ μου ἐστιν ὁ Θεός, ὡς ἐπιποθῶ πάντας ὑμᾶς
9 ἐν σπλάγχνοις Ἰησοῦ Χριστοῦ. καὶ τοῦτο προσεύχομαι, ἵνα
ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει
10 καὶ πάσῃ αἰσθήσει, εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα, ἵνα
11 ἦτε εἰλικρινεῖς καὶ ἀπρόσκοποι εἰς ἡμέραν Χριστοῦ, πεπλη-
ρωμένοι καρπῶν δικαιοσύνης τῶν διὰ Ἰησοῦ Χριστοῦ, εἰς δόξαν

---

1. v.1 Παῦλος^{nnms} καί^{c} Τιμόθεος^{nnms} δοῦλος^{nnmp} Ἰησοῦς^{ngms} Χριστός^{ngms} πᾶς^{admpn} ὁ^{ddmp} ἅγιος^{admpn} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} ὁ^{ddmp} εἰμί^{vppxdmp} ἐν^{p} Φίλιπποι^{ndmp} σύν^{p} ἐπίσκοπος^{ndmp} καί^{c} διάκονος^{ndmp}. **v.2** χάρις^{nnfs} σύ$^{rpd-p}$ καί^{c} εἰρήνη^{nnfs} ἀπό^{p} θεός^{ngms} πατήρ^{ngms} ἐγώ$^{rpg-p}$ καί^{c} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.3** εὐχαριστέω^{vipa1s} ὁ^{ddms} θεός^{ndms} ἐγώ$^{rpg-p}$ ἐπί^{p} πᾶς^{adfsn} ὁ^{ddfs} μνεία^{ndfs} σύ$^{rpg-p}$. **v.4** πάντοτε^{bo} ἐν^{p} πᾶς^{adfsn} δέησις^{ndfs} ἐγώ$^{rpg-s}$ ὑπέρ^{p} πᾶς^{agmpn} σύ$^{rpg-p}$ μετά^{p} χαρά^{ngfs} ὁ^{dafs} δέησις^{nafs} ποιέω^{vppmnms}. **v.5** ἐπί^{p} ὁ^{ddfs} κοινωνία^{ndfs} σύ$^{rpg-p}$ εἰς^{p} ὁ^{dans} εὐαγγέλιον^{nans} ἀπό^{p} πρῶτος^{agfsn} ἡμέρα^{ngfs} ἄχρι^{p} ὁ^{dgms} νῦν^{bo}. **v.6** πείθω^{vpxanms} αὐτός^{rpans} οὗτος^{rdans} ὅτι^{c} ὁ^{dnms} ἐνάρχομαι^{vpadnms} ἐν^{p} σύ$^{rpd-p}$ ἔργον^{nans} ἀγαθός^{aansn} ἐπιτελέω^{vifa3s} ἄχρι^{p} ἡμέρα^{ngfs} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.7** καθώς^{bo} εἰμί^{vipx3s} δίκαιος^{annsn} ἐγώ$^{rpd-s}$ οὗτος^{rdans} φρονέω^{vnpa} ὑπέρ^{p} πᾶς^{agmpn} σύ$^{rpg-p}$ διά^{p} ὁ^{dans} ἔχω^{vnpa} ἐγώ$^{rpa-s}$ ἐν^{p} ὁ^{ddfs} καρδία^{ndfs} σύ$^{rpa-p}$ ἐν^{p} τέ^{xo} ὁ^{ddmp} δεσμός^{ndmp} ἐγώ$^{rpg-s}$ καί^{c} ὁ^{ddfs} ἀπολογία^{ndfs} καί^{c} βεβαίωσις^{ndfs} ὁ^{dgns} εὐαγγέλιον^{ngns} συγκοινωνός^{aampn} ἐγώ$^{rpg-s}$ ὁ^{dgfs} χάρις^{ngfs} πᾶς^{aampn} σύ$^{rpa-p}$ εἰμί^{vppxamp}. **v.8** μάρτυς^{nnms} γάρ^{c} ἐγώ$^{rpg-s}$ εἰμί^{vipx3s} ὁ^{dnms} θεός^{nnms} ὡς^{bo} ἐπιποθέω^{vipa1s} πᾶς^{aampn} σύ$^{rpa-p}$ ἐν^{p} σπλάγχνον^{ndnp} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.9** καί^{c} οὗτος^{rdans} προσεύχομαι^{vipn1s} ἵνα^{c} ὁ^{dnfs} ἀγάπη^{nnfs} σύ$^{rpg-p}$ ἔτι^{bo} μᾶλλον^{bo} καί^{c} μᾶλλον^{bo} περισσεύω^{vspa3s} ἐν^{p} ἐπίγνωσις^{ndfs} καί^{c} πᾶς^{adfsn} αἴσθησις^{ndfs}. **v.10** εἰς^{p} ὁ^{dans} δοκιμάζω^{vnpa} σύ$^{rpa-p}$ ὁ^{danp} διαφέρω^{vppaanp} ἵνα^{c} εἰμί^{vspx2p} εἰλικρινής^{anmpn} καί^{c} ἀπρόσκοπος^{anmpn} εἰς^{p} ἡμέρα^{nafs} Χριστός^{ngms}.

καὶ ἔπαινον Θεοῦ. Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί, ὅτι 12
τὰ κατ᾽ ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν,
ὥστε τοὺς δεσμούς μου φανεροὺς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ 13
τῷ πραιτωρίῳ καὶ τοῖς λοιποῖς πάσι, καὶ τοὺς πλείονας τῶν ἀ- 14
δελφῶν ἐν Κυρίῳ, πεποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως
τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν. τινὲς μὲν καὶ διὰ φθόνον 15
καὶ ἔριν, τινὲς δὲ καὶ δι᾽ εὐδοκίαν τὸν Χριστὸν κηρύσσουσιν,
οἱ μὲν ἐξ ἐριθείας τὸν Χριστὸν καταγγέλλουσιν, οὐχ ἁγνῶς, οἰ- 16
όμενοι θλῖψιν ἐπιφέρειν τοῖς δεσμοῖς μου, οἱ δὲ ἐξ ἀγάπης, 17
εἰδότες ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι. τί γάρ· πλὴν 18
παντὶ τρόπῳ, εἴτε προφάσει, εἴτε ἀληθείᾳ, Χριστὸς καταγγέλ-
λεται, καὶ ἐν τούτῳ χαίρω, ἀλλὰ καὶ χαρήσομαι. οἶδα γὰρ ὅτι 19
τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν διὰ τῆς ὑμῶν δεήσεως, καὶ
ἐπιχορηγίας τοῦ Πνεύματος Ἰησοῦ Χριστοῦ, κατὰ τὴν ἀποκα- 20
ραδοκίαν καὶ ἐλπίδα μου, ὅτι ἐν οὐδενὶ αἰσχυνθήσομαι, ἀλλ᾽ ἐν
πάσῃ παρρησίᾳ, ὡς πάντοτε, καὶ νῦν μεγαλυνθήσεται Χριστὸς
ἐν τῷ σώματί μου, εἴτε διὰ ζωῆς, εἴτε διὰ θανάτου. ἐμοὶ γὰρ τὸ 21
ζῆν, Χριστὸς, καὶ τὸ ἀποθανεῖν, κέρδος. εἰ δὲ τὸ ζῆν ἐν σαρκί, 22
τοῦτό μοι καρπὸς ἔργου, καὶ τί αἱρήσομαι οὐ γνωρίζω. συνέ- 23
χομαι γὰρ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι καὶ

---

v.11 πληρόω^{vpxpnmp} κάρπος^{ngmp} δικαιοσύνη^{ngfs} ὁ^{dgmp} διά^{p} Ἰησοῦς^{ngms} Χριστός^{ngms} εἰς^{p} δόξα^{nafs} καί^{c} ἔπαινος^{nams} θεός^{ngms}. **v.12** γινώσκω^{vnpa} δέ^{c} σύ$^{rpa-p}$ βούλομαι^{vipn1s} ἀδελφός^{nvmp} ὅτι^{c} ὁ^{dnnp} κατά^{p} ἐγώ$^{rpa-s}$ μᾶλλον^{bo} εἰς^{p} προκοπή^{nafs} ὁ^{dgns} εὐαγγέλιον^{ngns} ἔρχομαι^{vixa3s}. **v.13** ὥστε^{c} ὁ^{damp} δεσμός^{namp} ἐγώ$^{rpg-s}$ φανερός^{aampn} ἐν^{p} Χριστός^{ndms} γίνομαι^{vnad} ἐν^{p} ὅλος^{adnsn} ὁ^{ddns} πραιτώριον^{ndns} καί^{c} ὁ^{ddmp} λοιπός^{admpn} πᾶς^{admpn}. **v.14** καί^{c} ὁ^{damp} πολύς^{aampc} ὁ^{dgmp} ἀδελφός^{ngmp} ἐν^{p} κύριος^{ndms} πείθω^{vpxaamp} ὁ^{ddmp} δεσμός^{ndmp} ἐγώ$^{rpg-s}$ περισσοτέρως^{bo} τολμάω^{vnpa} ἀφόβως^{bo} ὁ^{dams} λόγος^{nams} λαλέω^{vnpa}. **v.15** τι-σρινμπ μέν^{xo} καί^{c} διά^{p} φθόνος^{nams} καί^{c} ἔρις^{nafs} τι-σρινμπ δέ^{c} καί^{c} διά^{p} εὐδοκία^{nafs} ὁ^{dams} Χριστός^{nams} κηρύσσω^{vipa3p}. **v.16** ὁ^{dnmp} μέν^{xo} ἐκ^{p} ἐριθεία^{ngfs} ὁ^{dams} Χριστός^{nams} καταγγέλλω^{vipa3p} οὐ^{xo} ἁγνῶς^{bo} οἴομαι^{vppnnmp} θλῖψις^{nafs} ἐπιφέρω^{vnpa} ὁ^{ddmp} δεσμός^{ndmp} ἐγώ$^{rpg-s}$. **v.17** ὁ^{dnmp} δέ^{c} ἐκ^{p} ἀγάπη^{ngfs} οἶδα^{vpxanmp} ὅτι^{c} εἰς^{p} ἀπολογία^{nafs} ὁ^{dgns} εὐαγγέλιον^{ngns} κεῖμαι^{vipn1s}. **v.18** τίς^{rqnns} γάρ^{c} πλήν^{bo} πᾶς^{admsn} τρόπος^{ndms} εἴτε^{c} πρόφασις^{ndfs} εἴτε^{c} ἀλήθεια^{ndfs} Χριστός^{nnms} καταγγέλλω^{vipp3s} καί^{c} ἐν^{p} οὗτος^{rddns} χαίρω^{vipa1s} ἀλλά^{c} καί^{c} χαίρω^{vifo1s}. **v.19** οἶδα^{vixa1s} γάρ^{c} ὅτι^{c} οὗτος^{rdnns} ἐγώ$^{rpd-s}$ ἀποβαίνω^{vifd3s} εἰς^{p} σωτηρία^{nafs} διά^{p} ὁ^{dgfs} σύ$^{rpg-p}$ δέησις^{ngfs} καί^{c} ἐπιχορηγία^{ngfs} ὁ^{dgns} πνεῦμα^{ngns} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.20** κατά^{p} ὁ^{dafs} ἀποκαραδοκία^{nafs} καί^{c} ἐλπίς^{nafs} ἐγώ$^{rpg-s}$ ὅτι^{c} ἐν^{p} οὐδείς^{adnsn} αἰσχύνω^{vifp1s} ἀλλά^{c} ἐν^{p} πᾶς^{adfsn} παρρησία^{ndfs} ὡς^{bo} πάντοτε^{bo} καί^{c} νῦν^{bo} μεγαλύνω^{vifp3s} Χριστός^{nnms} ἐν^{p} ὁ^{ddns} σῶμα^{ndns} ἐγώ$^{rpg-s}$ εἴτε^{c} διά^{p} ζωή^{ngfs} εἴτε^{c} διά^{p} θάνατος^{ngms}. **v.21** ἐγώ$^{rpd-s}$ γάρ^{c} ὁ^{ddns} ζάω^{vnpa} Χριστός^{nnms} καί^{c} ὁ^{dnns} ἀποθνήσκω^{vnaa} κέρδος^{nnns}. **v.22** εἰ^{qo} δέ^{c} ὁ^{dnns} ζάω^{vnpa} ἐν^{p} σάρξ^{ndfs} οὗτος^{rdnns} ἐγώ$^{rpd-s}$ καρπός^{nnms} ἔργον^{ngns} καί^{c} τίς^{rqans} αἱρέω^{vifm1s} οὐ^{xo} γνωρίζω^{vipa1s}.

24 σὺν Χριστῷ εἶναι, πολλῷ μᾶλλον κρεῖσσον, τὸ δὲ ἐπιμένειν ἐν
25 τῇ σαρκὶ, ἀναγκαιότερον δι᾽ ὑμᾶς. καὶ τοῦτο πεποιθὼς οἶδα
ὅτι μενῶ, καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν προκο-
26 πὴν καὶ χαρὰν τῆς πίστεως, ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ
ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοὶ, διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς
27 ὑμᾶς. μόνον ἀξίως τοῦ εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθε,
ἵνα εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς, εἴτε ἀπὼν, ἀκούσω τὰ περὶ ὑ-
μῶν, ὅτι στήκετε ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ συναθλοῦντες τῇ
28 πίστει τοῦ εὐαγγελίου, καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν
ἀντικειμένων, ἥτις αὐτοῖς μέν ἐστὶν ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ
29 σωτηρίας, καὶ τοῦτο ἀπὸ Θεοῦ, ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ
Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ
30 αὐτοῦ πάσχειν, τὸν αὐτὸν ἀγῶνα ἔχοντες οἷον εἴδετε ἐν ἐμοὶ,
καὶ νῦν ἀκούετε ἐν ἐμοί.

2 Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης,
εἴ τις κοινωνία Πνεύματος, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί,
2 πληρώσατέ μου τὴν χαρὰν, ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀ-
3 γάπην ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες, μηδὲν κατὰ ἐρι-
θείαν ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγού-
4 μενοι ὑπερέχοντας ἑαυτῶν, μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε,

---

v.23 συνέχω$^{vipp\,1s}$ γάρ^{c} ἐκ^{p} ὁ^{dgnp} δύο^{tn} ὁ^{dafs} ἐπιθυμία^{nafs} ἔχω^{vppanms} εἰς^{p} ὁ^{dans} ἀναλύω^{vnaa} καί^{c} σύν^{p} Χριστός^{ndms} εἰμί^{vnpx} πολύς^{adnsn} μᾶλλον^{bo} κρείττων^{annsn}. **v.24** ὁ^{dnns} δέ^{c} ἐπιμένω^{vnpa} ἐν^{p} ὁ^{ddfs} σάρξ^{ndfs} ἀναγκαῖος^{annsc} διά^{p} σύ$^{rpa\text{-}p}$. **v.25** καί^{c} οὗτος^{rdans} πείθω^{vpxanms} οἶδα$^{vixa\,1s}$ ὅτι^{c} μένω$^{vifa\,1s}$ καί^{c} συμπαραμένω$^{vifa\,1s}$ πᾶς^{admpn} σύ$^{rpd\text{-}p}$ εἰς^{p} ὁ^{dafs} σύ$^{rpg\text{-}p}$ προκοπή^{nafs} καί^{c} χαρά^{nafs} ὁ^{dgfs} πίστις^{ngfs}. **v.26** ἵνα^{c} ὁ^{dnns} καύχημα^{nnns} σύ$^{rpg\text{-}p}$ περισσεύω^{vspa3s} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} ἐν^{p} ἐγώ$^{rpd\text{-}s}$ διά^{p} ὁ^{dgfs} ἐμός^{rsgfs} παρουσία^{ngfs} πάλιν^{bo} πρός^{p} σύ$^{rpa\text{-}p}$. **v.27** μόνος^{bo} ἀξίως^{bo} ὁ^{dgns} εὐαγγέλιον^{ngns} ὁ^{dgms} Χριστός^{ngms} πολιτεύομαι^{vdpn2p} ἵνα^{c} εἴτε^{c} ἔρχομαι^{vpaanms} καί^{c} ὁράω^{vpaanms} σύ$^{rpa\text{-}p}$ εἴτε^{c} ἄπειμι^{vppxnms} ἀκούω$^{vsaa\,1s}$ ὁ^{danp} περί^{p} σύ$^{rpg\text{-}p}$ ὅτι^{c} στήκω^{vipa2p} ἐν^{p} εἷς^{ndns} πνεῦμα^{ndns} εἷς^{ndfs} ψυχή^{ndfs} συναθλέω^{vppanmp} ὁ^{ddfs} πίστις^{ndfs} ὁ^{dgns} εὐαγγέλιον^{ngns}. **v.28** καί^{c} μή^{xo} πτύρω^{vpppnmp} ἐν^{p} μηδείς^{adnsn} ὑπό^{p} ὁ^{dgmp} ἀντίκειμαι^{vppngmp} ὅστις^{rrnfs} αὐτός^{rpdmp} μέν^{xo} εἰμί^{vipx3s} ἔνδειξις^{nnfs} ἀπώλεια^{ngfs} σύ$^{rpd\text{-}p}$ δέ^{c} σωτηρία^{ngfs} καί^{c} οὗτος^{rdnns} ἀπό^{p} θεός^{ngms}. **v.29** ὅτι^{c} σύ$^{rpd\text{-}p}$ χαρίζομαι^{viap3s} ὁ^{dans} ὑπέρ^{p} Χριστός^{ngms} οὐ^{xo} μόνος^{bo} ὁ^{dans} εἰς^{p} αὐτός^{rpams} πιστεύω^{vnpa} ἀλλά^{c} καί^{c} ὁ^{dans} ὑπέρ^{p} αὐτός^{rpgms} πάσχω^{vnpa}. **v.30** ὁ^{dams} αὐτός^{rpams} ἀγών^{nams} ἔχω^{vppanmp} οἷος^{rcams} ὁράω^{viaa2p} ἐν^{p} ἐγώ$^{rpd\text{-}s}$ καί^{c} νῦν^{bo} ἀκούω^{vipa2p} ἐν^{p} ἐγώ$^{rpd\text{-}s}$. **2. v.1** εἰ^{qo} τι-
-σρινφσ οὖν^{c} παράκλησις^{nnfs} ἐν^{p} Χριστός^{ndms} εἰ^{qo} τι-σρινν σ παραμύθιον^{nnns} ἀγάπη^{ngfs} εἰ^{qo} τι-σρινφσ κοινωνία^{nnfs} πνεῦμα^{ngns} εἰ^{qo} τίς^{rinnp} σπλάγχνον^{nnnp} καί^{c} οἰκτιρμός^{nnmp}. **v.2** πληρόω^{vdaa2p} ἐγώ$^{rpg\text{-}s}$ ὁ^{dafs} χαρά^{nafs} ἵνα^{c} ὁ^{dans} αὐτός^{rpans} φρονέω^{vspa2p} ὁ^{dafs} αὐτός^{rpafs} ἀγάπη^{nafs} ἔχω^{vppanmp} σύμψυχος^{anmpn} ὁ^{dans} εἷς^{nans} φρονέω^{vppanmp}. **v.3** μηδείς^{aansn} κατά^{p} ἐριθεία^{nafs} ἤ^{xo} κενοδοξία^{nafs} ἀλλά^{c} ὁ^{ddfs} ταπεινοφροσύνη^{ndfs} ἀλλήλων^{reamp} ἡγέομαι^{vppnnmp} ὑπερέχω^{vppaamp} ἑαυτοῦ^{rxgmp}.

ἀλλὰ καὶ τὰ ἑτέρων ἕκαστος. τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν ὃ 5
καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπα- 6
γμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ᾽ ἑαυτὸν ἐκένωσε, μορφὴν 7
δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καί σχή- 8
ματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, γενόμενος
ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. διὸ καὶ ὁ Θε- 9
ὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν
ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων 10
καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολο- 11
γήσηται ὅτι Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ πατρός.
Ὥστε, ἀγαπητοί μου, καθὼς πάντοτε ὑπηκούσατε, μὴ ὡς ἐν τῇ 12
παρουσίᾳ μου μόνον, ἀλλὰ νῦν πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ
μου, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζε-
σθε, ὁ Θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ 13
ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας. πάντα ποιεῖτε χωρὶς γογγυσμῶν 14
καὶ διαλογισμῶν, ἵνα γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα 15
Θεοῦ ἀμώμητα ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης, ἐν
οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες, 16
εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ, ὅτι οὐκ εἰς κενὸν ἔδρα-
μον, οὐδὲ εἰς κενὸν ἐκοπίασα. ἀλλ᾽ εἰ καὶ σπένδομαι ἐπὶ τῇ 17
θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω

---

v.4 μή^{xo} ὁ^{danp} ἑαυτοῦ^{rxgmp} ἕκαστος^{anmsn} σκοπέω^{vdpa2p} ἀλλά^{c} καί^{c} ὁ^{danp} ἕτερος^{agmpn} ἕκαστος^{anmsn}. **v.5** οὗτος^{rdans} γάρ^{c} φρονέω^{vdpp3s} ἐν^{p} σύ$^{rpd-p}$ ὃς^{rrnns} καί^{c} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.6** ὅς^{rrnms} ἐν^{p} μορφή^{ndfs} θεός^{ngms} ὑπάρχω^{vppanms} οὐ^{xo} ἁρπαγμός^{nams} ἡγέομαι^{viad3s} ὁ^{dans} εἰμί^{vnpx} ἴσος^{annpn} θεός^{ndms}. **v.7** ἀλλά^{c} ἑαυτοῦ^{rxams} κενόω^{viaa3s} μορφή^{nafs} δοῦλος^{ngms} λαμβάνω^{vpaanms} ἐν^{p} ὁμοίωμα^{ndns} ἄνθρωπος^{ngmp} γίνομαι^{vpadnms}. **v.8** καί^{c} σχῆμα^{ndns} εὑρίσκω^{vpapnms} ὡς^{bo} ἄνθρωπος^{nnms} ταπεινόω^{viaa3s} ἑαυτοῦ^{rxams} γίνομαι^{vpadnms} ὑπήκοος^{anmsn} μέχρι^{bo} θάνατος^{ngms} θάνατος^{ngms} δέ^{c} σταυρός^{ngms}. **v.9** διό^{c} καί^{c} ὁ^{dnms} θεός^{nnms} αὐτός^{rpams} ὑπερυψόω^{viaa3s} καί^{c} χαρίζομαι^{viad3s} αὐτός^{rpdms} ὄνομα^{nans} ὁ^{dans} ὑπέρ^{p} πᾶς^{aansn} ὄνομα^{nans}. **v.10** ἵνα^{c} ἐν^{p} ὁ^{ddns} ὄνομα^{ndns} Ἰησοῦς^{ngms} πᾶς^{annsn} γόνυ^{nnns} κάμπτω^{vsaa3s} ἐπουράνιος^{agmpn} καί^{c} ἐπίγειος^{agnpn} καί^{c} καταχθόνιος^{agmpn}. **v.11** καί^{c} πᾶς^{anfsn} γλῶσσα^{nnfs} ἐξομολογέω^{vsam3s} ὅτι^{c} κύριος^{nnms} Ἰησοῦς^{nnms} Χριστός^{nnms} εἰς^{p} δόξα^{nafs} θεός^{ngms} πατήρ^{ngms}. **v.12** ὥστε^{c} ἀγαπητός^{avmpn} ἐγώ$^{rpg-s}$ καθώς^{bo} πάντοτε^{bo} ὑπακούω^{viaa2p} μή^{xo} ὡς^{bo} ἐν^{p} ὁ^{ddfs} παρουσία^{ndfs} ἐγώ$^{rpg-s}$ μόνος^{bo} ἀλλά^{c} νῦν^{bo} πολύς^{adnsn} μᾶλλον^{bo} ἐν^{p} ὁ^{ddfs} ἀπουσία^{ndfs} ἐγώ$^{rpg-s}$ μετά^{p} φόβος^{ngms} καί^{c} τρόμος^{ngms} ὁ^{dafs} ἑαυτοῦ^{rxgmp} σωτηρία^{nafs} κατεργάζομαι^{vdpn2p}. **v.13** ὁ^{dnms} θεός^{nnms} γάρ^{c} εἰμί^{vipx3s} ὁ^{dnms} ἐνεργέω^{vppanms} ἐν^{p} σύ$^{rpd-p}$ καί^{c} ὁ^{dans} θέλω^{vnpa} καί^{c} ὁ^{dans} ἐνεργέω^{vnpa} ὑπέρ^{p} ὁ^{dgfs} εὐδοκία^{ngfs}. **v.14** πᾶς^{aanpn} ποιέω^{vdpa2p} χωρίς^{bo} γογγυσμός^{ngmp} καί^{c} διαλογισμός^{ngmp}. **v.15** ἵνα^{c} γίνομαι^{vsad2p} ἄμεμπτος^{anmpn} καί^{c} ἀκέραιος^{anmpn} τέκνον^{nnnp} θεός^{ngms} ἀμώμητος^{annpn} ἐν^{p} μέσος^{adnsn} γενεά^{ngfs} σκολιός^{agfsn} καί^{c} διαστρέφω^{vpxpgfs} ἐν^{p} ὅς^{rrdmp} φαίνω^{vipp2p} ὡς^{bo} φωστήρ^{nnmp} ἐν^{p} κόσμος^{ndms}. **v.16** λόγος^{nams} ζωή^{ngfs} ἐπέχω^{vppanmp} εἰς^{p} καύχημα^{nans} ἐγώ$^{rpd-s}$ εἰς^{p} ἡμέρα^{nafs} Χριστός^{ngms} ὅτι^{c} οὐ^{xo} εἰς^{p} κενός^{aansn} τρέχω^{viaa1s} οὐδέ^{bo} εἰς^{p} κενός^{aansn} κοπιάω^{viaa1s}.

18 πᾶσιν ὑμῖν, τὸ δ᾽ αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι.
19 Ἐλπίζω δὲ ἐν Κυρίῳ Ἰησοῦ, Τιμόθεον ταχέως πέμψαι ὑμῖν, ἵνα
20 κἀγὼ εὐψυχῶ γνοὺς τὰ περὶ ὑμῶν. οὐδένα γὰρ ἔχω ἰσόψυ-
21 χον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει, οἱ πάντες γὰρ τὰ
22 ἑαυτῶν ζητοῦσιν, οὐ τὰ τοῦ Χριστοῦ Ἰησοῦ. τὴν δὲ δοκιμὴν
αὐτοῦ γινώσκετε, ὅτι ὡς πατρὶ τέκνον, σὺν ἐμοὶ ἐδούλευσεν εἰς
23 τὸ εὐαγγέλιον. τοῦτον μὲν οὖν ἐλπίζω πέμψαι, ὡς ἂν ἀπίδω τὰ
24 περὶ ἐμὲ, ἐξαυτῆς, πέποιθα δὲ ἐν Κυρίῳ, ὅτι καὶ αὐτὸς ταχέως
25 ἐλεύσομαι. ἀναγκαῖον δὲ ἡγησάμην Ἐπαφρόδιτον τὸν ἀδελ-
φὸν καὶ συνεργὸν καὶ συστρατιώτην μου, ὑμῶν δὲ ἀπόστολον,
26 καὶ λειτουργὸν τῆς χρείας μου, πέμψαι πρὸς ὑμᾶς, ἐπειδὴ
ἐπιποθῶν ἦν πάντας ὑμᾶς, καὶ ἀδημονῶν, διότι ἠκούσατε ὅτι
27 ἠσθένησε, καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτῳ, ἀλ᾽λ ὁ Θε-
ὸς αὐτόν ἠλέησεν, οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμέ, ἵνα μὴ
28 λύπην ἐπὶ λύπῃ σχῶ. σπουδαιοτέρως οὖν ἔπεμψα αὐτὸν, ἵνα,
29 ἰδόντες αὐτὸν, πάλιν χαρῆτε, κἀγὼ ἀλυπότερος ὦ. προσδέχε-
σθε οὖν αὐτὸν ἐν Κυρίῳ μετὰ πάσης χαρᾶς, καὶ τοὺς τοιούτους
30 ἐντίμους ἔχετε, ὅτι διὰ τὸ ἔργον τοῦ Χριστοῦ μέχρι θανάτου
ἤγγισε, παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑ-
μῶν ὑστέρημα τῆς πρός με λειτουργίας.

---

v.17 ἀλλάᶜ εἰᵠᵒ καίᶜ σπένδωᵛⁱᵖᵖ¹ˢ ἐπίᵖ ὁᵈᵈᶠˢ θυσίαⁿᵈᶠˢ καίᶜ λειτουργίαⁿᵈᶠˢ ὁᵈᵍᶠˢ πίστιςⁿᵍᶠˢ σύʳᵖᵍ⁻ᵖ χαίρωᵛⁱᵖᵃ¹ˢ καίᶜ συγχαίρωᵛⁱᵖᵃ¹ˢ πᾶςᵃᵈᵐᵖⁿ σύʳᵖᵈ⁻ᵖ. **v.18** ὁᵈᵃⁿˢ δὲᶜ αὐτόςʳᵖᵃⁿˢ καίᶜ σύʳᵖⁿ⁻ᵖ χαίρωᵛᵈᵖᵃ²ᵖ καίᶜ συγχαίρωᵛᵈᵖᵃ²ᵖ ἐγώʳᵖᵈ⁻ˢ. **v.19** ἐλπίζωᵛⁱᵖᵃ¹ˢ δὲᶜ ἐνᵖ κύριοςⁿᵈᵐˢ Ἰησοῦςⁿᵈᵐˢ Τιμόθεοςⁿᵃᵐˢ ταχέωςᵇᵒ πέμπωᵛⁿᵃᵃ σύʳᵖᵈ⁻ᵖ ἵναᶜ κἀγώʳᵖⁿ⁻ˢ εὐψυχέωᵛˢᵖᵃ¹ˢ γινώσκωᵛᵖᵃᵃⁿᵐˢ ὁᵈᵃⁿᵖ περίᵖ σύʳᵖᵍ⁻ᵖ. **v.20** οὐδείςᵃᵃᵐˢⁿ γάρᶜ ἔχωᵛⁱᵖᵃ¹ˢ ἰσόψυχοςᵃᵃᵐˢⁿ ὅστιςʳʳⁿᵐˢ γνησίωςᵇᵒ ὁᵈᵃⁿᵖ περίᵖ σύʳᵖᵍ⁻ᵖ μεριμνάωᵛⁱᶠᵃ³ˢ. **v.21** ὁᵈⁿᵐᵖ πᾶςᵃⁿᵐᵖⁿ γάρᶜ ὁᵈᵃⁿᵖ ἑαυτοῦʳˣᵍᵐᵖ ζητέωᵛⁱᵖᵃ³ᵖ οὐˣᵒ ὁᵈᵃⁿᵖ ὁᵈᵍᵐˢ Χριστόςⁿᵍᵐˢ Ἰησοῦςⁿᵍᵐˢ. **v.22** ὁᵈᵃᶠˢ δὲᶜ δοκιμήⁿᵃᶠˢ αὐτόςʳᵖᵍᵐˢ γινώσκωᵛⁱᵖᵃ²ᵖ ὅτιᶜ ὡςᵇᵒ πατήρⁿᵈᵐˢ τέκνονⁿⁿⁿˢ σύνᵖ ἐγώʳᵖᵈ⁻ˢ δουλεύωᵛⁱᵃᵃ³ˢ εἰςᵖ ὁᵈᵃⁿˢ εὐαγγέλιονⁿᵃⁿˢ. **v.23** οὗτοςʳᵈᵃᵐˢ μένˣᵒ οὖνᶜ ἐλπίζωᵛⁱᵖᵃ¹ˢ πέμπωᵛⁿᵃᵃ ὡςᵇᵒ ἄνˣᵒ ἀφοράωᵛˢᵃᵃ¹ˢ ὁᵈᵃⁿᵖ περίᵖ ἐγώʳᵖᵃ⁻ˢ ἐξαυτῆςᵇᵒ. **v.24** πείθωᵛⁱˣᵃ¹ˢ δὲᶜ ἐνᵖ κύριοςⁿᵈᵐˢ ὅτιᶜ καίᶜ αὐτόςʳᵖⁿᵐˢ ταχέωςᵇᵒ ἔρχομαιᵛⁱᶠᵈ¹ˢ. **v.25** ἀναγκαῖοςᵃᵃⁿˢⁿ δὲᶜ ἡγέομαιᵛⁱᵃᵈ¹ˢ Ἐπαφρόδιτοςⁿᵃᵐˢ ὁᵈᵃᵐˢ ἀδελφόςⁿᵃᵐˢ καίᶜ συνεργόςᵃᵃᵐˢⁿ καίᶜ συστρατιώτηςⁿᵃᵐˢ ἐγώʳᵖᵍ⁻ˢ σύʳᵖᵍ⁻ᵖ δὲᶜ ἀπόστολοςⁿᵃᵐˢ καίᶜ λειτουργόςⁿᵃᵐˢ ὁᵈᵍᶠˢ χρείαⁿᵍᶠˢ ἐγώʳᵖᵍ⁻ˢ πέμπωᵛⁿᵃᵃ πρόςᵖ σύʳᵖᵃ⁻ᵖ. **v.26** ἐπειδήᶜ ἐπιποθέωᵛᵖᵖᵃⁿᵐˢ εἰμίᵛⁱⁱˣ³ˢ πᾶςᵃᵃᵐᵖⁿ σύʳᵖᵃ⁻ᵖ καίᶜ ἀδημονέωᵛᵖᵖᵃⁿᵐˢ διότιᶜ ἀκούωᵛⁱᵃᵃ²ᵖ ὅτιᶜ ἀσθενέωᵛⁱᵃᵃ³ˢ. **v.27** καίᶜ γάρᶜ ἀσθενέωᵛⁱᵃᵃ³ˢ παραπλήσιοςᵇᵒ θάνατοςⁿᵈᵐˢ ἀλλάᶜ ὁᵈⁿᵐˢ θεόςⁿⁿᵐˢ αὐτόςʳᵖᵃᵐˢ ἐλεέωᵛⁱᵃᵃ³ˢ οὐˣᵒ αὐτόςʳᵖᵃᵐˢ δὲᶜ μόνοςᵇᵒ ἀλλάᶜ καίᶜ ἐγώʳᵖᵃ⁻ˢ ἵναᶜ μήˣᵒ λύπηⁿᵃᶠˢ ἐπίᵖ λύπηⁿᵈᶠˢ ἔχωᵛˢᵃᵃ¹ˢ. **v.28** σπουδαίωςᵇᵒ οὖνᶜ πέμπωᵛⁱᵃᵃ¹ˢ αὐτόςʳᵖᵃᵐˢ ἵναᶜ ὁράωᵛᵖᵃᵃⁿᵐᵖ αὐτόςʳᵖᵃᵐˢ πάλινᵇᵒ χαίρωᵛˢᵃᵒ²ᵖ κἀγώʳᵖⁿ⁻ˢ ἄλυποςᵃⁿᵐˢᶜ εἰμίᵛˢᵖˣ¹ˢ. **v.29** προσδέχομαιᵛᵈᵖⁿ²ᵖ οὖνᶜ αὐτόςʳᵖᵃᵐˢ ἐνᵖ κύριοςⁿᵈᵐˢ μετάᵖ πᾶςᵃᵍᶠˢⁿ χαράⁿᵍᶠˢ καίᶜ ὁᵈᵃᵐᵖ τοιοῦτοςʳᵈᵃᵐᵖ ἔντιμοςᵃᵃᵐᵖⁿ ἔχωᵛᵈᵖᵃ²ᵖ. **v.30** ὅτιᶜ διάᵖ ὁᵈᵃⁿˢ ἔργονⁿᵃⁿˢ ὁᵈᵍᵐˢ Χριστόςⁿᵍᵐˢ μέχριᵇᵒ θάνατοςⁿᵍᵐˢ ἐγγίζωᵛⁱᵃᵃ³ˢ παραβουλεύομαιᵛᵖᵃᵈⁿᵐˢ ὁᵈᵈᶠˢ ψυχῇⁿᵈᶠˢ ἵναᶜ ἀναπληρόωᵛˢᵃᵃ³ˢ ὁᵈᵃⁿˢ σύʳᵖᵍ⁻ᵖ ὑστέρημαⁿᵃⁿˢ ὁᵈᵍᶠˢ πρόςᵖ ἐγώʳᵖᵃ⁻ˢ λειτουργίαⁿᵍᶠˢ.

Τὸ λοιπόν, ἀδελφοί μου, χαίρετε ἐν Κυρίῳ. τὰ αὐτὰ γράφειν **3**
ὑμῖν, ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές. βλέπετε τοὺς 2
κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν,
ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή, οἱ πνεύματι Θεῷ λατρεύοντες, καὶ 3
καυχώμενοι ἐν Χριστῷ Ἰησοῦ, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες,
καίπερ ἐγὼ ἔχων πεποίθησιν καὶ ἐν σαρκί, εἴ τις δοκεῖ ἄλλος 4
πεποιθέναι ἐν σαρκί, ἐγὼ μᾶλλον, περιτομῇ ὀκταήμερος, ἐκ 5
γένους Ἰσραήλ, φυλῆς Βενιαμίν, Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ
νόμον Φαρισαῖος, κατὰ ζῆλον διώκων τὴν ἐκκλησίαν, κατὰ δι- 6
καιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος. ἀλ᾽λ ἅτινα ἦν 7
μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν. ἀλλὰ με- 8
νοῦνγε καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς
γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου μου, δι᾽ ὃν τὰ πάντα ἐ-
ζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω,
καὶ εὑρεθῶ ἐν αὐτῷ, μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ νόμου, 9
ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ, τὴν ἐκ Θεοῦ δικαιοσύνην ἐπὶ
τῇ πίστει, τοῦ γνῶναι αὐτὸν καὶ τὴν δύναμιν τῆς ἀναστάσεως 10
αὐτοῦ, καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ, συμμορφού-
μενος τῷ θανάτῳ αὐτοῦ, εἴ πως καταντήσω εἰς τὴν ἐξανάστασιν 11
τῶν νεκρῶν. οὐχ ὅτι ἤδη ἔλαβον, ἢ ἤδη τετελείωμαι, διώκω 12
δὲ, εἰ καὶ καταλάβω ἐφ᾽ ᾧ καὶ κατελήφθην ὑπὸ τοῦ Χριστοῦ

---

3. **v.1** ὁ^{dnns} λοιπός^{annsn} ἀδελφός^{nvmp} ἐγώ$^{rpg-s}$ χαίρω^{vdpa2p} ἐν^{p} κύριος^{ndms} ὁ^{danp} αὐτός^{rpanp} γράφω^{vnpa} σύ$^{rpd-p}$ ἐγώ$^{rpd-s}$ μέν^{xo} οὐ^{xo} ὀκνηρός^{annsn} σύ$^{rpd-p}$ δέ^{c} ἀσφαλής^{annsn}. **v.2** βλέπω^{vdpa2p} ὁ^{damp} κύων^{namp} βλέπω^{vdpa2p} ὁ^{damp} κακός^{aampn} ἐργάτης^{namp} βλέπω^{vdpa2p} ὁ^{dafs} κατατομή^{nafs}. **v.3** ἐγώ$^{rpn-p}$ γάρ^{c} εἰμί^{vipx1p} ὁ^{dnfs} περιτομή^{nnfs} ὁ^{dnmp} πνεῦμα^{ndns} θεός^{ndms} λατρεύω^{vppanmp} καί^{c} καυχάομαι^{vppnnmp} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} καί^{c} οὐ^{xo} ἐν^{p} σάρξ^{ndfs} πείθω^{vpxanmp}. **v.4** καίπερ^{c} ἐγώ$^{rpn-s}$ ἔχω^{vppanms} πεποίθησις^{nafs} καί^{c} ἐν^{p} σάρξ^{ndfs} εἰ^{qo} τι-σρινμσ δοκέω^{vipa3s} ἄλλος^{anmsn} πείθω^{vnxa} ἐν^{p} σάρξ^{ndfs} ἐγώ$^{rpn-s}$ μᾶλλον^{bo}. **v.5** περιτομή^{nnfs} ὀκταήμερος^{anmsn} ἐκ^{p} γένος^{ngns} Ἰσραήλ^{tp} φυλή^{ngfs} Βενιαμίν^{tp} Ἑβραῖος^{anmsn} ἐκ^{p} Ἑβραῖος^{agmpn} κατά^{p} νόμος^{nams} Φαρισαῖος^{nnms}. **v.6** κατά^{p} ζῆλος^{nams} διώκω^{vppanms} ὁ^{dafs} ἐκκλησία^{nafs} κατά^{p} δικαιοσύνη^{nafs} ὁ^{dafs} ἐν^{p} νόμος^{ndms} γίνομαι^{vpadnms} ἄμεμπτος^{anmsn}. **v.7** ἀλλά^{c} ὅστις^{rrnnp} εἰμί^{viix3s} ἐγώ$^{rpd-s}$ κέρδος^{nnnp} οὗτος^{rdanp} ἡγέομαι^{vixn1s} διά^{p} ὁ^{dams} Χριστός^{nams} ζημία^{nafs}. **v.8** ἀλλά^{c} μενοῦνγε^{xo} καί^{c} ἡγέομαι^{vipn1s} πᾶς^{aanpn} ζημία^{nafs} εἰμί^{vnpx} διά^{p} ὁ^{dans} ὑπερέχω^{vppaans} ὁ^{dgfs} γνῶσις^{ngfs} Χριστός^{ngms} Ἰησοῦς^{ngms} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-s}$ διά^{p} ὅς^{rrams} ὁ^{danp} πᾶς^{aanpn} ζημιόω^{viap1s} καί^{c} ἡγέομαι^{vipn1s} σκύβαλον^{nanp} εἰμί^{vnpx} ἵνα^{c} Χριστός^{nams} κερδαίνω^{vsaa1s}. **v.9** καί^{c} εὑρίσκω^{vsap1s} ἐν^{p} αὐτός^{rpdms} μή^{xo} ἔχω^{vppanms} ἐμός^{rsafs} δικαιοσύνη^{nafs} ὁ^{dafs} ἐκ^{p} νόμος^{ngms} ἀλλά^{c} ὁ^{dafs} διά^{p} πίστις^{ngfs} Χριστός^{ngms} ὁ^{dafs} ἐκ^{p} θεός^{ngms} δικαιοσύνη^{nafs} ἐπί^{p} ὁ^{ddfs} πίστις^{ndfs}. **v.10** ὁ^{dgms} γινώσκω^{vnaa} αὐτός^{rpams} καί^{c} ὁ^{dafs} δύναμις^{nafs} ὁ^{dgfs} ἀνάστασις^{ngfs} αὐτός^{rpgms} καί^{c} ὁ^{dafs} κοινωνία^{nafs} ὁ^{dgnp} πάθημα^{ngnp} αὐτός^{rpgms} συμμορφίζω^{vpppnms} ὁ^{ddms} θάνατος^{ndms} αὐτός^{rpgms}. **v.11** εἰ^{qo} πώς^{xo} καταντάω^{vsaa1s} εἰς^{p} ὁ^{dafs} ἐξανάστασις^{nafs} ὁ^{dgmp} νεκρός^{agmpn}.

13 Ἰησοῦ. ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι, ἓν
δέ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτει-
14 νόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως
15 τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ. ὅσοι οὖν τέλειοι, τοῦτο φρονῶμεν,
καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ Θεὸς ὑμῖν ἀποκαλύψει,
16 πλὴν εἰς ὃ ἐφθάσαμεν, τῷ αὐτῷ στοιχεῖν κανόνι, τὸ αὐτο φρο-
17 νεῖν. Συμμιμηταί μου γίνεσθε, ἀδελφοί, καὶ σκοπεῖτε τοὺς
18 οὕτω περιπατοῦντας, καθὼς ἔχετε τύπον ἡμᾶς. πολλοὶ γὰρ
περιπατοῦσιν, οὓς πολλάκις ἔλεγον ὑμῖν, νῦν δὲ καὶ κλαίων
19 λέγω, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ, ὧν τὸ τέλος ἀ-
πώλεια, ὧν ὁ θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν,
20 οἱ τὰ ἐπίγεια φρονοῦντες. ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρα-
νοῖς ὑπάρχει, ἐξ οὗ καὶ Σωτῆρα ἀπεκδεχόμεθα, Κύριον Ἰησοῦν
21 Χριστόν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν,
εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ,
κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ
πάντα.

4 Ὥστε, ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπόθητοι, χαρὰ καὶ στέ-
2 φανός μου, οὕτω στήκετε ἐν Κυρίῳ, ἀγαπητοί. Εὐοδίαν πα-
ρακαλῶ, καὶ Συντύχην παρακαλῶ, τὸ αὐτὸ φρονεῖν ἐν Κυρίῳ.

---

v.12 οὐ^xo ὅτι^c ἤδη^bo λαμβάνω^viaa1s ἤ^xo ἤδη^bo τελειόω^vixp1s διώκω^vipa1s δέ^c εἰ^qo καί^c καταλαμβάνω^vsaa1s ἐπί^p ὅς^rrdns καί^c καταλαμβάνω^viap1s ὑπό^p ὁ^dgms Χριστός^ngms Ἰησοῦς^ngms. **v.13** ἀδελφός^nvmp ἐγώ^rpn-s ἐμαυτοῦ^rxams οὐ^xo λογίζομαι^vipn1s καταλαμβάνω^vnxa εἶς^nnns δέ^c ὁ^danp μέν^xo ὀπίσω^bo ἐπιλανθάνομαι^vppnnms ὁ^ddnp δέ^c ἔμπροσθεν^bo ἐπεκτείνομαι^vppnnms. **v.14** κατά^p σκοπός^nams διώκω^vipa1s ἐπί^p ὁ^dans βραβεῖον^nans ὁ^dgfs ἄνω^bo κλῆσις^ngfs ὁ^dgms θεός^ngms ἐν^p Χριστός^ndms Ἰησοῦς^ndms. **v.15** ὅσος^rcnmp οὖν^c τέλειος^anmpn οὗτος^rdans φρονέω^vspa1p καί^c εἰ^qo τι-σριανσ ἑτέρως^bo φρονέω^vipa2p καί^c οὗτος^rdans ὁ^dnms θεός^nnms σύ^rpd-p ἀποκαλύπτω^vifa3s. **v.16** πλήν^bo εἰς^p ὅς^rrans φθάνω^viaa1p ὁ^ddms αὐτός^rpdms στοιχέω^vnpa κανών^ndms ὁ^dans αὐτός^rpans φρονέω^vnpa. **v.17** συμμιμητής^nnmp ἐγώ^rpg-s γίνομαι^vdpn2p ἀδελφός^nvmp καί^c σκοπέω^vdpa2p ὁ^damp οὕτω^bo περιπατέω^vppaamp καθώς^bo ἔχω^vipa2p τύπος^nams ἐγώ^rpa-p. **v.18** πολύς^anmpn γάρ^c περιπατέω^vipa3p ὅς^rramp πολλάκις^bo λέγω^viia1s σύ^rpd-p νῦν^bo δέ^c καί^c κλαίω^vppanms λέγω^vipa1s ὁ^damp ἐχθρός^aampn ὁ^dgms σταυρός^ngms ὁ^dgms Χριστός^ngms. **v.19** ὅς^rrgmp ὁ^dnns τέλος^nnns ἀπώλεια^nnfs ὅς^rrgmp ὁ^dnms θεός^nnms ὁ^dnfs κοιλία^nnfs καί^c ὁ^dnfs δόξα^nnfs ἐν^p ὁ^ddfs αἰσχύνη^ndfs αὐτός^rpgmp ὁ^dnmp ὁ^danp ἐπίγειος^aanpn φρονέω^vppanmp. **v.20** ἐγώ^rpg-p γάρ^c ὁ^dnns πολίτευμα^nnns ἐν^p οὐρανός^ndmp ὑπάρχω^vipa3s ἐκ^p ὅς^rrgms καί^c σωτήρ^nams ἀπεκδέχομαι^vipn1p κύριος^nams Ἰησοῦς^nams Χριστός^nams. **v.21** ὅς^rrnms μετασχηματίζω^vifa3s ὁ^dans σῶμα^nans ὁ^dgfs ταπείνωσις^ngfs ἐγώ^rpg-p εἰς^p ὁ^dans γίνομαι^vnad αὐτός^rpans σύμμορφος^aansn ὁ^ddns σῶμα^ndns ὁ^dgfs δόξα^ngfs αὐτός^rpgms κατά^p ὁ^dafs ἐνέργεια^nafs ὁ^dgms δύναμαι^vnpn αὐτός^rpams καί^c ὑποτάσσω^vnaa ἑαυτοῦ^rxdms ὁ^danp πᾶς^aanpn. **4. v.1** ὥστε^c ἀδελφός^nvmp ἐγώ^rpg-s ἀγαπητός^anmpn καί^c ἐπιπόθητος^anmpn χαρά^nnfs καί^c στέφανος^nnms ἐγώ^rpg-s οὕτω^bo στήκω^vdpa2p ἐν^p κύριος^ndms ἀγαπητός^avmpn. **v.2** Εὐοδία^nafs παρακαλέω^vipa1s καί^c Συντύχη^nafs παρακαλέω^vipa1s ὁ^dans αὐτός^rpans φρονέω^vnpa ἐν^p κύριος^ndms.

καὶ ἐρωτῶ καὶ σέ, σύζυγε γνήσιε, συλλαμβάνου αὐταῖς, αἵτινες 3
ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι, μετὰ καὶ Κλήμεντος, καὶ τῶν
λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. Χαίρετε 4
ἐν Κυρίῳ πάντοτε, πάλιν ἐρῶ, χαίρετε. τὸ ἐπιεικὲς ὑμῶν γνω- 5
σθήτω πᾶσιν ἀνθρώποις. ὁ Κύριος ἐγγύς. μηδὲν μεριμνᾶτε, 6
ἀλλ᾽ ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ
αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν, καὶ ἡ εἰρήνη τοῦ 7
Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν
καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. Τὸ λοιπόν, ἀδελ- 8
φοί, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνά, ὅσα δίκαια, ὅσα ἁγνά, ὅσα
προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, ταῦτα
λογίζεσθε, ἃ καὶ ἐμάθετε καὶ παρελάβετε καὶ ἠκούσατε καὶ 9
εἴδετε ἐν ἐμοί, ταῦτα πράσσετε, καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται
μεθ᾽ ὑμῶν. Ἐχάρην δὲ ἐν Κυρίῳ μεγάλως, ὅτι ἤδη ποτὲ ἀνε- 10
θάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν, ἐφ᾽ ᾧ καὶ ἐφρονεῖτε, ἠκαιρεῖσθε
δέ. οὐχ ὅτι καθ᾽ ὑστέρησιν λέγω, ἐγὼ γὰρ ἔμαθον, ἐν οἷς εἰμι, 11
αὐτάρκης εἶναι. οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν, 12
ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι καὶ χορτάζεσθαι καὶ πεινᾶν, καὶ
περισσεύειν καὶ ὑστερεῖσθαι. πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί 13
με Χριστῷ. πλὴν καλῶς ἐποιήσατε συγκοινωνήσαντές μου τῇ 14
θλίψει. οἴδατε δὲ καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι ἐν ἀρχῇ τοῦ εὐ- 15

---

v.3 καί^{c} ἐρωτάω^{vipa1s} καί^{c} σύ$^{rpa-s}$ σύζυγος^{avmsn} γνήσιος^{avmsn} συλλαμβάνω^{vdpm2s} αὐτός^{rpdfp} ὅστις^{rrnfp} ἐν^{p} ὁ^{ddns} εὐαγγέλιον^{ndns} συναθλέω^{viaa3p} ἐγώ$^{rpd-s}$ μετά^{p} καί^{c} Κλήμης^{ngms} καί^{c} ὁ^{dgmp} λοιπός^{agmpn} συνεργός^{agmpn} ἐγώ$^{rpg-s}$ ὅς^{rrgmp} ὁ^{dnnp} ὄνομα^{nnnp} ἐν^{p} βίβλος^{ndfs} ζωή^{ngfs}.
v.4 χαίρω^{vdpa2p} ἐν^{p} κύριος^{ndms} πάντοτε^{bo} πάλιν^{bo} λέγω^{vifa1s} χαίρω^{vdpa2p}. **v.5** ὁ^{dnns} ἐπιεικής^{annsn} σύ$^{rpg-p}$ γινώσκω^{vdap3s} πᾶς^{admpn} ἄνθρωπος^{ndmp} ὁ^{dnms} κύριος^{nnms} ἐγγύς^{bo}.
v.6 μηδείς^{aansn} μεριμνάω^{vdpa2p} ἀλλά^{c} ἐν^{p} πᾶς^{adnsn} ὁ^{ddfs} προσευχή^{ndfs} καί^{c} ὁ^{ddfs} δέησις^{ndfs} μετά^{p} εὐχαριστία^{ngfs} ὁ^{danp} αἴτημα^{nanp} σύ$^{rpg-p}$ γνωρίζω^{vdpp3s} πρός^{p} ὁ^{dams} θεός^{nams}. **v.7** καί^{c} ὁ^{dnfs} εἰρήνη^{nnfs} ὁ^{dgms} θεός^{ngms} ὁ^{dnfs} ὑπερέχω^{vppanfs} πᾶς^{aamsn} νοῦς^{nams} φρουρέω^{vifa3s} ὁ^{dafp} καρδία^{nafp} σύ$^{rpg-p}$ καί^{c} ὁ^{danp} νόημα^{nanp} σύ$^{rpg-p}$ ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.8** ὁ^{dnns} λοιπός^{annsn} ἀδελφός^{nvmp} ὅσος^{rcnnp} εἰμί^{vipx3s} ἀληθής^{annpn} ὅσος^{rcnnp} σεμνός^{annpn} ὅσος^{rcnnp} δίκαιος^{annpn} ὅσος^{rcnnp} ἁγνός^{annpn} ὅσος^{rcnnp} προσφιλής^{annpn} ὅσος^{rcnnp} εὔφημος^{annpn} εἰ^{qo} τι-
-σρινφσ ἀρετή^{nnfs} καί^{c} εἰ^{qo} τι-σρινμσ ἔπαινος^{nnms} οὗτος^{rdanp} λογίζομαι^{vdpn2p}. **v.9** ὅς^{rranp} καί^{c} μανθάνω^{viaa2p} καί^{c} παραλαμβάνω^{viaa2p} καί^{c} ἀκούω^{viaa2p} καί^{c} ὁράω^{viaa2p} ἐν^{p} ἐγώ$^{rpd-s}$ οὗτος^{rdanp} πράσσω^{vipa2p} καί^{c} ὁ^{dnms} θεός^{nnms} ὁ^{dgfs} εἰρήνη^{ngfs} εἰμί^{vifx3s} μετά^{p} σύ$^{rpg-p}$.
v.10 χαίρω^{viao1s} δέ^{c} ἐν^{p} κύριος^{ndms} μεγάλως^{bo} ὅτι^{c} ἤδη^{bo} ποτέ^{xo} ἀναθάλλω^{viaa2p} ὁ^{dans} ὑπέρ^{p} ἐγώ$^{rpg-s}$ φρονέω^{vnpa} ἐπί^{p} ὅς^{rrdns} καί^{c} φρονέω^{viia2p} ἀκαιρέομαι^{viin2p} δέ^{c}. **v.11** οὐ^{xo} ὅτι^{c} κατά^{p} ὑστέρησις^{nafs} λέγω^{vipa1s} ἐγώ$^{rpn-s}$ γάρ^{c} μανθάνω^{viaa1s} ἐν^{p} ὅς^{rrdmp} εἰμί^{vipx1s} αὐτάρκης^{anmsn} εἰμί^{vnpx}. **v.12** οἶδα^{vixa1s} καί^{c} ταπεινόω^{vnpp} οἶδα^{vixa1s} καί^{c} περισσεύω^{vnpa} ἐν^{p} πᾶς^{admsn} καί^{c} ἐν^{p} πᾶς^{admpn} μυέω^{vixp1s} καί^{c} χορτάζω^{vnpp} καί^{c} πεινάω^{vnpa} καί^{c} περισσεύω^{vnpa} καί^{c} ὑστερέω^{vnpp}. **v.13** πᾶς^{aanpn} ἰσχύω^{vipa1s} ἐν^{p} ὁ^{ddms} ἐνδυναμόω^{vppadms} ἐγώ$^{rpa-s}$ Χριστός^{ndms}.
v.14 πλήν^{bo} καλῶς^{bo} ποιέω^{viaa2p} συγκοινωνέω^{vpaanmp} ἐγώ$^{rpg-s}$ ὁ^{ddfs} θλῖψις^{ndfs}.

αγγελίου, ὅτε ἐξῆλθον ἀπὸ Μακεδονίας, οὐδεμία μοι ἐκκλησία
ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι,
16 ὅτι καὶ ἐν Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μοι
17 ἐπέμψατε. οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα, ἀλλ᾽ ἐπιζητῶ τὸν καρπὸν
18 τὸν πλεονάζοντα εἰς λόγον ὑμῶν. ἀπέχω δὲ πάντα καὶ πε-
ρισσεύω, πεπλήρωμαι, δεξάμενος παρὰ Ἐπαφροδίτου τὰ παρ᾽
19 ὑμῶν, ὀσμὴν εὐωδίας, θυσίαν δεκτήν, εὐάρεστον τῷ Θεῷ. Ὁ
δὲ Θεός μου πληρώσει πᾶσαν χρείαν ὑμῶν κατὰ τὸν πλοῦτον
20 αὐτοῦ ἐν δόξῃ, ἐν Χριστῷ Ἰησοῦ. τῷ δὲ Θεῷ καὶ πατρὶ ἡμῶν
21 ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. Ἀσπάσασθε πάντα
ἅγιον ἐν Χριστῷ Ἰησοῦ. ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί.
22 ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα δὲ οἱ ἐκ τῆς Καίσα-
23 ρος οἰκίας. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ
πάντων υμῶν. ἀμην. πρός Φιλιππησίους ἐγράφη ἀπό Ῥώμης
δι᾽ Ἐπαφροδίτου.

---

v.15 οἶδα^{vixa2p} δέ^{c} καί^{c} σύ$^{rpn-p}$ Φιλιππήσιος^{nvmp} ὅτι^{c} ἐν^{p} ἀρχῇ^{ndfs} ὁ^{dgns} εὐαγγέλιον^{ngns} ὅτε^{bo} ἐξέρχομαι^{viaa1s} ἀπό^{p} Μακεδονία^{ngfs} οὐδείς^{anfsn} ἐγώ$^{rpd-s}$ ἐκκλησία^{nnfs} κοινωνέω^{viaa3s} εἰς^{p} λόγος^{nams} δόσις^{ngfs} καί^{c} λῆμψις^{ngfs} εἰ^{qo} μή^{xo} σύ$^{rpn-p}$ μόνος^{anmpn}. **v.16** ὅτι^{c} καί^{c} ἐν^{p} Θεσσαλονίκη^{ndfs} καί^{c} ἅπαξ^{bo} καί^{c} δίς^{bo} εἰς^{p} ὁ^{dafs} χρεία^{nafs} ἐγώ$^{rpd-s}$ πέμπω^{viaa2p}. **v.17** οὐ^{xo} ὅτι^{c} ἐπιζητέω^{vipa1s} ὁ^{dans} δόμα^{nans} ἀλλά^{c} ἐπιζητέω^{vipa1s} ὁ^{dams} καρπός^{nams} ὁ^{dams} πλεονάζω^{vppaams} εἰς^{p} λόγος^{nams} σύ$^{rpg-p}$. **v.18** ἀπέχω^{vipa1s} δέ^{c} πᾶς^{aanpn} καί^{c} περισσεύω^{vipa1s} πληρόω^{vixp1s} δέχομαι^{vpadnms} παρά^{p} Ἐπαφρόδιτος^{ngms} ὁ^{danp} παρά^{p} σύ$^{rpg-p}$ ὀσμή^{nafs} εὐωδία^{ngfs} θυσία^{nafs} δεκτός^{aafsn} εὐάρεστος^{aafsn} ὁ^{ddms} θεός^{ndms}. **v.19** ὁ^{dnms} δέ^{c} θεός^{nnms} ἐγώ$^{rpg-s}$ πληρόω^{vifa3s} πᾶς^{aafsn} χρεία^{nafs} σύ$^{rpg-p}$ κατά^{p} ὁ^{dams} πλοῦτος^{nams} αὐτός^{rpgms} ἐν^{p} δόξα^{ndfs} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.20** ὁ^{ddms} δέ^{c} θεός^{ndms} καί^{c} πατήρ^{ndms} ἐγώ$^{rpg-p}$ ὁ^{dnfs} δόξα^{nnfs} εἰς^{p} ὁ^{damp} αἰών^{namp} ὁ^{dgmp} αἰών^{ngmp} ἀμήνth. **v.21** ἀσπάζομαι^{vdad2p} πᾶς^{aamsn} ἅγιος^{aamsn} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} ἀσπάζομαι^{vipn3p} σύ$^{rpa-p}$ ὁ^{dnmp} σύν^{p} ἐγώ$^{rpd-s}$ ἀδελφός^{nnmp}. **v.22** ἀσπάζομαι^{vipn3p} σύ$^{rpa-p}$ πᾶς^{anmpn} ὁ^{dnmp} ἅγιος^{anmpn} μάλιστα^{bo} δέ^{c} ὁ^{dnmp} ἐκ^{p} ὁ^{dgfs} Καῖσαρ^{ngms} οἰκία^{ngfs}. **v.23** ὁ^{dnfs} χάρις^{nnfs} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} μετά^{p} πᾶς^{agmpn} σύ$^{rpg-p}$ ἀμήνth πρός^{p} Φιλιππήσιος^{namp} γράφω^{viap3s} ἀπό^{p} Ῥώμη^{ngfs} διά^{p} Ἐπαφρόδιτος^{ngms}.

Η ΠΡΟΣ ΚΟΛΑΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ

Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, καὶ **1**
Τιμόθεος ὁ ἀδελφὸς, τοῖς ἐν Κολοσσαῖς ἁγίοις καὶ πιστοῖς ἀ- 2
δελφοῖς ἐν Χριστῷ, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς
ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Εὐχαριστοῦμεν τῷ Θεῷ 3
καὶ πατρὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πάντοτε περὶ ὑ-
μῶν προσευχόμενοι, ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ 4
Ἰησοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους, διὰ τὴν ἐλ- 5
πίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς, ἣν προηκούσατε
ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ εὐαγγελίου, τοῦ παρόντος εἰς 6
ὑμᾶς, καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ, καὶ ἐστὶ καρποφορούμε-
νον, καθὼς καὶ ἐν ὑμῖν, ἀφ' ἧς ἡμέρας ἠκούσατε καὶ ἐπέγνωτε
τὴν χάριν τοῦ Θεοῦ ἐν ἀληθείᾳ, καθὼς καί ἐμάθετε ἀπὸ Ἐπα- 7
φρᾶ τοῦ ἀγαπητοῦ συνδούλου ἡμῶν, ὅς ἐστι πιστὸς ὑπὲρ ὑμῶν
διάκονος τοῦ Χριστοῦ, ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην 8
ἐν Πνεύματι. Διὰ τοῦτο καὶ ἡμεῖς, ἀφ' ἧς ἡμέρας ἠκούσαμεν, 9
οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι, καὶ αἰτούμενοι ἵνα
πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ ἐν πάσῃ σοφίᾳ
καὶ συνέσει πνευματικῇ, περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Κυρίου 10

---

1. v.1 Παῦλος^{nnms} ἀπόστολος^{nnms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} διά^{p} θέλημα^{ngns} θεός^{ngms} καί^{c} Τιμόθεος^{nnms} ὁ^{dnms} ἀδελφός^{nnms}. **v.2** ὁ^{ddmp} ἐν^{p} Κολοσσαί^{ndfp} ἅγιος^{admpn} καί^{c} πιστός^{admpn} ἀδελφός^{ndmp} ἐν^{p} Χριστός^{ndms} χάρις^{nnfs} σύ$^{rpd-p}$ καί^{c} εἰρήνη^{nnfs} ἀπό^{p} θεός^{ngms} πατήρ^{ngms} ἐγώ$^{rpg-p}$ καί^{c} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.3** εὐχαριστέω^{vipa1p} ὁ^{ddms} θεός^{ndms} καί^{c} πατήρ^{ndms} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} πάντοτε^{bo} περί^{p} σύ$^{rpg-p}$ προσεύχομαι^{vppnnmp}. **v.4** ἀκούω^{vpaanmp} ὁ^{dafs} πίστις^{nafs} σύ$^{rpg-p}$ ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} καί^{c} ὁ^{dafs} ἀγάπη^{nafs} ὁ^{dafs} εἰς^{p} πᾶς^{aampn} ὁ^{damp} ἅγιος^{aampn}. **v.5** διά^{p} ὁ^{dafs} ἐλπίς^{nafs} ὁ^{dafs} ἀπόκειμαι^{vppnafs} σύ$^{rpd-p}$ ἐν^{p} ὁ^{ddmp} οὐρανός^{ndmp} ὅς^{rrafs} προακούω^{viaa2p} ἐν^{p} ὁ^{ddms} λόγος^{ndms} ὁ^{dgfs} ἀλήθεια^{ngfs} ὁ^{dgns} εὐαγγέλιον^{ngns}. **v.6** ὁ^{dgns} πάρειμι^{vppxgns} εἰς^{p} σύ$^{rpa-p}$ καθώς^{bo} καί^{c} ἐν^{p} πᾶς^{admsn} ὁ^{ddms} κόσμος^{ndms} καί^{c} εἰμί^{vipx3s} καρποφορέω^{vppmnns} καθώς^{bo} καί^{c} ἐν^{p} σύ$^{rpd-p}$ ἀπό^{p} ὅς^{rrgfs} ἡμέρα^{ngfs} ἀκούω^{viaa2p} καί^{c} ἐπιγινώσκω^{viaa2p} ὁ^{dafs} χάρις^{nafs} ὁ^{dgms} θεός^{ngms} ἐν^{p} ἀλήθεια^{ndfs}. **v.7** καθώς^{bo} καί^{c} μανθάνω^{viaa2p} ἀπό^{p} Ἐπαφρᾶς^{ngms} ὁ^{dgms} ἀγαπητός^{agmsn} σύνδουλος^{ngms} ἐγώ$^{rpg-p}$ ὅς^{rrnms} εἰμί^{vipx3s} πιστός^{anmsn} ὑπέρ^{p} σύ$^{rpg-p}$ διάκονος^{nnms} ὁ^{dgms} Χριστός^{ngms}. **v.8** ὁ^{dnms} καί^{c} δηλόω^{vpaanms} ἐγώ$^{rpd-p}$ ὁ^{dafs} σύ$^{rpg-p}$ ἀγάπη^{nafs} ἐν^{p} πνεῦμα^{ndns}. **v.9** διά^{p} οὗτος^{rdans} καί^{c} ἐγώ$^{rpn-p}$ ἀπό^{p} ὅς^{rrgfs} ἡμέρα^{ngfs} ἀκούω^{viaa1p} οὐ^{xo} παύω^{vipm1p} ὑπέρ^{p} σύ$^{rpg-p}$ προσεύχομαι^{vppnnmp} καί^{c} αἰτέω^{vppmnmp} ἵνα^{c} πληρόω^{vsap2p} ὁ^{dafs} ἐπίγνωσις^{nafs} ὁ^{dgns} θέλημα^{ngns} αὐτός^{rpgms} ἐν^{p} πᾶς^{adfsn} σοφία^{ndfs} καί^{c} σύνεσις^{ndfs} πνευματικός^{adfsn}.

εἰς πᾶσαν ἀρεσκείαν, ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες
11 καὶ αὐξανόμενοι εἰς τὴν ἐπιγνώσιν τοῦ Θεοῦ, ἐν πάσῃ δυνά-
μει δυναμούμενοι κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ, εἰς πᾶσαν
12 ὑπομονὴν καὶ μακροθυμίαν, μετὰ χαρᾶς, εὐχαριστοῦντες τῷ
πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων
13 ἐν τῷ φωτί, ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους,
καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ,
14 ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄ-
15 φεσιν τῶν ἁμαρτιῶν, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου,
16 πρωτότοκος πάσης κτίσεως, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ
ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα,
εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι, τὰ πάντα
17 δι᾽ αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται, καὶ αὐτός ἐστι πρὸ πάντων,
18 καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε. καὶ αὐτός ἐστιν ἡ κεφα-
λὴ τοῦ σώματος, τῆς ἐκκλησίας, ὅς ἐστιν ἀρχή, πρωτότοκος
19 ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων, ὅτι ἐν
20 αὐτῷ εὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι, καὶ δι᾽ αὐτοῦ
ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν, εἰρηνοποιήσας διὰ τοῦ αἵ-
ματος τοῦ σταυροῦ αὐτοῦ, δι᾽ αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε
21 τὰ ἐν τοῖς οὐρανοῖς. καὶ ὑμᾶς ποτε ὄντας ἀπηλλοτριωμένους
καὶ ἐχθροὺς τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς, νυνί δέ

---

v.10 περιπατέω^{vnaa} σύ$^{rpa\text{-}p}$ ἀξίως^{bo} ὁ^{dgms} κύριος^{ngms} εἰς^{p} πᾶς^{aafsn} ἀρεσκεία^{nafs} ἐν^{p} πᾶς^{adnsn} ἔργον^{ndns} ἀγαθός^{adnsn} καρποφορέω^{vppanmp} καί^{c} αὐξάνω^{vpppnmp} εἰς^{p} ὁ^{dafs} ἐπίγνωσις^{nafs} ὁ^{dgms} θεός^{ngms}. **v.11** ἐν^{p} πᾶς^{adfsn} δύναμις^{ndfs} δυναμόω^{vpppnmp} κατά^{p} ὁ^{dans} κράτος^{nans} ὁ^{dgfs} δόξα^{ngfs} αὐτός^{rpgms} εἰς^{p} πᾶς^{aafsn} ὑπομονή^{nafs} καί^{c} μακροθυμία^{nafs} μετά^{p} χαρά^{ngfs}. **v.12** εὐχαριστέω^{vppanmp} ὁ^{ddms} πατήρ^{ndms} ὁ^{ddms} ἱκανόω^{vpaadms} ἐγώ$^{rpa\text{-}p}$ εἰς^{p} ὁ^{dafs} μερίς^{nafs} ὁ^{dgms} κλῆρος^{ngms} ὁ^{dgmp} ἅγιος^{agmpn} ἐν^{p} ὁ^{ddns} φῶς^{ndns}. **v.13** ὅς^{rrnms} ῥύομαι^{vian3s} ἐγώ$^{rpa\text{-}p}$ ἐκ^{p} ὁ^{dgfs} ἐξουσία^{ngfs} ὁ^{dgns} σκότος^{ngns} καί^{c} μεθίστημι^{viaa3s} εἰς^{p} ὁ^{dafs} βασιλεία^{nafs} ὁ^{dgms} υἱός^{ngms} ὁ^{dgfs} ἀγάπη^{ngfs} αὐτός^{rpgms}. **v.14** ἐν^{p} ὅς^{rrdms} ἔχω^{vipa1p} ὁ^{dafs} ἀπολύτρωσις^{nafs} διά^{p} ὁ^{dgns} αἷμα^{ngns} αὐτός^{rpgms} ὁ^{dafs} ἄφεσις^{nafs} ὁ^{dgfp} ἁμαρτία^{ngfp}. **v.15** ὅς^{rrnms} εἰμί^{vipx3s} εἰκών^{nnfs} ὁ^{dgms} θεός^{ngms} ὁ^{dgms} ἀόρατος^{agmsn} πρωτότοκος^{anmsn} πᾶς^{agfsn} κτίσις^{ngfs}. **v.16** ὅτι^{c} ἐν^{p} αὐτός^{rpdms} κτίζω^{viap3s} ὁ^{dnnp} πᾶς^{annpn} ὁ^{dnnp} ἐν^{p} ὁ^{ddmp} οὐρανός^{ndmp} καί^{c} ὁ^{dnnp} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs} ὁ^{dnnp} ὁρατός^{annpn} καί^{c} ὁ^{dnnp} ἀόρατος^{annpn} εἴτε^{c} θρόνος^{nnmp} εἴτε^{c} κυριότης^{nnfp} εἴτε^{c} ἀρχή^{nnfp} εἴτε^{c} ἐξουσία^{nnfp} ὁ^{dnnp} πᾶς^{annpn} διά^{p} αὐτός^{rpgms} καί^{c} εἰς^{p} αὐτός^{rpams} κτίζω^{vixp3s}. **v.17** καί^{c} αὐτός^{rpnms} εἰμί^{vipx3s} πρό^{p} πᾶς^{agmpn} καί^{c} ὁ^{dnnp} πᾶς^{annpn} ἐν^{p} αὐτός^{rpdms} συνίστημι^{vixa3s}. **v.18** καί^{c} αὐτός^{rpnms} εἰμί^{vipx3s} ὁ^{dnfs} κεφαλή^{nnfs} ὁ^{dgns} σῶμα^{ngns} ὁ^{dgfs} ἐκκλησία^{ngfs} ὅς^{rrnms} εἰμί^{vipx3s} ἀρχή^{nnfs} πρωτότοκος^{anmsn} ἐκ^{p} ὁ^{dgmp} νεκρός^{agmpn} ἵνα^{c} γίνομαι^{vsad3s} ἐν^{p} πᾶς^{adnpn} αὐτός^{rpnms} πρωτεύω^{vppanms}. **v.19** ὅτι^{c} ἐν^{p} αὐτός^{rpdms} εὐδοκέω^{viaa3s} πᾶς^{annsn} ὁ^{dnns} πλήρωμα^{nnns} κατοικέω^{vnaa}. **v.20** καί^{c} διά^{p} αὐτός^{rpgms} ἀποκαταλλάσσω^{vnaa} ὁ^{danp} πᾶς^{aanpn} εἰς^{p} αὐτός^{rpams} εἰρηνοποιέω^{vpaanms} διά^{p} ὁ^{dgns} αἷμα^{ngns} ὁ^{dgms} σταυρός^{ngms} αὐτός^{rpgms} διά^{p} αὐτός^{rpgms} εἴτε^{c} ὁ^{danp} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs} εἴτε^{c} ὁ^{danp} ἐν^{p} ὁ^{ddmp} οὐρανός^{ndmp}.

ἀποκατήλλαξεν. ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θα- 22
νάτου παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους
κατενώπιον αὐτοῦ. εἴγε ἐπιμένετε τῇ πίστει τεθεμελιωμένοι 23
καὶ ἑδραῖοι, καὶ μὴ μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐ-
αγγελίου οὗ ἠκούσατε, τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ
ὑπὸ τὸν οὐρανόν, οὗ ἐγενόμην ἐγὼ Παῦλος διάκονος. Ὃς 24
νῦν χαίρω ἐν τοῖς παθήμασι μου ὑπὲρ ὑμῶν, καὶ ἀνταναπλη-
ρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου
ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία, ἧς ἐγενόμην 25
ἐγὼ διάκονος, κατὰ τὴν οἰκονομίαν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι
εἰς ὑμᾶς, πληρῶσαι τὸν λόγον τοῦ Θεοῦ, τὸ μυστήριον τὸ ἀ- 26
ποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, νυνὶ δὲ
ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ, οἷς ἠθέλησεν ὁ Θεὸς γνωρίσαι 27
τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσιν,
ὅς ἐστι Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς τῆς δόξης, ὃν ἡμεῖς καταγγέλ- 28
λομεν, νουθετοῦντες πάντα ἄνθρωπον, καὶ διδάσκοντες πάντα
ἄνθρωπον ἐν πάσῃ σοφίᾳ, ἵνα παραστήσωμεν πάντα ἄνθρωπον
τέλειον ἐν Χριστῷ Ἰησοῦ, εἰς ὃ καὶ κοπιῶ, ἀγωνιζόμενος κατὰ 29
τὴν ἐνέργειαν αὐτοῦ, τὴν ἐνεργουμένην ἐν ἐμοὶ ἐν δυνάμει.

Θέλω γὰρ ὑμᾶς εἰδέναι ἡλίκον ἀγῶνα ἔχω περὶ ὑμῶν καὶ τῶν **2**
ἐν Λαοδικείᾳ, καὶ ὅσοι οὐχ ἑώρακασι τὸ πρόσωπόν μου ἐν σαρ-

---

v.21 καί^{c} σύ$^{rpa\text{-}p}$ ποτέ^{xo} εἰμί^{vppxamp} ἀπαλλοτριόω^{vpxpamp} καί^{c} ἐχθρός^{aampn} ὁ^{ddfs} διάνοια^{ndfs} ἐν^{p} ὁ^{ddnp} ἔργον^{ndnp} ὁ^{ddnp} πονηρός^{adnpn} νυνί^{bo} δέ^{c} ἀποκαταλλάσσω^{viaa3s}. **v.22** ἐν^{p} ὁ^{ddns} σῶμα^{ndns} ὁ^{dgfs} σάρξ^{ngfs} αὐτός^{rpgms} διά^{p} ὁ^{dgms} θάνατος^{ngms} παρίστημι^{vnaa} σύ$^{rpa\text{-}p}$ ἅγιος^{aampn} καί^{c} ἄμωμος^{aampn} καί^{c} ἀνέγκλητος^{aampn} κατενώπιον^{p} αὐτός^{rpgms}. **v.23** εἴ&γε^{qo} ἐπιμένω^{vipa2p} ὁ^{ddfs} πίστις^{ndfs} θεμελιόω^{vpxpnmp} καί^{c} ἑδραῖος^{anmpn} καί^{c} μή^{xo} μετακινέω^{vpppnmp} ἀπό^{p} ὁ^{dgfs} ἐλπίς^{ngfs} ὁ^{dgns} εὐαγγέλιον^{ngns} ὅς^{rrgns} ἀκούω^{viaa2p} ὁ^{dgns} κηρύσσω^{vpapgns} ἐν^{p} πᾶς^{adfsn} ὁ^{ddfs} κτίσις^{ndfs} ὁ^{ddfs} ὑπό^{p} ὁ^{dams} οὐρανός^{nams} ὅς^{rrgns} γίνομαι^{viad1s} ἐγώ$^{rpn\text{-}s}$ Παῦλος^{nnms} διάκονος^{nnms}. **v.24** ὅς^{rrnms} νῦν^{bo} χαίρω^{vipa1s} ἐν^{p} ὁ^{ddnp} πάθημα^{ndnp} ἐγώ$^{rpg\text{-}s}$ ὑπέρ^{p} σύ$^{rpg\text{-}p}$ καί^{c} ἀνταναπληρόω^{vipa1s} ὁ^{danp} ὑστέρημα^{nanp} ὁ^{dgfp} θλῖψις^{ngfp} ὁ^{dgms} Χριστός^{ngms} ἐν^{p} ὁ^{ddfs} σάρξ^{ndfs} ἐγώ$^{rpg\text{-}s}$ ὑπέρ^{p} ὁ^{dgns} σῶμα^{ngns} αὐτός^{rpgms} ὅς^{rrnns} εἰμί^{vipx3s} ὁ^{dnfs} ἐκκλησία^{nnfs}. **v.25** ὅς^{rrgfs} γίνομαι^{viad1s} ἐγώ$^{rpn\text{-}s}$ διάκονος^{nnms} κατά^{p} ὁ^{dafs} οἰκονομία^{nafs} ὁ^{dgms} θεός^{ngms} ὁ^{dafs} δίδωμι^{vpapafs} ἐγώ$^{rpd\text{-}s}$ εἰς^{p} σύ$^{rpa\text{-}p}$ πληρόω^{vnaa} ὁ^{dams} λόγος^{nams} ὁ^{dgms} θεός^{ngms}. **v.26** ὁ^{dans} μυστήριον^{nans} ὁ^{dans} ἀποκρύπτω^{vpxpans} ἀπό^{p} ὁ^{dgmp} αἰών^{ngmp} καί^{c} ἀπό^{p} ὁ^{dgfp} γενεά^{ngfp} νυνί^{bo} δέ^{c} φανερόω^{viap3s} ὁ^{ddmp} ἅγιος^{admpn} αὐτός^{rpgms}. **v.27** ὅς^{rrdmp} θέλω^{viaa3s} ὁ^{dnms} θεός^{nnms} γνωρίζω^{vnaa} τίς^{rqnms} ὅς^{dnms} πλοῦτος^{nnms} ὁ^{dgfs} δόξα^{ngfs} ὁ^{dgns} μυστήριον^{ngns} οὗτος^{rdgns} ἐν^{p} ὁ^{ddnp} ἔθνος^{ndnp} ὅς^{rrnms} εἰμί^{vipx3s} Χριστός^{nnms} ἐν^{p} σύ$^{rpd\text{-}p}$ ὁ^{dnfs} ἐλπίς^{nnfs} ὁ^{dgfs} δόξα^{ngfs}. **v.28** ὅς^{rrams} ἐγώ$^{rpn\text{-}p}$ καταγγέλλω^{vipa1p} νουθετέω^{vppanmp} πᾶς^{aamsn} ἄνθρωπος^{nams} καί^{c} διδάσκω^{vppanmp} πᾶς^{aamsn} ἄνθρωπος^{nams} ἐν^{p} πᾶς^{adfsn} σοφία^{ndfs} ἵνα^{c} παρίστημι^{vsaa1p} πᾶς^{aamsn} ἄνθρωπος^{nams} τέλειος^{aamsn} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.29** εἰς^{p} ὅς^{rrans} καί^{c} κοπιάω^{vipa1s} ἀγωνίζομαι^{vppnnms} κατά^{p} ὁ^{dafs} ἐνέργεια^{nafs} αὐτός^{rpgms} ὁ^{dafs} ἐνεργέω^{vppmafs} ἐν^{p} ἐγώ$^{rpd\text{-}s}$ ἐν^{p} δύναμις^{ndfs}.

2 κί, ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, συμβιβασθέντων ἐν
ἀγάπῃ, καὶ εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέσεως,
εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ Θεοῦ καὶ πατρὸς καὶ τοῦ Χρι-
3 στοῦ, ἐν ᾧ εἰσὶ πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως
4 ἀπόκρυφοι. τοῦτο δὲ λέγω, ἵνα μή τις ὑμᾶς παραλογίζηται ἐν
5 πιθανολογίᾳ. εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι
σὺν ὑμῖν εἰμι, χαίρων καὶ βλέπων ὑμῶν τὴν τάξιν, καὶ τὸ στε-
6 ρέωμα τῆς εἰς Χριστὸν πίστεως ὑμῶν. Ὡς οὖν παρελάβετε τὸν
7 Χριστὸν Ἰησοῦν τὸν Κύριον, ἐν αὐτῷ περιπατεῖτε, ἐρριζωμένοι
καὶ ἐποικοδομούμενοι ἐν αὐτῷ, καὶ βεβαιούμενοι ἐν τῇ πίστει,
8 καθὼς ἐδιδάχθητε, περισσεύοντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ. βλέ-
πετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ
κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ
9 στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν, ὅτι ἐν αὐτῷ κατοι-
10 κεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, καὶ ἐστὲ ἐν αὐτῷ
πεπληρωμένοι, ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας,
11 ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύ-
σει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκός, ἐν τῇ περιτομῇ τοῦ
12 Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι, ἐν ᾧ καὶ συνη-
γέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ, τοῦ ἐγείραντος

---

2. v.1 θέλω^{vipa1s} γάρ^{c} σύ$^{rpa-p}$ οἶδα^{vnxa} ἡλίκος^{aamsn} ἀγών^{nams} ἔχω^{vipa1s} περί^{p} σύ$^{rpg-p}$ καί^{c} ὁ^{dgmp} ἐν^{p} Λαοδίκεια^{ndfs} καί^{c} ὅσος^{rcnmp} οὐ^{xo} ὁράω^{vixa3p} ὁ^{dans} πρόσωπον^{nans} ἐγώ$^{rpg-s}$ ἐν^{p} σάρξ^{ndfs}. **v.2** ἵνα^{c} παρακαλέω^{vsap3p} ὁ^{dnfp} καρδία^{nnfp} αὐτός^{rpgmp} συμβιβάζω^{vpapgmp} ἐν^{p} ἀγάπη^{ndfs} καί^{c} εἰς^{p} πᾶς^{aamsn} πλοῦτος^{nams} ὁ^{dgfs} πληροφορία^{ngfs} ὁ^{dgfs} σύνεσις^{ngfs} εἰς^{p} ἐπίγνωσις^{nafs} ὁ^{dgns} μυστήριον^{ngns} ὁ^{dgms} θεός^{ngms} καί^{c} πατήρ^{ngms} καί^{c} ὁ^{dgms} Χριστός^{ngms}. **v.3** ἐν^{p} ὅς^{rrdms} εἰμί^{vipx3p} πᾶς^{anmpn} ὁ^{dnmp} θησαυρός^{nnmp} ὁ^{dgfs} σοφία^{ngfs} καί^{c} ὁ^{dgfs} γνῶσις^{ngfs} ἀπόκρυφος^{anmpn}. **v.4** οὗτος^{rdans} δέ^{c} λέγω^{vipa1s} ἵνα^{c} μή^{xo} τίς^{rinms} σύ$^{rpa-p}$ παραλογίζομαι^{vspn3s} ἐν^{p} πιθανολογία^{ndfs}. **v.5** εἰ^{qo} γάρ^{c} καί^{c} ὁ^{ddfs} σάρξ^{ndfs} ἄπειμι^{vipx1s} ἀλλά^{c} ὁ^{ddns} πνεῦμα^{ndns} σύν^{p} σύ$^{rpd-p}$ εἰμί^{vipx1s} χαίρω^{vppanms} καί^{c} βλέπω^{vppanms} σύ$^{rpg-p}$ ὁ^{dafs} τάξις^{nafs} καί^{c} ὁ^{dans} στερέωμα^{nans} ὁ^{dgfs} εἰς^{p} Χριστός^{nams} πίστις^{ngfs} σύ$^{rpg-p}$. **v.6** ὡς^{bo} οὖν^{c} παραλαμβάνω^{viaa2p} ὁ^{dams} Χριστός^{nams} Ἰησοῦς^{nams} ὁ^{dams} κύριος^{nams} ἐν^{p} αὐτός^{rpdms} περιπατέω^{vdpa2p}. **v.7** ῥιζόω^{vpxpnmp} καί^{c} ἐποικοδομέω^{vpppnmp} ἐν^{p} αὐτός^{rpdms} καί^{c} βεβαιόω^{vpppnmp} ἐν^{p} ὁ^{ddfs} πίστις^{ndfs} καθώς^{bo} διδάσκω^{viap2p} περισσεύω^{vppanmp} ἐν^{p} αὐτός^{rpdfs} ἐν^{p} εὐχαριστία^{ndfs}. **v.8** βλέπω^{vdpa2p} μή^{xo} τι-σρινμσ σύ$^{rpa-p}$ εἰμί^{vifx3s} ὁ^{dnms} συλαγωγέω^{vppanms} διά^{p} ὁ^{dgfs} φιλοσοφία^{ngfs} καί^{c} κενός^{agfsn} ἀπάτη^{ngfs} κατά^{p} ὁ^{dafs} παράδοσις^{nafs} ὁ^{dgmp} ἄνθρωπος^{ngmp} κατά^{p} ὁ^{danp} στοιχεῖον^{nanp} ὁ^{dgms} κόσμος^{ngms} καί^{c} οὐ^{xo} κατά^{p} Χριστός^{nams}. **v.9** ὅτι^{c} ἐν^{p} αὐτός^{rpdms} κατοικέω^{vipa3s} πᾶς^{annsn} ὁ^{dnns} πλήρωμα^{nnns} ὁ^{dgfs} θεότης^{ngfs} σωματικῶς^{bo}. **v.10** καί^{c} εἰμί^{vipx2p} ἐν^{p} αὐτός^{rpdms} πληρόω^{vpxpnmp} ὅς^{rrnms} εἰμί^{vipx3s} ὁ^{dnfs} κεφαλή^{nnfs} πᾶς^{agfsn} ἀρχή^{ngfs} καί^{c} ἐξουσία^{ngfs}. **v.11** ἐν^{p} ὅς^{rrdms} καί^{c} περιτέμνω^{viap2p} περιτομή^{ndfs} ἀχειροποίητος^{adfsn} ἐν^{p} ὁ^{ddfs} ἀπέκδυσις^{ndfs} ὁ^{dgns} σῶμα^{ngns} ὁ^{dgfp} ἁμαρτία^{ngfp} ὁ^{dgfs} σάρξ^{ngfs} ἐν^{p} ὁ^{ddfs} περιτομή^{ndfs} ὁ^{dgms} Χριστός^{ngms}.

αὐτὸν ἐκ τῶν νεκρῶν. καὶ ὑμᾶς νεκροὺς ὄντας ἐν τοῖς παρα- 13
πτώμασι καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ὑμῶν, συνεζωοποίησε
σὺν αὐτῷ, χαρισάμενος ὑμῖν πάντα τὰ παραπτώματα, ἐξαλεί- 14
ψας τὸ καθ' ἡμῶν χειρόγραφον τοῖς δόγμασιν, ὃ ἦν ὑπεναντίον
ἡμῖν, καὶ αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυ-
ρῷ, ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν 15
ἐν παρρησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ. Μὴ οὖν τις ὑμᾶς 16
κρινέτω ἐν βρώσει ἢ ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς ἢ νουμηνίας
ἢ σαββάτων, ἅ ἐστι σκιὰ τῶν μελλόντων, τὸ δὲ σῶμα τοῦ Χρι- 17
στοῦ. μηδεὶς ὑμᾶς καταβραβευέτω θέλων ἐν ταπεινοφροσύνῃ 18
καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων, εἰκῇ φυ-
σιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ, καὶ οὐ κρατῶν 19
τὴν κεφαλήν, ἐξ οὗ πᾶν τὸ σῶμα, διὰ τῶν ἁφῶν καὶ συνδέσμων
ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον, αὔξει τὴν αὔξησιν τοῦ
Θεοῦ. Εἰ οὖν ἀπεθάνετε σὺν τῷ Χριστῷ, ἀπὸ τῶν στοιχείων τοῦ 20
κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε, Μὴ ἅψῃ, μηδὲ 21
γεύσῃ, μηδὲ θίγῃς. ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει, 22
κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων· ἅτινά ἐστι 23
λόγον μὲν ἔχοντα σοφίας ἐν ἐθελοθρησκείᾳ καὶ ταπεινοφροσύ-
νῃ καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς

---

ησοῦ. καὶ ἃ ἤκουσας παρ᾽ ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα 2
παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέ-
ρους διδάξαι. σὺ οὖν κακοπάθησον, ὡς καλὸς στρατιώτης 3

---

v.10 φανερόω^{vpapafs} δέ^{c} νῦν^{bo} διά^{p} ὁ^{dgfs} ἐπιφάνεια^{ngfs} ὁ^{dgms} σωτήρ^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} καταργέω^{vpaagms} μέν^{xo} ὁ^{dams} θάνατος^{nams} φωτίζω^{vpaagms} δέ^{c} ζωή^{nafs} καί^{c} ἀφθαρσία^{nafs} διά^{p} ὁ^{dgns} εὐαγγέλιον^{ngns}. **v.11** εἰς^{p} ὅς^{rrans} τίθημι^{viap1s} ἐγώ$^{rpn-s}$ κῆρυξ^{nnms} καί^{c} ἀπόστολος^{nnms} καί^{c} διδάσκαλος^{nnms} ἔθνος^{ngnp}. **v.12** διά^{p} ὅς^{rrafs} αἰτία^{nafs} καί^{c} οὗτος^{rdanp} πάσχω^{vipa1s} ἀλλά^{c} οὐ^{xo} ἐπαισχύνομαι^{vipn1s} οἶδα^{vixa1s} γάρ^{c} ὅς^{rrdms} πιστεύω^{vixa1s} καί^{c} πείθω^{vixp1s} ὅτι^{c} δυνατός^{anmsn} εἰμί^{vipx3s} ὁ^{dafs} παραθήκη^{nafs} ἐγώ$^{rpg-s}$ φυλάσσω^{vnaa} εἰς^{p} ἐκεῖνος^{rdafs} ὁ^{dafs} ἡμέρα^{nafs}. **v.13** ὑποτύπωσις^{nafs} ἔχω^{vdpa2s} ὑγιαίνω^{vppagmp} λόγος^{ngmp} ὅς^{rrgmp} παρά^{p} ἐγώ$^{rpg-s}$ ἀκούω^{viaa2s} ἐν^{p} πίστις^{ndfs} καί^{c} ἀγάπη^{ndfs} ὁ^{ddfs} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.14** ὁ^{dafs} καλός^{aafsn} παρακαταθήκη^{nafs} φυλάσσω^{vdaa2s} διά^{p} πνεῦμα^{ngns} ἅγιος^{agnsn} ὁ^{dgns} ἐνοικέω^{vppagns} ἐν^{p} ἐγώ$^{rpd-p}$. **v.15** οἶδα^{vixa2s} οὗτος^{rdans} ὅτι^{c} ἀποστρέφω^{viap3p} ἐγώ$^{rpa-s}$ πᾶς^{anmpn} ὁ^{dnmp} ἐν^{p} ὁ^{ddfs} Ἀσία^{ndfs} ὅς^{rrgmp} εἰμί^{vipx3s} Φύγελος^{nnms} καί^{c} Ἑρμογένης^{nnms}. **v.16** δίδωμι^{voaa3s} ἔλεος^{nans} ὁ^{dnms} κύριος^{nnms} ὁ^{ddms} Ὀνησίφορος^{ngms} οἶκος^{ndms} ὅτι^{c} πολλάκις^{bo} ἐγώ$^{rpa-s}$ ἀναψύχω^{viaa3s} καί^{c} ὁ^{dafs} ἅλυσις^{nafs} ἐγώ$^{rpg-s}$ οὐ^{xo} ἐπαισχύνομαι^{viap3s}. **v.17** ἀλλά^{c} γίνομαι^{vpadnms} ἐν^{p} Ῥώμη^{ndfs} σπουδαῖος^{aamsc} ζητέω^{viaa3s} ἐγώ$^{rpa-s}$ καί^{c} εὑρίσκω^{viaa3s}. **v.18** δίδωμι^{voaa3s} αὐτός^{rpdms} ὁ^{dnms} κύριος^{nnms} εὑρίσκω^{vnaa} ἔλεος^{nans} παρά^{p} κύριος^{ngms} ἐν^{p} ἐκεῖνος^{rddfs} ὁ^{ddfs} ἡμέρα^{ndfs} καί^{c} ὅσος^{rcanp} ἐν^{p} Ἔφεσος^{ndfs} διακονέω^{viaa3s} βελτίων^{nans} σύ$^{rpn-s}$ γινώσκω^{vipa2s}. **2. v.1** σύ$^{rpn-s}$ οὖν^{c} τέκνον^{nvns} ἐγώ$^{rpg-s}$ ἐνδυναμόω^{vdpp2s} ἐν^{p} ὁ^{ddfs} χάρις^{ndfs} ὁ^{ddfs} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.2** καί^{c} ὅς^{rranp} ἀκούω^{viaa2s} παρά^{p} ἐγώ$^{rpg-s}$ διά^{p} πολύς^{agmpn} μάρτυς^{ngmp} οὗτος^{rdanp} παρατίθημι^{viam2s} πιστός^{admpn} ἄνθρωπος^{ndmp} ὅστις^{rrnmp} ἱκανός^{anmpn} εἰμί^{vifx3p} καί^{c} ἕτερος^{aampn} διδάσκω^{vnaa}.

4 Ἰησοῦ Χριστοῦ. οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ
5 βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. ἐὰν δὲ καὶ
6 ἀθλῇ τις, οὐ στεφανοῦται ἐὰν μὴ νομίμως ἀθλήσῃ. τὸν κο-
7 πιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. νόει
8 α λέγω, δῴη γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. μνημόνευε
Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαβίδ,
9 κατὰ τὸ εὐαγγέλιόν μου, ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν, ὡς κα-
10 κοῦργος, ἀλ᾽λ ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. διὰ τοῦτο πάντα
ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι
11 τῆς ἐν Χριστῷ Ἰησοῦ, μετὰ δόξης αἰωνίου. πιστὸς ὁ λόγος,
12 εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσομεν, εἰ ὑπομένομεν, καὶ
συμβασιλεύσομεν, εἰ ἀρνούμεθα, κἀκεῖνος ἀρνήσεται ἡμᾶς,
13 εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει, ἀρνήσασθαι ἑαυτὸν οὐ
14 δύναται. Ταῦτα ὑπομίμνησκε, διαμαρτυρόμενος ἐνώπιον τοῦ
Κυρίου μὴ λογομαχεῖν εἰς οὐδὲν χρήσιμον, ἐπὶ καταστροφῇ
15 τῶν ἀκουόντων. σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι τῷ
Θεῷ, ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀ-
16 ληθείας. τὰς δὲ βεβήλους κενοφωνίας περιΐστασο, ἐπὶ πλεῖον
17 γὰρ προκόψουσιν ἀσεβείας, καὶ ὁ λόγος αὐτῶν ὡς γάγγραινα
18 νομὴν ἕξει, ὧν ἐστιν Ὑμέναιος καὶ Φίλητος, οἵτινες περὶ τὴν
ἀλήθειαν ἠστόχησαν, λέγοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι,

---

v.3 σύ$^{rpn-s}$ οὖν^{c} κακοπαθέω^{vdaa2s} ὡς^{bo} καλός^{anmsn} στρατιώτης^{nnms} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.4** οὐδείς^{anfsn} στρατεύω^{vppmnms} ἐμπλέκω^{vipp3s} ὁ^{ddfp} ὁ^{dgms} βίος^{ngms} πραγματεία^{ndfp} ἵνα^{c} ὁ^{ddms} στρατολογέω^{vpaadms} ἀρέσκω^{vsaa3s}. **v.5** ἐάν^{qo} δέ^{c} καί^{c} ἀθλέω^{vspa3s} τι-σρινμσ οὐ^{xo} στεφανόω^{vipp3s} ἐάν^{qo} μή^{xo} νομίμως^{bo} ἀθλέω^{vsaa3s}. **v.6** ὁ^{dams} κοπιάω^{vppaams} γεωργός^{nams} δεῖ^{vipq3s} πρῶτος^{bo} ὁ^{dgmp} κάρπος^{ngmp} μεταλαμβάνω^{vnpa}. **v.7** νοέω^{vdpa2s} ὅς^{rranp} λέγω^{vipa1s} δίδωμι^{voaa3s} γάρ^{c} σύ$^{rpd-s}$ ὅς^{dnms} κύριος^{nnms} σύνεσις^{nafs} ἐν^{p} πᾶς^{adnpn}. **v.8** μνημονεύω^{vdpa2s} Ἰησοῦς^{nams} Χριστός^{nams} ἐγείρω^{vpxpams} ἐκ^{p} νεκρός^{agmpn} ἐκ^{p} σπέρμα^{ngns} Δαυίδ^{tp} κατά^{p} ὁ^{dans} εὐαγγέλιον^{nans} ἐγώ$^{rpg-s}$. **v.9** ἐν^{p} ὅς^{rrdns} κακοπαθέω^{vipa1s} μέχρι^{bo} δεσμός^{ngmp} ὡς^{bo} κακοῦργος^{anmsn} ἀλλά^{c} ὁ^{dnms} λόγος^{nnms} ὁ^{dgms} θεός^{ngms} οὐ^{xo} δέω^{vixp3s}. **v.10** διά^{p} οὗτος^{rdans} πᾶς^{aanpn} ὑπομένω^{vipa1s} διά^{p} ὁ^{damp} ἐκλεκτός^{aampn} ἵνα^{c} καί^{c} αὐτός^{rpnmp} σωτηρία^{ngfs} τυγχάνω^{vsaa3p} ὁ^{dgfs} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} μετά^{p} δόξα^{ngfs} αἰώνιος^{agfsn}. **v.11** πιστός^{anmsn} ὁ^{dnms} λόγος^{nnms} εἰ^{qo} γάρ^{c} συναποθνῄσκω^{viaa1p} καί^{c} συζάω^{vifa1p}. **v.12** εἰ^{qo} ὑπομένω^{vipa1p} καί^{c} συμβασιλεύω^{vifa1p} εἰ^{qo} ἀρνέομαι^{vipn1p} κάκεῖνος^{rdnms} ἀρνέομαι^{vifd3s} ἐγώ$^{rpa-p}$. **v.13** εἰ^{qo} ἀπιστέω^{vipa1p} ἐκεῖνος^{rdnms} πιστός^{anmsn} μένω^{vipa3s} ἀρνέομαι^{vnad} ἑαυτοῦ^{rxams} οὐ^{xo} δύναμαι^{vipn3s}. **v.14** οὗτος^{rdanp} ὑπομιμνῄσκω^{vdpa2s} διαμαρτύρομαι^{vppnnms} ἐνώπιον^{bo} ὁ^{dgms} κύριος^{ngms} μή^{xo} λογομαχέω^{vnpa} εἰς^{p} οὐδείς^{aansn} χρήσιμος^{aansn} ἐπί^{p} καταστροφή^{ndfs} ὁ^{dgmp} ἀκούω^{vppagmp}. **v.15** σπουδάζω^{vdaa2s} σεαυτοῦ^{rxams} δόκιμος^{aamsn} παρίστημι^{vnaa} ὁ^{ddms} θεός^{ndms} ἐργάτης^{nams} ἀνεπαίσχυντος^{aamsn} ὀρθοτομέω^{vppaams} ὁ^{dams} λόγος^{nams} ὁ^{dgfs} ἀλήθεια^{ngfs}. **v.16** ὁ^{dafp} δέ^{c} βέβηλος^{aafpn} κενοφωνία^{nafp} περιΐστημι^{vdpm2s} ἐπί^{p} πολύς^{aansc} γάρ^{c} προκόπτω^{vifa3p} ἀσέβεια^{ngfs}. **v.17** καί^{c} ὁ^{dnms} λόγος^{nnms} αὐτός^{rpgmp} ὡς^{bo} γάγγραινα^{nnfs} νομή^{nafs} ἔχω^{vifa3s} ὅς^{rrgmp} εἰμί^{vipx3s} Ὑμέναιος^{nnms} καί^{c} Φίλητος^{nnms}.

καὶ ἀνατρέπουσι τήν τινων πίστιν. ὁ μέντοι στερεὸς θεμέλιος 19
τοῦ Θεοῦ ἕστηκεν, ἔχων τὴν σφραγῖδα ταύτην, Ἔγνω Κύριος
τοὺς ὄντας αὐτοῦ, καί, Ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων
τὸ ὄνομα Χριστου. ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστι μόνον σκεύη 20
χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα, καὶ ἃ μὲν
εἰς τιμὴν, ἃ δὲ εἰς ἀτιμίαν. ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ 21
τούτων, ἔσται σκεῦος εἰς τιμήν, ἡγιασμένον, καὶ εὔχρηστον τῷ
δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον. τὰς δὲ νεωτε- 22
ρικὰς ἐπιθυμίας φεῦγε, δίωκε δὲ δικαιοσύνην, πίστιν, ἀγάπην,
εἰρήνην μετὰ τῶν ἐπικαλουμένων τὸν Κύριον ἐκ καθαρᾶς καρ-
δίας. τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ, εἰδὼς 23
ὅτι γεννῶσι μάχας. δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλ᾽λ ἥ- 24
πιον εἶναι πρὸς πάντας, διδακτικόν, ἀνεξίκακον, ἐν πρᾳότητι 25
παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μήποτε δῷ αὐτοῖς ὁ Θε-
ὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς 26
τοῦ διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ᾽ αὐτοῦ εἰς τὸ ἐκείνου
θέλημα.

Τοῦτο δὲ γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ **3**
χαλεποί. ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, 2
ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, ἄστοργοι, ἄσπονδοι, διάβολοι, ἀκρατεῖς, ἀνή- 3

---

v.18 ὅστις^{rrnmp} περί^{p} ὁ^{dafs} ἀλήθεια^{nafs} ἀστοχέω^{viaa3p} λέγω^{vppanmp} ὁ^{dafs} ἀνάστασις^{nafs} ἤδη^{bo} γίνομαι^{vnxa} καί^{c} ἀνατρέπω^{vipa3p} ὁ^{dafs} τι-σριγμπ πίστις^{nafs}. **v.19** ὁ^{dnms} μέντοι^{c} στερεός^{anmsn} θεμέλιος^{nnms} ὁ^{dgms} θεός^{ngms} ἵστημι^{vixa3s} ἔχω^{vppanms} ὁ^{dafs} σφραγίς^{nafs} οὗτος^{rdafs} γινώσκω^{viaa3s} κύριος^{nnms} ὁ^{damp} εἰμί^{vppxamp} αὐτός^{rpgms} καί^{c} ἀφίστημι^{vdaa3s} ἀπό^{p} ἀδικία^{ngfs} πᾶς^{anmsn} ὁ^{dnms} ὀνομάζω^{vppanms} ὁ^{dans} ὄνομα^{nans} Χριστός^{ngms}. **v.20** ἐν^{p} μέγας^{adfsn} δέ^{c} οἰκία^{ndfs} οὐ^{xo} εἰμί^{vipx3s} μόνος^{bo} σκεῦος^{nnnp} χρυσοῦς^{annpn} καί^{c} ἀργυροῦς^{annpn} ἀλλά^{c} καί^{c} ξύλινος^{annpn} καί^{c} ὀστράκινος^{annpn} καί^{c} ὅς^{rrnnp} μέν^{xo} εἰς^{p} τιμή^{nafs} ὅς^{rrnnp} δέ^{c} εἰς^{p} ἀτιμία^{nafs}. **v.21** ἐάν^{qo} οὖν^{c} τι-σρινμσ ἐκκαθαίρω^{vsaa3s} ἑαυτοῦ^{rxams} ἀπό^{p} οὗτος^{rdgnp} εἰμί^{vifx3s} σκεῦος^{nnns} εἰς^{p} τιμή^{nafs} ἁγιάζω^{vpxpnns} καί^{c} εὔχρηστος^{annsn} ὁ^{ddms} δεσπότης^{ndms} εἰς^{p} πᾶς^{aansn} ἔργον^{nans} ἀγαθός^{aansn} ἑτοιμάζω^{vpxpnns}. **v.22** ὁ^{dafp} δέ^{c} νεωτερικός^{aafpn} ἐπιθυμία^{nafp} φεύγω^{vdpa2s} διώκω^{vdpa2s} δέ^{c} δικαιοσύνη^{nafs} πίστις^{nafs} ἀγάπη^{nafs} εἰρήνη^{nafs} μετά^{p} ὁ^{dgmp} ἐπικαλέω^{vppmgmp} ὁ^{dams} κύριος^{nams} ἐκ^{p} καθαρός^{agfsn} καρδία^{ngfs}. **v.23** ὁ^{dafp} δέ^{c} μωρός^{aafpn} καί^{c} ἀπαίδευτος^{aafpn} ζήτησις^{nafp} παραιτέομαι^{vdpn2s} οἶδα^{vpxanms} ὅτι^{c} γεννάω^{vipa3p} μάχη^{nafp}. **v.24** δοῦλος^{nams} δέ^{c} κύριος^{ngms} οὐ^{xo} δεῖ^{vipq3s} μάχομαι^{vnpn} ἀλλά^{c} ἤπιος^{aamsn} εἰμί^{vnpx} πρός^{p} πᾶς^{aampn} διδακτικός^{aamsn} ἀνεξίκακος^{aamsn}. **v.25** ἐν^{p} πραΰτης^{ndfs} παιδεύω^{vppaams} ὁ^{damp} ἀντιδιατίθημι^{vppmamp} μήποτε^{bo} δίδωμι^{vsaa3s} αὐτός^{rpdmp} ὁ^{dnms} θεός^{nnms} μετάνοια^{nafs} εἰς^{p} ἐπίγνωσις^{nafs} ἀλήθεια^{ngfs}. **v.26** καί^{c} ἀνανήφω^{vsaa3p} ἐκ^{p} ὁ^{dgfs} ὁ^{dgms} διάβολος^{agmsn} παγίς^{ngfs} ζωγρέω^{vpxpnmp} ὑπό^{p} αὐτός^{rpgms} εἰς^{p} ὁ^{dans} ἐκεῖνος^{rdgms} θέλημα^{nans}. **3. v.1** οὗτος^{rdans} δέ^{c} γινώσκω^{vdpa2s} ὅτι^{c} ἐν^{p} ἔσχατος^{adfpn} ἡμέρα^{ndfp} ἐνίστημι^{vifd3p} καιρός^{nnmp} χαλεπός^{anmpn}. **v.2** εἰμί^{vifx3p} γάρ^{c} ὁ^{dnmp} ἄνθρωπος^{nnmp} φίλαυτος^{anmpn} φιλάργυρος^{anmpn} ἀλαζών^{nnmp} ὑπερήφανος^{anmpn} βλάσφημος^{anmpn} γονεύς^{ndmp} ἀπειθής^{anmpn} ἀχάριστος^{anmpn} ἀνόσιος^{anmpn}.

μεροι, ἀφιλάγαθοι, προδόται, προπετεῖς, τετυφωμένοι, φιλή-
δονοι μᾶλλον ἢ φιλόθεοι, ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ
δύναμιν αὐτῆς ἠρνημένοι, καὶ τούτους ἀποτρέπου. ἐκ τούτων
γάρ εἰσιν οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας, καὶ αἰχμαλωτεύοντες
τὰ γυναικάρια σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις
ποικίλαις, πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν
ἀληθείας ἐλθεῖν δυνάμενα. ὃν τρόπον δὲ Ἰάννης καὶ Ἰαμβρῆς
ἀντέστησαν Μωϋσεῖ, οὕτω καὶ οὗτοι ἀνθίστανται τῇ ἀληθείᾳ,
ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν, ἀδόκιμοι περὶ τὴν πίστιν.
ἀλλ᾽ οὐ προκόψουσιν ἐπὶ πλεῖον, ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος
ἔσται πᾶσιν, ὡς καὶ ἡ ἐκείνων ἐγένετο. σὺ δὲ παρηκολούθη-
κάς μου τῇ διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ πίστει, τῇ
μακροθυμίᾳ, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ, τοῖς διωγμοῖς, τοῖς πα-
θήμασιν, οἷά μοι ἐγένετο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις,
οἵους διωγμοὺς ὑπήνεγκα, καὶ ἐκ πάντων με ἐρρύσατο ὁ Κύ-
ριος. καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ,
διωχθήσονται. πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν
ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι. σὺ δὲ μένε ἐν οἷς
ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες, καὶ ὅτι ἀπὸ
βρέφους τὰ ἱερὰ γράμματα οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς

---

v.3 ἄστοργος^{anmpn} ἄσπονδος^{anmpn} διάβολος^{anmpn} ἀκρατής^{anmpn} ἀνήμερος^{anmpn} ἀφιλάγαθος^{anmpn}. **v.4** προδότης^{nnmp} προπετής^{anmpn} τυφόω^{vpxpnmp} φιλήδονος^{anmpn} μᾶλλον^{bo} ἤ^{xo} φιλόθεος^{anmpn}. **v.5** ἔχω^{vppanmp} μόρφωσις^{nafs} εὐσέβεια^{ngfs} ὁ^{dafs} δέ^{c} δύναμις^{nafs} αὐτός^{rpgfs} ἀρνέομαι^{vpxnnmp} καί^{c} οὗτος^{rdamp} ἀποτρέπω^{vdpm2s}. **v.6** ἐκ^{p} οὗτος^{rdgmp} γάρ^{c} εἰμί^{vipx3p} ὁ^{dnmp} ἐνδύνω^{vppanmp} εἰς^{p} ὁ^{dafp} οἰκία^{nafp} καί^{c} αἰχμαλωτεύω^{vppanmp} ὁ^{danp} γυναικάριον^{nanp} σωρεύω^{vpxpanp} ἁμαρτία^{ndfp} ἄγω^{vpppanp} ἐπιθυμία^{ndfp} ποικίλος^{adfpn}. **v.7** πάντοτε^{bo} μανθάνω^{vppaanp} καί^{c} μηδέποτε^{bo} εἰς^{p} ἐπίγνωσις^{nafs} ἀλήθεια^{ngfs} ἔρχομαι^{vnaa} δύναμαι^{vppnanp}. **v.8** ὅς^{rrams} τρόπος^{nams} δέ^{c} Ἰάννης^{nnms} καί^{c} Ἰαμβρῆς^{nnms} ἀνθίστημι^{viaa3p} Μωϋσῆς^{ndms} οὕτω^{bo} καί^{c} οὗτος^{rdnmp} ἀνθίστημι^{vipm3p} ὁ^{ddfs} ἀλήθεια^{ndfs} ἄνθρωπος^{nnmp} καταφθείρω^{vpxpnmp} ὁ^{dams} νοῦς^{nams} ἀδόκιμος^{anmpn} περί^{p} ὁ^{dafs} πίστις^{nafs}. **v.9** ἀλλά^{c} οὐ^{xo} προκόπτω^{vifa3p} ἐπί^{p} πολύς^{aansc} ὁ^{dnfs} γάρ^{c} ἄνοια^{nnfs} αὐτός^{rpgmp} ἔκδηλος^{anmsn} εἰμί^{vifx3s} πᾶς^{admpn} ὡς^{bo} καί^{c} ὁ^{dnfs} ἐκεῖνος^{rdgmp} γίνομαι^{viad3s}. **v.10** σύ$^{rpn-s}$ δέ^{c} παρακολουθέω^{vixa2s} ἐγώ$^{rpg-s}$ ὁ^{ddfs} διδασκαλία^{ndfs} ὁ^{ddfs} ἀγωγή^{ndfs} ὁ^{ddfs} πρόθεσις^{ndfs} ὁ^{ddfs} πίστις^{ndfs} ὁ^{ddfs} μακροθυμία^{ndfs} ὁ^{ddfs} ἀγάπη^{ndfs} ὁ^{ddfs} ὑπομονή^{ndfs}. **v.11** ὁ^{ddmp} διωγμός^{ndmp} ὁ^{ddnp} πάθημα^{ndnp} οἷος^{rrnnp} ἐγώ$^{rpd-s}$ γίνομαι^{viad3s} ἐν^{p} Ἀντιόχεια^{ndfs} ἐν^{p} Ἰκόνιον^{ndns} ἐν^{p} Λύστρα^{ndnp} οἷος^{rcanp} διωγμός^{namp} ὑποφέρω^{viaa1s} καί^{c} ἐκ^{p} πᾶς^{agmpn} ἐγώ$^{rpa-s}$ ῥύομαι^{vian3s} ὁ^{dnms} κύριος^{nnms}. **v.12** καί^{c} πᾶς^{anmpn} δέ^{c} ὁ^{dnmp} θέλω^{vppanmp} εὐσεβῶς^{bo} ζάω^{vnpa} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} διώκω^{vifp3p}. **v.13** πονηρός^{anmpn} δέ^{c} ἄνθρωπος^{nnmp} καί^{c} γόης^{nnmp} προκόπτω^{vifa3p} ἐπί^{p} ὁ^{dans} χείρων^{aansn} πλανάω^{vppanmp} καί^{c} πλανάω^{vpppnmp}. **v.14** σύ$^{rpn-s}$ δέ^{c} μένω^{vdpa2s} ἐν^{p} ὅς^{rrdnp} μανθάνω^{viaa2s} καί^{c} πιστόω^{viap2s} οἶδα^{vpxanms} παρά^{p} τίς^{rqgms} μανθάνω^{viaa2s}.

σωτηρίαν διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ. πᾶσα γραφὴ θεό- 16
πνευστος καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς
ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ, ἵνα ἄρτιος ᾖ 17
ὁ τοῦ Θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος.

Διαμαρτύρομαι οὖν ἐγὼ ἐνώπιον τοῦ Θεοῦ, καὶ τοῦ κυρίου **4**
Ἰησοῦ Χριστοῦ, τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκρούς, κα-
τὰ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ, κήρυξον 2
τὸν λόγον, ἐπίστηθι εὐκαίρως, ἀκαίρως, ἔλεγξον, ἐπιτίμησον,
παρακάλεσον, ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ. ἔσται γὰρ 3
καιρὸς ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται, ἀλλὰ
κατὰ τὰς ἐπιθυμίας τὰς ἰδίας ἑαυτοῖς ἐπισωρεύσουσι διδασκά-
λους, κνηθόμενοι τὴν ἀκοήν, καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν 4
ἀκοὴν ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται. σὺ 5
δὲ νῆφε ἐν πᾶσι, κακοπάθησον, ἔργον ποίησον εὐαγγελιστοῦ,
τὴν διακονίαν σου πληροφόρησον. ἐγὼ γὰρ ἤδη σπένδομαι, 6
καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεώς ἐφέστηκε. τὸν ἀγῶνα τὸν 7
καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα,
λοιπὸν, ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώ- 8
σει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής, οὐ μόνον
δὲ ἐμοὶ, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ.
Σπούδασον ἐλθεῖν πρός με ταχέως, Δημᾶς γάρ με ἐγκατέλι- 9

---

v.15 καίc ὅτιc ἀπόp βρέφοςngns ὁdanp ἱερόςaanpn γράμμαnanp οἶδαvixa2s ὁdanp δύναμαιvppnanp σύrpa-s σοφίζωvnaa εἰςp σωτηρίανafs διάp πίστιςngfs ὁdgfs ἐνp Χριστόςndms Ἰησοῦςndms. **v.16** πᾶςanfsn γραφήnnfs θεόπνευστοςanfsn καίc ὠφέλιμοςanmsn πρόςp διδασκαλίαnafs πρόςp ἔλεγχοςnams πρόςp ἐπανόρθωσιςnafs πρόςp παιδείαnafs τὸdafs ἐνp δικαιοσύνηndfs. **v.17** ἵναc ἄρτιοςanmsn εἰμίvspx3s ὁdnms ὁdgms θεόςngms ἄνθρωποςnnms πρόςp πᾶςaansn ἔργονnans ἀγαθόςaansn ἐξαρτίζωvpxpnms. **4. v.1** διαμαρτύρομαιvipn1s οὖνc ἐγώrpn-s ἐνώπιονbo ὁdgms θεόςngms καίc ὁdgms κύριοςngms Ἰησοῦςngms Χριστόςngms ὁdgms μέλλωvppagms κρίνωvnpa ζάωvppaamp καίc νεκρόςaampn κατάp ὁdafs ἐπιφάνειαnafs αὐτόςrpgms καίc ὁdafs βασιλείαnafs αὐτόςrpgms. **v.2** κηρύσσωvdaa2s ὁdams λόγοςnams ἐφίστημιvdaa2s εὐκαίρωςbo ἀκαίρωςbo ἐλέγχωvdaa2s ἐπιτιμάωvdaa2s παρακαλέωvdaa2s ἐνp πᾶςadfsn μακροθυμίαndfs καίc διδαχήndfs. **v.3** εἰμίvifx3s γάρc καιρόςnnms ὅτεbo ὁdgfs ὑγιαίνωvppagfs διδασκαλίαngfs οὐxo ἀνέχωvifd3p ἀλλάc κατάp ὁdafp ἐπιθυμίαnafp ὁdafp ἴδιοςaafpn ἑαυτοῦrxdmp ἐπισωρεύωvifa3p διδάσκαλοςnamp κνήθωvpppnmp ὁdafs ἀκοήnafs. **v.4** καίc ἀπόp μένxo ὁdgfs ἀλήθειαngfs ὁdafs ἀκοήnafs ἀποστρέφωvifa3p ἐπίp δὲc ὁdamp μῦθοςnamp ἐκτρέπωvifp3p. **v.5** σύrpn-s δὲc νήφωvdpa2s ἐνp πᾶςadnpn κακοπαθέωvdaa2s ἔργονnans ποιέωvdaa2s εὐαγγελιστῆςngms ὁdafs διακονίαnafs σύrpg-s πληροφορέωvdaa2s. **v.6** ἐγώrpn-s γάρc ἤδηbo σπένδωvipp1s καίc ὁdnms καιρόςnnms ὁdgfs ἐμόςrsgfs ἀνάλυσιςngfs ἐφίστημιvixa3s. **v.7** ὁdams ἀγώνnams ὁdams καλόςaamsn ἀγωνίζομαιvixn1s ὁdams δρόμοςnams τελέωvixa1s ὁdafs πίστιςnafs τηρέωvixa1s. **v.8** λοιπόςaansn ἀπόκειμαιvipn3s ἐγώrpd-s ὁdnms ὁdgfs δικαιοσύνηngfs στέφανοςnnms ὅςrrams ἀποδίδωμιvifa3s ἐγώrpd-s ὁdnms κύριοςnnms ἐνp ἐκεῖνοςrddfs ὁddfs ἡμέραndfs ὁdnms δίκαιοςanmsn κριτήςnnms οὐxo μόνοςbo δὲc ἐγώrpd-s ἀλλάc καίc πᾶςadmpn ὁddmp ἀγαπάωvpxadmp ὁdafs ἐπιφάνειαnafs αὐτόςrpgms.

10

πεν, ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονί-
11 κην, Κρήσκης εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν. Λουκᾶς ἐστι
μόνος μετ᾽ ἐμοῦ. Μᾶρκον ἀναλαβὼν ἄγε μετὰ σεαυτοῦ, ἔστι
12 γάρ μοι εὔχρηστος εἰς διακονίαν. Τυχικὸν δὲ ἀπέστειλα εἰς
13 Ἔφεσον. τὸν φελόνην ὃν ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ,
14 ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας. Ἀλέ-
ξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο, ἀποδῴη αὐτῷ
15 ὁ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ, ὃν καὶ σὺ φυλάσσου, λίαν γὰρ
16 ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις. ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ
οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον, μὴ
17 αὐτοῖς λογισθείη. ὁ δὲ Κύριός μοι παρέστη, καὶ ἐνεδυνάμωσέ
με, ἵνα δι᾽ ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ, καὶ ἀκούσῃ πάντα
18 τὰ ἔθνη, καὶ ἐρρύσθην ἐκ στόματος λέοντος, καὶ ῥύσεταί με ὁ
Κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ, καὶ σώσει εἰς τὴν βασιλείαν
αὐτοῦ τὴν ἐπουράνιον, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
19 ἀμήν. Ἄσπασαι Πρίσκαν καὶ Ἀκύλαν, καὶ τὸν Ὀνησιφόρου
20 οἶκον. Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ, Τρόφιμον δὲ ἀπέλιπον
21 ἐν Μιλήτῳ ἀσθενοῦντα. σπούδασον πρὸ χειμῶνος ἐλθεῖν. ἀ-
σπάζεταί σε Εὔβουλος, καὶ Πούδης, καὶ Λίνος, καὶ Κλαυδία,

---

v.9 σπουδάζω^{vdaa2s} ἔρχομαι^{vnaa} πρός^{p} ἐγώ$^{rpa\text{-}s}$ ταχέως^{bo}. **v.10** Δημᾶς^{nnms} γάρ^{c} ἐγώ$^{rpa\text{-}s}$ ἐγκαταλείπω^{viaa3s} ἀγαπάω^{vpaanms} ὁ^{dams} νῦν^{bo} αἰών^{nams} καί^{c} πορεύομαι^{viao3s} εἰς^{p} Θεσσαλονίκη^{nafs} Κρήσκης^{nnms} εἰς^{p} Γαλατία^{nafs} Τίτος^{nnms} εἰς^{p} Δαλματία^{nafs}. **v.11** Λουκᾶς^{nnms} εἰμί^{vipx3s} μόνος^{anmsn} μετά^{p} ἐγώ$^{rpg\text{-}s}$ Μᾶρκος^{nams} ἀναλαμβάνω^{vpaanms} ἄγω^{vdpa2s} μετά^{p} σεαυτοῦ^{rxgms} εἰμί^{vipx3s} γάρ^{c} ἐγώ$^{rpd\text{-}s}$ εὔχρηστος^{anmsn} εἰς^{p} διακονία^{nafs}. **v.12** Τυχικός^{nams} δέ^{c} ἀποστέλλω^{viaa1s} εἰς^{p} Ἔφεσος^{nafs}. **v.13** ὁ^{dams} φαιλόνης^{nafs} ὅς^{rrams} ἀπολείπω^{viaa1s} ἐν^{p} Τρῳάς^{ndfs} παρά^{p} Καρπός^{ndms} ἔρχομαι^{vppnnms} φέρω^{vdpa2s} καί^{c} ὁ^{danp} βιβλίον^{nanp} μάλιστα^{bo} ὁ^{dafp} μεμβράνα^{nafp}. **v.14** Ἀλέξανδρος^{nnms} ὁ^{dnms} χαλκεύς^{nnms} πολύς^{aanpn} ἐγώ$^{rpd\text{-}s}$ κακός^{aanpn} ἐνδείκνυμι^{viam3s} ἀποδίδωμι^{voaa3s} αὐτός^{rpdms} ὁ^{dnms} κύριος^{nnms} κατά^{p} ὁ^{danp} ἔργον^{nanp} αὐτός^{rpgms}. **v.15** ὅς^{rrams} καί^{c} σύ$^{rpn\text{-}s}$ φυλάσσω^{vdpm2s} λίαν^{bo} γάρ^{c} ἀνθίστημι^{vixa3s} ὁ^{ddmp} ἡμέτερος^{rsdmp} λόγος^{ndmp}. **v.16** ἐν^{p} ὁ^{ddfs} πρῶτος^{adfsn} ἐγώ$^{rpg\text{-}s}$ ἀπολογία^{ndfs} οὐδείς^{anfsn} ἐγώ$^{rpd\text{-}s}$ συμπαραγίνομαι^{viad3s} ἀλλά^{c} πᾶς^{anmpn} ἐγώ$^{rpa\text{-}s}$ ἐγκαταλείπω^{viaa3p} μή^{xo} αὐτός^{rpdmp} λογίζομαι^{voao3s}. **v.17** ὁ^{dnms} δέ^{c} κύριος^{nnms} ἐγώ$^{rpd\text{-}s}$ παρίστημι^{viaa3s} καί^{c} ἐνδυναμόω^{viaa3s} ἐγώ$^{rpa\text{-}s}$ ἵνα^{c} διά^{p} ἐγώ$^{rpg\text{-}s}$ ὁ^{dnns} κήρυγμα^{nnns} πληροφορέω^{vsap3s} καί^{c} ἀκούω^{vsaa3s} πᾶς^{annpn} ὁ^{dnnp} ἔθνος^{nnnp} καί^{c} ῥύομαι^{viap1s} ἐκ^{p} στόμα^{ngns} λέων^{ngms}. **v.18** καί^{c} ῥύομαι^{vifd3s} ἐγώ$^{rpa\text{-}s}$ ὁ^{dnms} κύριος^{nnms} ἀπό^{p} πᾶς^{agnsn} ἔργον^{ngns} πονηρός^{agnsn} καί^{c} σῴζω^{vifa3s} εἰς^{p} ὁ^{dafs} βασιλεία^{nafs} αὐτός^{rpgms} ὁ^{dafs} ἐπουράνιος^{aafsn} ὅς^{rrdms} ὁ^{dnfs} δόξα^{nnfs} εἰς^{p} ὁ^{damp} αἰών^{namp} ὁ^{dgmp} αἰών^{ngmp} ἀμήνth. **v.19** ἀσπάζομαι^{vdad2s} Πρίσκα^{nafs} καί^{c} Ἀκύλας^{nams} καί^{c} ὁ^{dams} Ὀνησίφορος^{ngms} οἶκος^{nams}. **v.20** Ἔραστος^{nnms} μένω^{viaa3s} ἐν^{p} Κόρινθος^{ndfs} Τρόφιμος^{nams} δέ^{c} ἀπολείπω^{viaa1s} ἐν^{p} Μίλητος^{ndfs} ἀσθενέω^{vppaams}.

καὶ οἱ ἀδελφοὶ πάντες. 22 Ὁ Κύριος Ἰησοῦς Χριστὸς μετὰ τοῦ πνεύματός σου. ἡ χάρις μεθ' ὑμῶν. ἀμήν. πρός Τιμόθεον δευτέρᾳ τῆς Ἐφεσίων ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα ἐγράφη ἀπό Ῥώμης ὅτε ἐκ δευτέρου παρέστη Παῦλος τῷ Καίσαρί Νέρωνι.

v.21 σπουδάζω^{vdaa2s} πρό^{p} χειμών^{ngms} ἔρχομαι^{vnaa} ἀσπάζομαι^{vipn3s} σύ$^{rpa\text{-}s}$ Εὔβουλος^{nnms} καί^{c} Πούδης^{nnms} καί^{c} Λίνος^{nnms} καί^{c} Κλαυδία^{nnfs} καί^{c} ὁ^{dnmp} ἀδελφός^{nnmp} πᾶς^{anmpn}.
v.22 ὁ^{dnms} κύριος^{nnms} Ἰησοῦς^{nnms} Χριστός^{nnms} μετά^{p} ὁ^{dgns} πνεῦμα^{ngns} σύ$^{rpg\text{-}s}$ ὁ^{dnfs} χάρις^{nnfs} μετά^{p} σύ$^{rpg\text{-}p}$ ἀμήνth πρός^{p} Τιμόθεος^{nams} δεύτερος^{anfsn} ὁ^{dgfs} Ἐφέσιος^{agmpn} ἐκκλησία^{ngfs} πρῶτος^{aamsn} ἐπίσκοπος^{nams} χειροτονέω^{vpapams} γράφω^{viap3s} ἀπό^{p} Ῥώμη^{ngfs} ὅτε^{bo} ἐκ^{p} δεύτερος^{agnsn} παρίστημι^{viaa3s} Παῦλος^{nnms} ὁ^{ddms} Καῖσαρ^{ndms} Νέρων^{ndms}.

Η ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ

1 Παῦλος, δοῦλος Θεοῦ, ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ, κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ᾽ εὐσέ-
2 βειαν, ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου, ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς
3 Θεὸς πρὸ χρόνων αἰωνίων, ἐφανέρωσε δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κηρύγματι ὃ ἐπιστεύθην ἐγὼ κατ᾽ ἐπιταγὴν τοῦ
4 σωτῆρος ἡμῶν Θεοῦ, Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν, χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς, καὶ Κυρίου Ἰησοῦ Χρι-
5 στοῦ τοῦ σωτῆρος ἡμῶν. Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ, καὶ καταστήσῃς κατὰ πόλιν πρε-
6 σβυτέρους, ὡς ἐγώ σοι διεταξάμην, εἴ τίς ἐστιν ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνήρ, τέκνα ἔχων πιστά, μὴ ἐν κατηγορίᾳ ἀσω-
7 τίας, ἢ ἀνυπότακτα. δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι, ὡς Θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ
8 πλήκτην, μὴ αἰσχροκερδῆ, ἀλλὰ φιλόξενον, φιλάγαθον, σώ-
9 φρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ δι-
10 δασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. Εἰσὶ γὰρ πολλοὶ καὶ ἀνυπότακτοι, ματαιολόγοι καὶ φρεναπάται,

---

1. v.1 Παῦλος^{nnms} δοῦλος^{nnms} θεός^{ngms} ἀπόστολος^{nnms} δέ^{c} Ἰησοῦς^{ngms} Χριστός^{ngms} κατά^{p} πίστις^{nafs} ἐκλεκτός^{agmpn} θεός^{ngms} καί^{c} ἐπίγνωσις^{nafs} ἀλήθεια^{ngfs} ὁ^{dgfs} κατά^{p} εὐσέβεια^{nafs}. **v.2** ἐπί^{p} ἐλπίς^{ndfs} ζωή^{ngfs} αἰώνιος^{agfsn} ὅς^{rrafs} ἐπαγγέλλομαι^{viad3s} ὁ^{dnms} ἀψευδής^{anmsn} θεός^{nnms} πρό^{p} χρόνος^{ngmp} αἰώνιος^{agmpn}. **v.3** φανερόω^{viaa3s} δέ^{c} καιρός^{ndmp} ἴδιος^{admpn} ὁ^{dams} λόγος^{nams} αὐτός^{rpgms} ἐν^{p} κήρυγμα^{ndns} ὅς^{rrans} πιστεύω^{viap1s} ἐγώ$^{rpn-s}$ κατά^{p} ἐπιταγή^{nafs} ὁ^{dgms} σωτήρ^{ngms} ἐγώ$^{rpg-p}$ θεός^{ngms}. **v.4** Τίτος^{ndms} γνήσιος^{adnsn} τέκνον^{ndns} κατά^{p} κοινός^{aafsn} πίστις^{nafs} χάρις^{nnfs} ἔλεος^{nnms} εἰρήνη^{nnfs} ἀπό^{p} θεός^{ngms} πατήρ^{ngms} καί^{c} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} ὁ^{dgms} σωτήρ^{ngms} ἐγώ$^{rpg-p}$. **v.5** οὗτος^{rdgns} χάριν^{bo} καταλείπω^{viaa1s} σύ$^{rpa-s}$ ἐν^{p} Κρήτη^{ndfs} ἵνα^{c} ὁ^{danp} λείπω^{vppaanp} ἐπιδιορθόω^{vsam2s} καί^{c} καθίστημι^{vsaa2s} κατά^{p} πόλις^{nafs} πρεσβύτερος^{aampn} ὡς^{bo} ἐγώ$^{rpn-s}$ σύ$^{rpd-s}$ διατάσσω^{viam1s}. **v.6** εἰ^{qo} τίς^{rinms} εἰμί^{vipx3s} ἀνέγκλητος^{anmsn} εἷς^{ngfs} γυνή^{ngfs} ἀνήρ^{nnms} τέκνον^{nanp} ἔχω^{vppanms} πιστός^{aanpn} μή^{xo} ἐν^{p} κατηγορία^{ndfs} ἀσωτία^{ngfs} ἤ^{xo} ἀνυπότακτος^{aanpn}. **v.7** δεῖ^{vipq3s} γάρ^{c} ὁ^{dams} ἐπίσκοπος^{nams} ἀνέγκλητος^{aamsn} εἰμί^{vnpx} ὡς^{bo} θεός^{ngms} οἰκονόμος^{nams} μή^{xo} αὐθάδης^{aamsn} μή^{xo} ὀργίλος^{aamsn} μή^{xo} πάροινος^{aamsn} μή^{xo} πλήκτης^{nams} μή^{xo} αἰσχροκερδής^{aamsn}. **v.8** ἀλλά^{c} φιλόξενος^{aamsn} φιλάγαθος^{aamsn} σώφρων^{aamsn} δίκαιος^{aamsn} ὅσιος^{aamsn} ἐγκρατής^{aamsn}. **v.9** ἀντέχω^{vppnams} ὁ^{dgms} κατά^{p} ὁ^{dafs} διδαχή^{nafs} πιστός^{agmsn} λόγος^{ngms} ἵνα^{c} δυνατός^{anmsn} εἰμί^{vspx3s} καί^{c} παρακαλέω^{vnpa} ἐν^{p} ὁ^{ddfs} διδασκαλία^{ndfs} ὁ^{ddfs} ὑγιαίνω^{vppadfs} καί^{c} ὁ^{damp} ἀντιλέγω^{vppaamp} ἐλέγχω^{vnpa}.

μάλιστα οἱ ἐκ περιτομῆς, οὓς δεῖ ἐπιστομίζειν, οἵτινες ὅλους 11
οἴκους ἀνατρέπουσι, διδάσκοντες ἃ μὴ δεῖ, αἰσχροῦ κέρδους
χάριν. εἶπέ τις ἐξ αὐτῶν, ἴδιος αὐτῶν προφήτης, Κρῆτες ἀεὶ 12
ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί. ἡ μαρτυρία αὕτη ἐστὶν 13
ἀληθής. δι' ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσιν
ἐν τῇ πίστει, μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις, καὶ ἐντολαῖς 14
ἀνθρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν. πάντα μὲν καθαρὰ 15
τοῖς καθαροῖς, τοῖς δὲ μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθα-
ρόν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις. Θεὸν 16
ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες
καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.

Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, πρεσβύτας **2**, 2
νηφαλίους εἶναι, σεμνούς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ
ἀγάπῃ, τῇ ὑπομονῇ, Πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱ- 3
εροπρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, κα-
λοδιδασκάλους, ἵνα σωφρονίζωσι τὰς νέας, φιλάνδρους εἶναι, 4
φιλοτέκνους, σώφρονας, ἁγνάς, οἰκουρούς ἀγαθάς, ὑποτασ- 5
σομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφη-
μῆται, Τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν, περὶ 6, 7
πάντα σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων, ἐν τῇ διδα-

---

v.10 εἰμί^{vipx3p} γάρ^{c} πολύς^{anmpn} καί^{c} ἀνυπότακτος^{anmpn} ματαιολόγος^{anmpn} καί^{c} φρεναπάτης^{nnmp} μάλιστα^{bo} ὁ^{dnmp} ἐκ^{p} περιτομή^{ngfs}. **v.11** ὅς^{rramp} δεῖ^{vipq3s} ἐπιστομίζω^{vnpa} ὅστις^{rrnmp} ὅλος^{aampn} οἶκος^{namp} ἀνατρέπω^{vipa3p} διδάσκω^{vppanmp} ὅς^{rranp} μή^{xo} δεῖ^{vipq3s} αἰσχρός^{agnsn} κέρδος^{ngns} χάριν^{bo}. **v.12** λέγω^{viaa3s} τι-σρινμσ ἐκ^{p} αὐτός^{rpgmp} ἴδιος^{anmsn} αὐτός^{rpgmp} προφήτης^{nnms} Κρής^{nnmp} ἀεί^{bo} ψεύστης^{nnmp} κακός^{annpn} θηρίον^{nnnp} γαστήρ^{nnfp} ἀργός^{anfpn}. **v.13** ὁ^{dnfs} μαρτυρία^{nnfs} οὗτος^{rdnfs} εἰμί^{vipx3s} ἀληθής^{anfsn} διά^{p} ὅς^{rrafs} αἰτία^{nafs} ἐλέγχω^{vdpa2s} αὐτός^{rpamp} ἀποτόμως^{bo} ἵνα^{c} ὑγιαίνω^{vspa3p} ἐν^{p} ὁ^{ddfs} πίστις^{ndfs}. **v.14** μή^{xo} προσέχω^{vppanmp} Ἰουδαϊκός^{admpn} μῦθος^{ndmp} καί^{c} ἐντολή^{ndfp} ἄνθρωπος^{ngmp} ἀποστρέφω^{vppmgmp} ὁ^{dafs} ἀλήθεια^{nafs}. **v.15** πᾶς^{annpn} μέν^{xo} καθαρός^{annpn} ὁ^{ddmp} καθαρός^{admpn} ὁ^{ddmp} δέ^{c} μιαίνω^{vpxpdmp} καί^{c} ἄπιστος^{admpn} οὐδείς^{annsn} καθαρός^{annsn} ἀλλά^{c} μιαίνω^{vixp3s} αὐτός^{rpgmp} καί^{c} ὁ^{dnms} νοῦς^{nnms} καί^{c} ὁ^{dnfs} συνείδησις^{nnfs}. **v.16** θεός^{nams} ὁμολογέω^{vipa3p} οἶδα^{vnxa} ὁ^{ddnp} δέ^{c} ἔργον^{ndnp} ἀρνέομαι^{vipn3p} βδελυκτός^{annmpn} εἰμί^{vppxnmp} καί^{c} ἀπειθής^{anmpn} καί^{c} πρός^{p} πᾶς^{aansn} ἔργον^{nans} ἀγαθός^{aansn} ἀδόκιμος^{anmpn}. **2. v.1** σύ$^{rpn-s}$ δέ^{c} λαλέω^{vdpa2s} ὅς^{rranp} πρέπω^{vipq3s} ὁ^{ddfs} ὑγιαίνω^{vppadfs} διδασκαλία^{ndfs}. **v.2** πρεσβύτης^{namp} νηφάλιος^{aampn} εἰμί^{vnpx} σεμνός^{aampn} σώφρων^{aampn} ὑγιαίνω^{vppaamp} ὁ^{ddfs} πίστις^{ndfs} ὁ^{ddfs} ἀγάπη^{ndfs} ὁ^{ddfs} ὑπομονή^{ndfs}. **v.3** πρεσβῦτις^{nafp} ὡσαύτως^{bo} ἐν^{p} κατάστημα^{ndns} ἱεροπρεπής^{aafpn} μή^{xo} διάβολος^{aafpn} μή^{xo} οἶνος^{ndms} πολύς^{admsn} δουλόω^{vpxpafp} καλοδιδάσκαλος^{aafpn}. **v.4** ἵνα^{c} σωφρονίζω^{vspa3p} ὁ^{dafp} νέος^{aafpn} φίλανδρος^{nafp} εἰμί^{vnpx} φιλότεκνος^{aafpn}. **v.5** σώφρων^{aafpn} ἁγνός^{aafpn} οἰκουρός^{aafpn} ἀγαθός^{aafpn} ὑποτάσσω^{vpppafp} ὁ^{ddmp} ἴδιος^{admpn} ἀνήρ^{ndmp} ἵνα^{c} μή^{xo} ὁ^{dnms} λόγος^{nnms} ὁ^{dgms} θεός^{ngms} βλασφημέω^{vspp3s}. **v.6** ὁ^{damp} νέος^{aampc} ὡσαύτως^{bo} παρακαλέω^{vdpa2s} σωφρονέω^{vnpa}.

σκαλίᾳ ἀδιάφθορίαν, σεμνότητα, ἀφθαρσιαν, λόγον ὑγιῆ, ἀ-
κατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ, μηδὲν ἔχων περὶ ὑμῶν
λέγειν φαῦλον. δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν
πᾶσιν, εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας, μὴ νοσφιζομένους,
ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθήν, ἵνα τὴν διδασκα-
λίαν τοῦ σωτῆρος ἡμῶν Θεοῦ κοσμῶσιν ἐν πᾶσιν. ἐπεφάνη
γὰρ ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύ-
ουσα ἡμᾶς ἵνα, ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς
ἐπιθυμίας σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ
νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφά-
νειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ
Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς
ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζη-
λωτὴν καλῶν ἔργων. Ταῦτα λάλει, καὶ παρακάλει, καὶ ἔλεγχε
μετὰ πάσης ἐπιταγῆς. μηδείς σου περιφρονείτω.

3 Ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι,
πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι, μηδένα
βλασφημεῖν, ἀμάχους εἶναι, ἐπιεικεῖς, πᾶσαν ἐνδεικνυμένους
πραότητα πρὸς πάντας ἀνθρώπους. ἦμεν γάρ ποτε καὶ ἡμεῖς
ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡ-
δοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοί, μι-

---

v.7 περίᵖ πᾶςᵃᵃⁿᵖⁿ σεαυτοῦʳˣᵃᵐˢ παρέχωᵛᵖᵖᵐⁿᵐˢ τύποςⁿᵃᵐˢ καλόςᵃᵍⁿᵖⁿ ἔργονⁿᵍⁿᵖ ἐνᵖ ὁᵈᵈᶠˢ διδασκαλίαⁿᵈᶠˢ ἀδιαφθορίαⁿᵃᶠˢ σεμνότηςⁿᵃᶠˢ ἀφθαρσίαⁿᵃᶠˢ. **v.8** λόγοςⁿᵃᵐˢ ὑγιῆςᵃᵃᵐˢⁿ ἀκατάγνωστοςᵃᵃᵐˢⁿ ἵναᶜ ὁᵈⁿᵐˢ ἐκᵖ ἐναντίοςᵃᵍᶠˢⁿ ἐντρέπωᵛˢᵃᵖ³ˢ μηδείςᵃᵃⁿˢⁿ ἔχωᵛᵖᵖᵃⁿᵐˢ περίᵖ σύʳᵖᵍ⁻ᵖ λέγωᵛⁿᵖᵃ φαῦλοςᵃᵃⁿˢⁿ. **v.9** δοῦλοςⁿᵃᵐᵖ ἴδιοςᵃᵈᵐᵖⁿ δεσπότηςⁿᵈᵐᵖ ὑποτάσσωᵛⁿᵖᵐ ἐνᵖ πᾶςᵃᵈⁿᵖⁿ εὐάρεστοςᵃᵃᵐᵖⁿ εἰμίᵛⁿᵖˣ μήˣᵒ ἀντιλέγωᵛᵖᵖᵃᵃᵐᵖ. **v.10** μήˣᵒ νοσφίζωᵛᵖᵖᵐᵃᵐᵖ ἀλλάᶜ πίστιςⁿᵃᶠˢ πᾶςᵃᵃᶠˢⁿ ἐνδείκνυμιᵛᵖᵖᵐᵃᵐᵖ ἀγαθόςᵃᵃᶠˢⁿ ἵναᶜ ὁᵈᵃᶠˢ διδασκαλίαⁿᵃᶠˢ ὁᵈᵍᵐˢ σωτήρⁿᵍᵐˢ ἐγώʳᵖᵍ⁻ᵖ θεόςⁿᵍᵐˢ κοσμέωᵛˢᵖᵃ³ᵖ ἐνᵖ πᾶςᵃᵈⁿᵖⁿ. **v.11** ἐπιφαίνωᵛⁱᵃᵖ³ˢ γάρᶜ ὁᵈⁿᶠˢ χάρισⁿⁿᶠˢ ὁᵈᵍᵐˢ θεόςⁿᵍᵐˢ ὁᵈⁿᶠˢ σωτήριοςᵃⁿᵐˢⁿ πᾶςᵃᵈᵐᵖⁿ ἄνθρωποςⁿᵈᵐᵖ. **v.12** παιδεύωᵛᵖᵖᵃⁿᶠˢ ἐγώʳᵖᵃ⁻ᵖ ἵναᶜ ἀρνέομαιᵛᵖᵃᵈⁿᵐᵖ ὁᵈᵃᶠˢ ἀσέβειαⁿᵃᶠˢ καίᶜ ὁᵈᵃᶠᵖ κοσμικόςᵃᵃᶠᵖⁿ ἐπιθυμίαⁿᵃᶠᵖ σωφρόνωςᵇᵒ καίᶜ δικαίωςᵇᵒ καίᶜ εὐσεβῶςᵇᵒ ζάωᵛˢᵃᵃ¹ᵖ ἐνᵖ ὁᵈᵈᵐˢ νῦνᵇᵒ αἰώνⁿᵈᵐˢ. **v.13** προσδέχομαιᵛᵖᵖⁿⁿᵐᵖ ὁᵈᵃᶠˢ μακάριοςᵃᵃᶠˢⁿ ἐλπίςⁿᵃᶠˢ καίᶜ ἐπιφάνειαⁿᵃᶠˢ ὁᵈᵍᶠˢ δόξαⁿᵍᶠˢ ὁᵈᵍᵐˢ μέγαςᵃᵍᵐˢⁿ θεόςⁿᵍᵐˢ καίᶜ σωτήρⁿᵍᵐˢ ἐγώʳᵖᵍ⁻ᵖ Ἰησοῦςⁿᵍᵐˢ Χριστόςⁿᵍᵐˢ. **v.14** ὅςʳʳⁿᵐˢ δίδωμιᵛⁱᵃᵃ³ˢ ἑαυτοῦʳˣᵃᵐˢ ὑπέρᵖ ἐγώʳᵖᵍ⁻ᵖ ἵναᶜ λυτρόωᵛˢᵃᵐ³ˢ ἐγώʳᵖᵃ⁻ᵖ ἀπόᵖ πᾶςᵃᵍᶠˢⁿ ἀνομίαⁿᵍᶠˢ καίᶜ καθαρίζωᵛˢᵃᵃ³ˢ ἑαυτοῦʳˣᵈᵐˢ λαόςⁿᵃᵐˢ περιούσιοςᵃᵃᵐˢⁿ ζηλωτήςⁿᵃᵐˢ καλόςᵃᵍⁿᵖⁿ ἔργονⁿᵍⁿᵖ. **v.15** οὗτοςʳᵈᵃⁿᵖ λαλέωᵛᵈᵖᵃ²ˢ καίᶜ παρακαλέωᵛᵈᵖᵃ²ˢ καίᶜ ἐλέγχωᵛᵈᵖᵃ²ˢ μετάᵖ πᾶςᵃᵍᶠˢⁿ ἐπιταγήⁿᵍᶠˢ μηδείςᵃⁿᵐˢⁿ σύʳᵖᵍ⁻ˢ περιφρονέωᵛᵈᵖᵃ³ˢ. **3. v.1** ὑπομιμνήσκωᵛᵈᵖᵃ²ˢ αὐτόςʳᵖᵃᵐᵖ ἀρχήⁿᵈᶠᵖ καίᶜ ἐξουσίαⁿᵈᶠᵖ ὑποτάσσωᵛⁿᵖᵐ πειθαρχέωᵛⁿᵖᵃ πρόςᵖ πᾶςᵃᵃⁿˢⁿ ἔργονⁿᵃⁿˢ ἀγαθόςᵃᵃⁿˢⁿ ἕτοιμοςᵃᵃᵐᵖⁿ εἰμίᵛⁿᵖˣ. **v.2** μηδείςᵃᵃᵐˢⁿ βλασφημέωᵛⁿᵖᵃ ἄμαχοςᵃᵃᵐᵖⁿ εἰμίᵛⁿᵖˣ ἐπιεικήςᵃᵃᵐᵖⁿ πᾶςᵃᵃᶠˢⁿ ἐνδείκνυμιᵛᵖᵖᵐᵃᵐᵖ πραΰτηςⁿᵃᶠˢ πρόςᵖ πᾶςᵃᵃᵐᵖⁿ ἄνθρωποςⁿᵃᵐᵖ.

σοῦντες ἀλλήλους. ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία 4
ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαι- 5
οσύνῃ ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν
ἡμᾶς, διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύμα-
τος Ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, διὰ Ἰησοῦ Χριστοῦ 6
τοῦ σωτῆρος ἡμῶν, ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι, κλη- 7
ρονόμοι γενώμεθα κατ' ἐλπίδα ζωῆς αἰωνίου. πιστὸς ὁ λόγος, 8
καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι
καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ. ταῦτά ἐ-
στι τὰ καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις, μωρὰς δὲ ζητήσεις 9
καὶ γενεαλογίας καὶ ἔρεις καὶ μάχας νομικὰς περιΐστασο, εἰσὶ
γὰρ ἀνωφελεῖς καὶ μάταιοι. αἱρετικὸν ἄνθρωπον μετὰ μίαν 10
καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ 11
τοιοῦτος, καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος. Ὅταν πέμψω 12
Ἀρτεμᾶν πρὸς σὲ ἢ Τυχικόν, σπούδασον ἐλθεῖν πρός με εἰς Νι-
κόπολιν, ἐκεῖ γὰρ κέκρικα παραχειμάσαι. Ζηνᾶν τὸν νομικὸν 13
καὶ Ἀπολλὼ σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ.
μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι 14
εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι. Ἀσπάζον- 15
ταί σε οἱ μετ' ἐμοῦ πάντες. ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν
πίστει. Ἡ χάρις μετὰ πάντων ὑμῶν. ἀμήν. πρός Τίτον τῆς

---

v.3 εἰμίviix1p γάρc ποτέxo καίc ἐγώrpn-p ἀνόητοςanmpn ἀπειθήςanmpn πλανάωvpppnmp δουλεύωvppanmp ἐπιθυμίαndfp καίc ἡδονήndfp ποικίλοςadfpn ἐνp κακίαndfs καίc φθόνοςndms διάγωvppanmp στυγητόςanmpn μισέωvppanmp ἀλλήλωνreamp. **v.4** ὅτεbo δέc ὁdnfs χρηστότηςnnfs καίc ὁdnfs φιλανθρωπίαnnfs ἐπιφαίνωviap3s ὁdgms σωτήρngms ἐγώrpg-p θεόςngms. **v.5** οὐxo ἐκp ἔργονngnp ὁdgnp ἐνp δικαιοσύνηndfs ὅςrrgnp ποιέωviaa1p ἐγώrpn-p ἀλλάc κατάp ὁdams αὐτόςrpgms ἔλεοςnams σῴζωviaa3s ἐγώrpa-p διάp λουτρόνngns παλιγγενεσίαngfs καίc ἀνακαίνωσιςngfs πνεῦμαngns ἅγιοςagnsn. **v.6** ὅςrrgns ἐκχέωviaa3s ἐπίp ἐγώrpa-p πλουσίωςbo διάp Ἰησοῦςngms Χριστόςngms ὁdgms σωτήρngms ἐγώrpg-p. **v.7** ἵναc δικαιόωvpapnmp ὁddfs ἐκεῖνοςrdgms χάριςndfs κληρονόμοςnnmp γίνομαιvsad1p κατάp ἐλπίςnafs ζωήngfs αἰώνιοςagfsn. **v.8** πιστόςanmsn ὁdnms λόγοςnnms καίc περίp οὗτοςrdgnp βούλομαιvipn1s σύrpa-s διαβεβαιόομαιvnpn ἵναc φροντίζωvspa3p καλόςagnpn ἔργονngnp προΐστημιvnpm ὁdnmp πιστεύωvpxanmp ὁddms θεόςndms οὗτοςrdnnp εἰμίvipx3s ὁdnnp καλόςannpn καίc ὠφέλιμοςannpn ὁddmp ἄνθρωποςndmp. **v.9** μωρόςaafpn δέc ζήτησιςnafp καίc γενεαλογίαnafp καίc ἔριςnafp καίc μάχηnafp νομικόςaafpn περιΐστημιvdpm2s εἰμίvipx3p γάρc ἀνωφελήςanfpn καίc μάταιοςanmpn. **v.10** αἱρετικόςaamsn ἄνθρωποςnams μετάp εἷςnafs καίc δεύτεροςaafsn νουθεσίαnafs παραιτέομαιvdpn2s. **v.11** οἶδαvpxanms ὅτιc ἐκστρέφωvixp3s ὁdnms τοιοῦτοςrdnms καίc ἁμαρτάνωvipa3s εἰμίvppxnms αὐτοκατάκριτοςanmsn. **v.12** ὅτανc πέμπωvifa1s Ἀρτεμᾶςnams πρόςp σύrpa-s ἤxo Τυχικόςnams σπουδάζωvdaa2s ἔρχομαιvnaa πρόςp ἐγώrpa-s εἰςp Νικόπολιςnafs ἐκεῖbo γάρc κρίνωvixa1s παραχειμάζωvnaa. **v.13** Ζηνᾶςnams ὁdams νομικόςaamsn καίc Ἀπολλῶςnams σπουδαίωςbo προπέμπωvdaa2s ἵναc μηδείςaansn αὐτόςrpdmp λείπωvspa3s. **v.14** μανθάνωvdpa3p δέc καίc ὁdnmp ἡμέτεροςrsnmp καλόςagnpn ἔργονngnp προΐστημιvnpm εἰςp ὁdafp ἀναγκαῖοςaafpn χρείαnafp ἵναc μήxo εἰμίvspx3p ἄκαρποςanmpn.

Κρητῶν ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα ἐγράφη ἀπό Νικοπόλεως τῆς Μακεδονίας.

v.15 ἀσπάζομαι^{vipn3p} σύ$^{rpa-s}$ ὁ^{dnmp} μετά^{p} ἐγώ$^{rpg-s}$ πᾶς^{anmpn} ἀσπάζομαι^{vdad2s} ὁ^{damp} φιλέω^{vppaamp} ἐγώ$^{rpa-p}$ ἐν^{p} πίστις^{ndfs} ὁ^{dnfs} χάρις^{nnfs} μετά^{p} πᾶς^{agmpn} σύ$^{rpg-p}$ ἀμήνth πρός^{p} Τίτος^{nams} ὁ^{dgfs} Κρής^{ngmp} ἐκκλησία^{ngfs} πρῶτος^{aamsn} ἐπίσκοπος^{nams} χειροτονέω^{vpapams} γράφω^{viap3s} ἀπό^{p} Νικόπολις^{ngfs} ὁ^{dgfs} Μακεδονία^{ngfs}.

Η ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ

Παῦλος δέσμιος Χριστοῦ Ἰησοῦ καὶ Τιμόθεος ὁ ἀδελφὸς, **1**
Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν, καὶ Ἀπφίᾳ τῇ ἀ- 2
γαπητῇ, καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν, καὶ τῇ κατ᾽ οἶκόν
σου ἐκκλησίᾳ, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν 3
καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Εὐχαριστῶ τῷ Θεῷ μου, πάντοτε 4
μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, ἀκούων σου 5
τὴν ἀγάπην καὶ τὴν πίστιν ἣν ἔχεις πρὸς τὸν Κύριον Ἰησοῦν
καὶ εἰς πάντας τοὺς ἁγίους, ὅπως ἡ κοινωνία τῆς πίστεώς σου 6
ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ὑμῖν εἰς
Χριστόν Ἰησοῦν. χαρὰν γὰρ ἔχομεν πολλὴν καὶ παράκλησιν 7
ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται
διὰ σοῦ, ἀδελφέ. Διό πολλὴν ἐν Χριστῷ παρρησίαν ἔχων ἐ- 8
πιτάσσειν σοι τὸ ἀνῆκον, διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ, 9
τοιοῦτος ὢν ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος Ἰησοῦ
Χριστοῦ. παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα 10
ἐν τοῖς δεσμοῖς μου, Ὀνήσιμον, τόν ποτέ σοι ἄχρηστον, νυνὶ 11
δὲ σοὶ καὶ ἐμοὶ εὔχρηστον, ὃν ἀνέπεμψά, συ δὲ αὐτόν, τοῦτ᾽ 12

---

1. **v.1** Παῦλος^{nnms} δέσμιος^{nnms} Χριστός^{ngms} Ἰησοῦς^{ngms} καί^{c} Τιμόθεος^{nnms} ὁ^{dnms} ἀδελφός^{nnms} Φιλήμων^{ndms} ὁ^{ddms} ἀγαπητός^{admsn} καί^{c} συνεργός^{admsn} ἐγώ$^{rpg-p}$. **v.2** καί^{c} Ἀπφία^{ndfs} ὁ^{ddfs} ἀγαπητός^{adfsn} καί^{c} Ἄρχιππος^{ndms} ὁ^{ddms} συστρατιώτης^{ndms} ἐγώ$^{rpg-p}$ καί^{c} ὁ^{ddfs} κατά^{p} οἶκος^{nams} σύ$^{rpg-s}$ ἐκκλησία^{ndfs}. **v.3** χάρις^{nnfs} σύ$^{rpd-p}$ καί^{c} εἰρήνη^{nnfs} ἀπό^{p} θεός^{ngms} πατήρ^{ngms} ἐγώ$^{rpg-p}$ καί^{c} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.4** εὐχαριστέω^{vipa1s} ὁ^{ddms} θεός^{ndms} ἐγώ$^{rpg-s}$ πάντοτε^{bo} μνεία^{nafs} σύ$^{rpg-s}$ ποιέω^{vppmnms} ἐπί^{p} ὁ^{dgfp} προσευχή^{ngfp} ἐγώ$^{rpg-s}$. **v.5** ἀκούω^{vppanms} σύ$^{rpg-s}$ ὁ^{dafs} ἀγάπη^{nafs} καί^{c} ὁ^{dafs} πίστις^{nafs} ὅς^{rrafs} ἔχω^{vipa2s} πρός^{p} ὁ^{dams} κύριος^{nams} Ἰησοῦς^{nams} καί^{c} εἰς^{p} πᾶς^{aampn} ὁ^{damp} ἅγιος^{aampn}. **v.6** ὅπως^{bo} ὁ^{dnfs} κοινωνία^{nnfs} ὁ^{dgfs} πίστις^{ngfs} σύ$^{rpg-s}$ ἐνεργής^{anfsn} γίνομαι^{vsad3s} ἐν^{p} ἐπίγνωσις^{ndfs} πᾶς^{agnsn} ἀγαθός^{agnsn} ὁ^{dgns} ἐν^{p} σύ$^{rpd-p}$ εἰς^{p} Χριστός^{nams} Ἰησοῦς^{nams}. **v.7** χαρά^{nafs} γάρ^{c} ἔχω^{vipa1p} πολύς^{aafsn} καί^{c} παράκλησις^{nafs} ἐπί^{p} ὁ^{ddfs} ἀγάπη^{ndfs} σύ$^{rpg-s}$ ὅτι^{c} ὁ^{dnnp} σπλάγχνον^{nnnp} ὁ^{dgmp} ἅγιος^{agmpn} ἀναπαύω^{vixp3s} διά^{p} σύ$^{rpg-s}$ ἀδελφός^{nvms}. **v.8** διό^{c} πολύς^{aafsn} ἐν^{p} Χριστός^{ndms} παρρησία^{nafs} ἔχω^{vppanms} ἐπιτάσσω^{vnpa} σύ$^{rpd-s}$ ὁ^{dans} ἀνήκω^{vppaans}. **v.9** διά^{p} ὁ^{dafs} ἀγάπη^{nafs} μᾶλλον^{bo} παρακαλέω^{vipa1s} τοιοῦτος^{rdnms} εἰμί^{vppxnms} ὡς^{bo} Παῦλος^{nnms} πρεσβύτης^{nnms} νυνί^{bo} δέ^{c} καί^{c} δέσμιος^{nnms} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.10** παρακαλέω^{vipa1s} σύ$^{rpa-s}$ περί^{p} ὁ^{dgms} ἐμός^{rpg-s} τέκνον^{ngns} ὅς^{rrams} γεννάω^{viaa1s} ἐν^{p} ὁ^{ddmp} δεσμός^{ndmp} ἐγώ$^{rpg-s}$ Ὀνήσιμος^{nams}. **v.11** ὁ^{dams} ποτέ^{xo} σύ$^{rpd-s}$ ἄχρηστος^{aamsn} νυνί^{bo} δέ^{c} σύ$^{rpd-s}$ καί^{c} ἐγώ$^{rpd-s}$ εὔχρηστος^{aamsn}. **v.12** ὅς^{rrams} ἀναπέμπω^{viaa1s} σύ$^{rpn-s}$ δέ^{c} αὐτός^{rpams} εἰμί^{irdnns} ὁ^{dnnp} ἐμός^{rsnnp} σπλάγχνον^{nnnp} προσλαμβάνω^{vdam2s}.

13 ἔστιν τὰ ἐμὰ σπλάγχνα, πρὸσλαβοῦ, ὃν ἐγὼ ἐβουλόμην πρὸς
ἐμαυτὸν κατέχειν, ἵνα ὑπὲρ σοῦ διακονῇ μοι ἐν τοῖς δεσμοῖς
14 τοῦ εὐαγγελίου, χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποι-
ῆσαι, ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ κατὰ
15 ἑκούσιον. Τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰ-
16 ώνιον αὐτὸν ἀπέχῃς, οὐκέτι ὡς δοῦλον, ἀλλ᾽ ὑπὲρ δοῦλον,
ἀδελφὸν ἀγαπητόν, μάλιστα ἐμοί, πόσῳ δὲ μᾶλλον σοὶ καὶ ἐν
17 σαρκὶ καὶ ἐν Κυρίῳ. εἰ οὖν ἐμέ ἔχεις κοινωνόν, προσλαβοῦ
18 αὐτὸν ὡς ἐμέ. εἰ δέ τι ἠδίκησέ σε ἢ ὀφείλει, τοῦτο ἐμοὶ ἐλλό-
19 γει, ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρί, ἐγὼ ἀποτίσω, ἵνα μὴ
20 λέγω σοι ὅτι καὶ σεαυτόν μοι προσοφείλεις. ναί, ἀδελφέ, ἐγώ
σου ὀναίμην ἐν Κυρίῳ, ἀνάπαυσόν μου τὰ σπλάγχνα ἐν Κυρίῳ.
21 πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι, εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ
22 λέγω ποιήσεις. ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν, ἐλπίζω γὰρ ὅτι
23 διὰ τῶν προσευχῶν ὑμῶν χαρισθήσομαι ὑμῖν. Ἀσπάζονταί σε
24 Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ, Μᾶρκος,
25 Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου. Ἡ χάρις τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν. ἀμήν.
πρός Φιλήμονα ἐγράφη ἀπό Ῥώμης διά Ὀνησίμου οἰκέτου.

---

v.13 ὅς^{rrams} ἐγώ$^{rpn\text{-}s}$ βούλομαι^{viin1s} πρός^{p} ἐμαυτοῦ^{rxams} κατέχω^{vnpa} ἵνα^{c} ὑπέρ^{p} σύ$^{rpg\text{-}s}$ διακονέω^{vspa3s} ἐγώ$^{rpd\text{-}s}$ ἐν^{p} ὁ^{ddmp} δεσμός^{ndmp} ὁ^{dgns} εὐαγγέλιον^{ngns}. **v.14** χωρίς^{bo} δέ^{c} ὁ^{dgfs} σός^{rsgfs} γνώμη^{ngfs} οὐδείς^{aansn} θέλω^{viaa1s} ποιέω^{vnaa} ἵνα^{c} μή^{xo} ὡς^{bo} κατά^{p} ἀνάγκη^{nafs} ὁ^{dnns} ἀγαθός^{annsn} σύ$^{rpg\text{-}s}$ εἰμί^{vspx3s} ἀλλά^{c} κατά^{p} ἑκούσιος^{aansn}. **v.15** τάχα^{bo} γάρ^{c} διά^{p} οὗτος^{rdans} χωρίζω^{viap3s} πρός^{p} ὥρα^{nafs} ἵνα^{c} αἰώνιος^{aamsn} αὐτός^{rpams} ἀπέχω^{vipa2s}. **v.16** οὐκέτι^{bo} ὡς^{bo} δοῦλος^{nams} ἀλλά^{c} ὑπέρ^{p} δοῦλος^{nams} ἀδελφός^{nams} ἀγαπητός^{aamsn} μάλιστα^{bo} ἐγώ$^{rpd\text{-}s}$ πόσος^{rodns} δέ^{c} μᾶλλον^{bo} σύ$^{rpd\text{-}s}$ καί^{c} ἐν^{p} σάρξ^{ndfs} καί^{c} ἐν^{p} κύριος^{ndms}. **v.17** εἰ^{qo} οὖν^{c} ἐγώ$^{rpa\text{-}s}$ ἔχω^{vipa2s} κοινωνός^{aamsn} προσλαμβάνω^{vdam2s} αὐτός^{rpams} ὡς^{bo} ἐγώ$^{rpa\text{-}s}$. **v.18** εἰ^{qo} δέ^{c} τι-σριανσ ἀδικέω^{viaa3s} σύ$^{rpa\text{-}s}$ ἤ^{xo} ὀφείλω^{vipa3s} οὗτος^{rdans} ἐγώ$^{rpd\text{-}s}$ ἐλλογέω^{vdpa2s}. **v.19** ἐγώ$^{rpn\text{-}s}$ Παῦλος^{nnms} γράφω^{viaa1s} ὁ^{ddfs} ἐμός^{rsdfs} χείρ^{ndfs} ἐγώ$^{rpn\text{-}s}$ ἀποτίνω^{vifa1s} ἵνα^{c} μή^{xo} λέγω^{vspa1s} σύ$^{rpd\text{-}s}$ ὅτι^{c} καί^{c} σεαυτοῦ^{rxams} ἐγώ$^{rpd\text{-}s}$ προσοφείλω^{vipa2s}. **v.20** ναί^{xo} ἀδελφός^{nvms} ἐγώ$^{rpn\text{-}s}$ σύ$^{rpg\text{-}s}$ ὀνίναμαι^{voad1s} ἐν^{p} κύριος^{ndms} ἀναπαύω^{vdaa2s} ἐγώ$^{rpg\text{-}s}$ ὁ^{danp} σπλάγχνον^{nanp} ἐν^{p} κύριος^{ndms}. **v.21** πείθω^{vpxanms} ὁ^{ddfs} ὑπακοή^{ndfs} σύ$^{rpg\text{-}s}$ γράφω^{viaa1s} σύ$^{rpd\text{-}s}$ οἶδα^{vpxanms} ὅτι^{c} καί^{c} ὑπέρ^{p} ὅς^{rrans} λέγω^{vipa1s} ποιέω^{vifa2s}. **v.22** ἅμα^{bo} δέ^{c} καί^{c} ἑτοιμάζω^{vdpa2s} ἐγώ$^{rpd\text{-}s}$ ξενία^{nafs} ἐλπίζω^{vipa1s} γάρ^{c} ὅτι^{c} διά^{p} ὁ^{dgfp} προσευχή^{ngfp} σύ$^{rpg\text{-}p}$ χαρίζομαι^{vifp1s} σύ$^{rpd\text{-}p}$. **v.23** ἀσπάζομαι^{vipn3p} σύ$^{rpa\text{-}s}$ Ἐπαφρᾶς^{nnms} ὁ^{dnms} συναιχμάλωτος^{anmsn} ἐγώ$^{rpg\text{-}s}$ ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.24** Μᾶρκος^{nnms} Ἀρίσταρχος^{nnms} Δημᾶς^{nnms} Λουκᾶς^{nnms} ὁ^{dnmp} συνεργός^{anmpn} ἐγώ$^{rpg\text{-}s}$. **v.25** ὁ^{dnfs} χάρις^{nnfs} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg\text{-}p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} μετά^{p} ὁ^{dgns} πνεῦμα^{ngns} σύ$^{rpg\text{-}p}$ ἀμήνth πρός^{p} Φιλήμων^{nams} γράφω^{viap3s} ἀπό^{p} Ῥώμη^{ngfs} διά^{p} Ὀνήσιμος^{ngms} οἰκέτης^{ngms}.

Η ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ

Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πα- **1**
τράσιν ἐν τοῖς προφήταις, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τούτων ἐ- 2
λάλησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι᾽ οὗ καὶ
τοὺς αἰῶνας ἐποίησεν, ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρα- 3
κτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς
δυνάμεως αὐτοῦ, δι᾽ εαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁ-
μαρτιῶν ημῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς,
τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον 4
παρ᾽ αὐτοὺς κεκληρονόμηκεν ὄνομα. τίνι γὰρ εἶπέ ποτε τῶν 5
ἀγγέλων, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε· Καὶ πά-
λιν, Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν·
ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, 6
λέγει, Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. καὶ 7
πρὸς μὲν τοὺς ἀγγέλους λέγει, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ
πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα, πρὸς 8
δὲ τὸν υἱόν, Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος,
ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δι- 9
καιοσύνην, καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός ὁ

---

1. v.1 πολυμερῶς^{bo} καί^{c} πολυτρόπως^{bo} πάλαι^{bo} ὁ^{dnms} θεός^{nnms} λαλέω^{vpaanms} ὁ^{ddmp} πατήρ^{ndmp} ἐν^{p} ὁ^{ddmp} προφήτης^{ndmp}. **v.2** ἐπί^{p} ἔσχατος^{agfpn} ὁ^{dgfp} ἡμέρα^{ngfp} οὗτος^{rdgfp} λαλέω^{viaa3s} ἐγώ$^{rpd-p}$ ἐν^{p} υἱός^{ndms} ὅς^{rrams} τίθημι^{viaa3s} κληρονόμος^{nams} πᾶς^{agnpn} διά^{p} ὅς^{rrgms} καί^{c} ὁ^{damp} αἰών^{namp} ποιέω^{viaa3s}. **v.3** ὅς^{rrnms} εἰμί^{vppxnms} ἀπαύγασμα^{nnns} ὁ^{dgfs} δόξα^{ngfs} καί^{c} χαρακτήρ^{nnms} ὁ^{dgfs} ὑπόστασις^{ngfs} αὐτός^{rpgms} φέρω^{vppanms} τέ^{xo} ὁ^{danp} πᾶς^{aanpn} ὁ^{ddns} ῥῆμα^{ndns} ὁ^{dgfs} δύναμις^{ngfs} αὐτός^{rpgms} διά^{p} ἑαυτοῦ^{rxgms} καθαρισμός^{nams} ποιέω^{vpamnms} ὁ^{dgfp} ἁμαρτία^{ngfp} ἐγώ$^{rpg-p}$ καθίζω^{viaa3s} ἐν^{p} δεξιός^{adfsn} ὁ^{dgfs} μεγαλωσύνη^{ngfs} ἐν^{p} ὑψηλός^{adnpn}. **v.4** τοσοῦτος^{rddms} κρείττων^{anmsn} γίνομαι^{vpadnms} ὁ^{dgmp} ἄγγελος^{ngmp} ὅσος^{rcdns} διάφορος^{aansc} παρά^{p} αὐτός^{rpamp} κληρονομέω^{vixa3s} ὄνομα^{nans}. **v.5** τίς^{rqdms} γάρ^{c} λέγω^{viaa3s} ποτέ^{xo} ὁ^{dgmp} ἄγγελος^{ngmp} υἱός^{nnms} ἐγώ$^{rpg-s}$ εἰμί^{vipx2s} σύ$^{rpn-s}$ ἐγώ$^{rpn-s}$ σήμερον^{bo} γεννάω^{vixa1s} σύ$^{rpa-s}$ καί^{c} πάλιν^{bo} ἐγώ$^{rpn-s}$ εἰμί^{vifx1s} αὐτός^{rpdms} εἰς^{p} πατήρ^{nams} καί^{c} αὐτός^{rpnms} εἰμί^{vifx3s} ἐγώ$^{rpd-s}$ εἰς^{p} υἱός^{nams}. **v.6** ὅταν^{c} δέ^{c} πάλιν^{bo} εἰσάγω^{vsaa3s} ὁ^{dams} πρωτότοκος^{aamsn} εἰς^{p} ὁ^{dafs} οἰκουμένη^{nafs} λέγω^{vipa3s} καί^{c} προσκυνέω^{vdaa3p} αὐτός^{rpdms} πᾶς^{anmpn} ἄγγελος^{nnmp} θεός^{ngms}. **v.7** καί^{c} πρός^{p} μέν^{xo} ὁ^{damp} ἄγγελος^{namp} λέγω^{vipa3s} ὁ^{dnms} ποιέω^{vppanms} ὁ^{damp} ἄγγελος^{namp} αὐτός^{rpgms} πνεῦμα^{nanp} καί^{c} ὁ^{damp} λειτουργός^{namp} αὐτός^{rpgms} πῦρ^{ngns} φλόξ^{nafs}. **v.8** πρός^{p} δέ^{c} ὁ^{dams} υἱός^{nams} ὁ^{dnms} θρόνος^{nnms} σύ$^{rpg-s}$ ὁ^{dnms} θεός^{nnms} εἰς^{p} ὁ^{dams} αἰών^{nams} ὁ^{dgms} αἰών^{ngms} ῥάβδος^{nnfs} εὐθύτης^{ngfs} ὁ^{dnfs} ῥάβδος^{nnfs} ὁ^{dgfs} βασιλεία^{ngfs} σύ$^{rpg-s}$.

10 Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. καί,
Σὺ κατ᾽ ἀρχάς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρ-
11 ῶν σού εἰσιν οἱ οὐρανοί, αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις,
12 καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον
ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται, σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη
13 σου οὐκ ἐκλείψουσι. πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέ ποτε,
Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπό-
14 διον τῶν ποδῶν σου· οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα
εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν
σωτηρίαν·

2 Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι,
2 μή ποτε παραρρυῶμεν. εἰ γὰρ ὁ δι᾽ ἀγγέλων λαληθεὶς λόγος
ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔν-
3 δικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀ-
μελήσαντες σωτηρίας· ἥτις, ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ
4 Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, συνεπι-
μαρτυροῦντος τοῦ Θεοῦ σημείοις τε καὶ τέρασι, καὶ ποικίλαις
δυνάμεσι, καὶ Πνεύματος Ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ
5 θέλησιν. Οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλ-
6 λουσαν, περὶ ἧς λαλοῦμεν. διεμαρτύρατο δέ πού τις λέγων,
Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ· ἢ υἱὸς ἀνθρώπου, ὅτι

---

